M
130

27



6.º


BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Est. 1 Caj. 2 Núm. 27.

Joa. Damascenus.

M. Muñz Dr. Forcada

BIBLIOTECA UNIVERSITARIA DE SALAMANCA

M
130




a. 1


ἡ φωνή
ἡ ἄσημος
ἡ σημαντική
ἡ καθόλου
ἡ μερική




Λ. η



+ τὰ τῶν φιλοσόφων κεφάλαια:—


περὶ τοῦ ὄντος ὡς οὐσίας τε καὶ συμβεβηκότος: α

περὶ γένους καὶ εἴδους τοῦ γενικωτάτου καὶ τοῦ εἰδικωτάτου καὶ τῶν ὑπαλλήλων:— β

γ περὶ ἀτόμου:— περὶ διαφορᾶς: δ

περὶ συμβεβηκότος:— ε

ς περὶ ἰδίου:— περὶ τῶν κατηγορουμένων:— ζ

περὶ συνωνύμου καὶ ὁμωνύμου κατηγορίας:— η

περὶ τῶν [illegible] κατηγορίας, καὶ τοῦ [illegible]:— θ

περὶ ὑποστάσεως καὶ ἐνυποστάτου καὶ ἀνυποστάτου:— ι

περὶ οὐσίας καὶ φύσεως καὶ μορφῆς καὶ ἀτόμου τε καὶ προσώπου καὶ ια

περὶ διαιρέσεως:— ὑποστάσεως:— ιβ

περὶ τοῦ φύσει προτέρου:— ιγ

ιδ περὶ ὁρισμοῦ:— περὶ ὁμωνύμων:— ιε

ις περὶ συνωνύμων:— περὶ πολυωνύμων: ιζ

περὶ ἑτέρων καὶ ἑτερωνύμων:— ιη

περὶ παρωνύμων:— ιθ

περὶ τῶν δέκα γενικωτάτων γενῶν:— κ

περὶ ὁμογενῶν καὶ ὁμοειδῶν. ἑτερογενῶν καὶ κα


BIBLIOTECA UNIVERSITARIA

+ τὰ τῶν φιλοσόφων κεφάλαια:-

περὶ τοῦ ὄντος τῆς οὐσίας τε καὶ συμβεβηκότος: α
περὶ γένους καὶ εἴδους τοῦ γενικωτάτου καὶ
τοῦ εἰδικωτάτου καὶ τῶν ὑπαλλήλων:- β
γ περὶ ἀτόμου:- περὶ διαφορᾶς: δ
περὶ συμβεβηκότος:- ε
ς περὶ ἰδίου:- περὶ τῶν κατηγορουμένων:- ζ
περὶ συνωνύμων καὶ ὁμωνύμου κατηγορίας:- η
περὶ τῶν ἐν τῷ τί ἐστι κατηγορίας, καὶ τοῦ ὁποῖόν τί ἐστι:- θ
περὶ ὑποστάσεως καὶ ἐνυποστάτου καὶ ἀνυποστάτου:- ι
περὶ οὐσίας καὶ φύσεως καὶ μορφῆς ἀτόμου τε καὶ προσώπου καὶ ια
περὶ διαιρέσεως:- ὑποστάσεως:- ιβ
περὶ τοῦ φύσει προτέρου:- ιγ
ιδ περὶ ὁρισμοῦ:- περὶ ὁμωνύμων:- ιε
ις περὶ συνωνύμων:- περὶ πολυωνύμων: ιζ
περὶ ἑτέρων καὶ ἑτερωνύμων:- ιη
περὶ παρωνύμων:- ιθ
περὶ τῶν δέκα γενικωτάτων γενῶν:- κ
περὶ ὁμογενῶν καὶ ὁμοειδῶν. ἑτερογενῶν καὶ κα

BIBLIOTECA UNIVERSITARIA

ἑτεροειδῶν· καὶ ἀριθμῷ διαφερόντων:
κβ περὶ τοῦ ἐν τινί:- κγ ἕτερα περὶ οὐσίας:-
κδ περὶ φύσεως: κε περὶ μορφῆς:-
κϛ περὶ ὑποστάσεως. κζ περὶ προσώπου:-
κη περὶ ἐνυποστάτου: κθ περὶ ἀνυποστάτου:-
λ διαίρεσις τοῦ ὄντος ἐκ τῆς οὐσίας:-
λα ἄλλη διαίρεσις τῆς οὐσίας:-
λβ ἐπιτομὴ περὶ ὁμογενῶν καὶ ὁμοειδῶν· ἑτερογενῶν
τε καὶ ἑτεροειδῶν· καὶ ὁμοϋποστάτων καὶ
ἀριθμῷ διαφερόντων:—
λγ περὶ ποσοῦ καὶ ποσότητος:-
λδ περὶ τῶν πρός τι:- λε περὶ ποιοῦ καὶ ποιότητος:
λϛ περὶ τοῦ ποιεῖν καὶ πάσχειν:-
λζ περὶ τοῦ κεῖσθαι:- λη περὶ τοῦ ποῦ:-
λθ περὶ τοῦ πότε:- μ περὶ τοῦ ἔχειν:-
μα περὶ ἀντικειμένων:—
μβ περὶ ἕξεως καὶ στερήσεως:-
μγ περὶ προτέρου καὶ ὑστέρου:-
μδ περὶ τοῦ ἅμα:. με περὶ κινήσεως:-
μϛ περὶ τοῦ ἔχειν:—

περὶ ἀποφάσεως καὶ καταφάσεως: μζ
περὶ ὅρου καὶ προτάσεως καὶ συλλογισμοῦ: μη
τί περὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως:- μθ
τέλους κεφάλαιον:— ν

a. m

† πίναξ ἀκριβὴς τῆς παρούσης πυκτίδος:

α' Τοῦ μακαρίου πατρὸς ἡμῶν Ἰω(άννου) τοῦ Δαμασκηνοῦ· ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως· ὅτι ἀκατάληπτον τὸ θεῖον· καὶ ὅτι οὐ δεῖ ζητεῖν καὶ περιεργάζεσθαι τὰ μὴ παραδεδομένα ἡμῖν ὑπὸ τῶν ἁγίων προφητῶν καὶ ἀποστόλων καὶ εὐαγγελιστῶν:-

β' περὶ ῥητῶν καὶ ἀρρήτων καὶ γνωστῶν καὶ ἀγνώστων:-

γ' ἀπόδειξις ὅτι ἔστι θεός:

δ' περὶ τοῦ τί ἐστι θεός. ὅτι ἀκατάληπτον:-

ε' ἀπόδειξις ὅτι εἷς ἐστι θεὸς καὶ οὐ πολλοί:-

ϛ' περὶ λόγου θεοῦ καὶ πνεύματος:-

ζ' περὶ πνεύματος ἁγίου:-

η' περὶ τῆς ἁγίας τριάδος:-

θ' περὶ τῶν ἐπὶ θεοῦ λεγομένων:-

ι' περὶ θείας ἑνώσεως καὶ διακρίσεως:-

ια' περὶ τῶν σωματικῶς ἐπὶ θεοῦ λεγομένων:

ιβ' ἔτι περὶ τῶν αὐτῶν:

ιγ' περὶ τόπου θεοῦ· καὶ ὅτι μόνον τὸ θεῖον ἀπερίγραπτον:

ταῦτα ἰδιώματα τῆς θείας φύσεως: ιδ
ιε περὶ αἰῶνος: — ιϛ περὶ δημιουργίας:
ιζ περὶ ἀγγέλων: ιη περὶ διαβόλου καὶ δαιμόνων:
ιθ περὶ κτίσεως ὁρατῆς: — κ περὶ οὐρανοῦ:
περὶ φωτός, πυρός, φωστήρων, ἡλίου τε καὶ σελήνης καὶ ἀστέρων: κα
περὶ ἀέρος καὶ ἀνέμων: — κβ
κγ περὶ ἀνέμων: — κδ περὶ ὑδάτων: — κε περὶ πελαγῶν:
περὶ γῆς καὶ τῶν ἐξ αὐτῆς: — κϛ
κζ περὶ παραδείσου: — κη περὶ ἀνθρώπου: —
κθ περὶ ἡδονῶν: λ περὶ λύπης:
λα περὶ φόβου: — λβ περὶ θυμοῦ:
λγ περὶ τοῦ φανταστικοῦ: λδ περὶ αἰσθήσεως:
λε περὶ τοῦ διανοητικοῦ: λϛ περὶ τοῦ μνημονευτικοῦ:
περὶ ἐνδιαθέτου καὶ προφορικοῦ λόγου: λζ
περὶ πάθους καὶ ἐνεργείας: — λη
λθ περὶ ἐνεργείας: — μ περὶ ἑκουσίου καὶ ἀκουσίου: —
περὶ τοῦ ἐφ' ἡμῖν, τουτέστι τοῦ αὐτεξουσίου: — μα
περὶ τῶν γινομένων: μβ
δι' ἣν αἰτίαν ἄνθρωποι γεγόναμεν αὐτεξούσιοι: — μγ
μδ περὶ τοῦ οὐκ ἐφ' ἡμῖν: με περὶ προνοίας:

μϛ Περὶ προγνώσεως καὶ προορισμοῦ:-

μζ Περὶ τῆς θείας οἰκονομίας καὶ τῆς περὶ
ἡμᾶς κηδεμονίας καὶ τῆς ἡμῶν σωτηρίας:·

μη Περὶ τοῦ τρόπου τῆς συλλήψεως τοῦ
θεοῦ λόγου καὶ τῆς θείας αὐτοῦ σαρκώσεως:

μθ Περὶ τῶν δύο φύσεων:-

ν Περὶ τοῦ τρόπου τῆς ἀντιδόσεως:

να Περὶ ἀριθμοῦ τῶν φύσεων:-

νβ Ὅτι πᾶσα ἡ θεία φύσις ἐν μιᾷ τῶν αὐτῆς
ὑποστάσει ἡνώθη πάσῃ τῇ ἀνθρωπίνῃ φύσει καὶ
οὐ μέρος μέρει:-

νγ Περὶ μιᾶς τοῦ θεοῦ λόγου συνθέτου ὑποστάσεως:·

νδ Πρὸς τοὺς λέγοντας εἰ ὑπὸ τὸ συνεχὲς πο-
σὸν ἀνάγονται αἱ τοῦ Χριστοῦ φύσεις ἢ ὑπὸ τὸ

νε Πρὸς τὸ εἰ οὐκ ἔστι διωρισμένον:-
φύσις ἀνυπόστατος ἀπαντήσεις:

νϛ Περὶ τοῦ τρισαγίου:

νζ Περὶ τῆς ἐν ... καὶ τῆς ἐν ἀτόμῳ θεωρου-
μένης φύσεως καὶ σαρκώσεως καὶ πῶς
ἐκληπτέον τὴν μίαν φύσιν τοῦ θεοῦ λόγου
σεσαρκωμένην:-

ὅτι θεοτόκος ἡ ἁγία παρθένος :— μη
περὶ τῶν ἰδιωμάτων τῶν δύο φύσεων: μθ
περὶ θελημάτων καὶ αὐτεξουσίων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ:— ξ
περὶ ἐνεργειῶν τῶν ἐν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ: ξα
πρὸς τοὺς λέγοντας ὡς δύο φύσεων καὶ ἐνερ- ξβ
-γειῶν ὁ ἄνθρωπος, ἀνάγκη ἐπὶ Χριστοῦ τρεῖς φύσεις
καὶ τοσαύτας λέγειν τὰς ἐνεργείας:—
περὶ τοῦ τεθεῶσθαι τήν τε φύσιν τῆς τοῦ Χριστοῦ σαρκὸς καὶ ξγ
ἔτι περὶ θελημάτων καὶ αὐτε- ⁘ τὸ θέλημα:— ξδ
ξουσίων νοῶν τε καὶ γνώσεων καὶ σοφιῶν:—
περὶ τῆς θεανδρικῆς ἐνεργείας:— ξε
περὶ τῶν φυσικῶν καὶ ἀδιαβλήτων παθῶν: ξϛ
περὶ ἀγνοίας καὶ δουλείας:— ξζ
ξη περὶ προκοπῆς:— ξθ περὶ δειλίας:—
περὶ τῆς τοῦ Χριστοῦ προσευχῆς:— ο
οα περὶ οἰκειώσεως:— οβ περὶ πάθους
τοῦ σώματος τοῦ Χριστοῦ καὶ τῆς ἀπαθείας τῆς
περὶ τοῦ ἀχώριστον μεμενηκέναι ⁘ αὐτοῦ θεότητος:— ογ
τὴν τοῦ λόγου θεότητα τῆς ψυχῆς καὶ τοῦ
σώματος καὶ ἐν τῷ θανάτῳ τοῦ Χριστοῦ καὶ μίαν
διαμεῖναι ὑπόστασιν:—

οδ Περὶ φθορᾶς καὶ διαφθορᾶς:—
οε Περὶ τῆς εἰς ᾅδου καθόδου:
ος Περὶ τῶν μετὰ τὴν ἀνάστασιν:
οζ Περὶ τῆς ἐκ δεξιῶν τοῦ θεοῦ καὶ πατρὸς καθέδρας:
οη Πρὸς τοὺς λέγοντας· εἰ δύο φύσεις ὁ Χριστός·
ἢ τῇ κτίσει λατρεύετε τὴν φύσιν κτιστὴν
προσκυνοῦντες, ἢ μίαν φύσιν προσκυ-
νητὴν, καὶ μίαν ἀπροσκύνητον:—
οθ Διατί ὁ υἱὸς τοῦ θεοῦ ἄνθρωπος γέγονε καὶ οὐχ
ὁ πατὴρ· οὐδὲ τὸ πνεῦμα· καὶ τί ἐνανθρωπήσας
π Πρὸς τοὺς ἐρωτῶντας ⁜ κατώρθωσε:
εἰ ἡ ὑπόστασις τοῦ Χριστοῦ κτιστὴ ἢ ἄκτιστος:—
πα Περὶ τοῦ πότε ἐκλήθη Χριστός:
πβ Πρὸς τοὺς ἐρωτῶντας εἰ δύο φύσεις ἐγέννησεν
ἡ ἁγία θεοτόκος, ἢ δύο φύσεις ἐπὶ σταυροῦ ἐκρέμαντο:
πγ Πῶς πρωτότοκος λέγεται ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ:
πδ Πρὸς τοὺς ἐρωτῶντας εἰ ὑπὸ τὸ συνεχὲς
ποσὸν ἀνάγονται ἢ ὑπὸ τὸ διωρισμένον ἀνάγ.
πε Περὶ πίστεως καὶ βαπτίσματος:— ⁜ δύο τοῦ Χριστοῦ φύσεις:—
πς Περὶ πίστεως: πζ Περὶ σταυροῦ ἐν ᾧ ἔτι καὶ
περὶ πίστεως:—

περὶ τοῦ προσκυνεῖν κατὰ ἀνατολάς :- πη
περὶ τῶν ἁγίων καὶ ἀχράντων τοῦ κυρίου μυστηρίων :- πθ
περὶ τῆς γενεαλογίας τοῦ κυρίου· καὶ περὶ τῆς ἁγίας θεοτόκου : ϟ
περὶ τῶν ἁγίων καὶ τῆς τῶν λειψάνων τιμῆς :- ϟα
ϟβ περὶ εἰκόνων :- ϟγ περὶ γραφῆς :-
περὶ τῶν ἐπὶ Χριστοῦ λεγομένων :- ϟδ
ὅτι οὐκ ἔστι τῶν κακῶν αἴτιος ὁ θεός : ϟε
ϟϛ ὅτι οὐ δύο ἀρχαί :- ϟζ τίνος ἕνεκεν προγινώσκων ὁ θεὸς τοὺς ἁμαρτάνειν καὶ μὴ μετανοεῖν μέλλοντας, ἔκτισεν :-
περὶ νόμου θεοῦ καὶ νόμου ἁμαρτίας :- ϟη
κατὰ ἰουδαίων περὶ τοῦ σαββάτου :- ϟθ
περὶ παρθενίας :- ρ
περὶ περιτομῆς :- ρα
περὶ τοῦ ἀντιχρίστου :- ρβ
περὶ ἀναστάσεως :- ργ

τῶν ὁσίων πατέρων καὶ θεοπτῶν μὲν τῶν περὶ χοσαν
τῶν ἀξίων πατέρων ἐπισκόπου Μαϊουμᾶ, Ἰω(άννου) ἐλαχί(στου)·

Τὸ μὲν στενὸν τῆς διανοίας καὶ τὸ ἄπορον τῆς γλώσσης τῆς ἐμαυτοῦ ἐπιστάμενος, ὤκνουν ὦ μακάριοι τοῖς ὑπὲρ δύναμιν ἐγχειρεῖν, καὶ τῶν ἀδυνάτων κατατολμᾶν· ὥσπερ τις αὐθάδης καὶ τολμητίας· τὸν ἐπηρτημένον τοῖς τοιαῦτα τολμῶσιν ὑφορώμενος κίνδυνον· ἀκούων Μωϋσῆς ὁ θεῖος ἐκεῖνος νομοθέτης· ὁ πάσης ἀνθρωπίνης σχέσεως ὑποχωρήσας· καὶ τοὺς δερματίνους χιτῶνας καταλιπών· καὶ πᾶσαν ὑλικὴν ἀποσεισάμενος ἔμφασιν καὶ τὸ τῆς ψυχῆς ὀπτικὸν καθηράμενος· κἀντεῦθεν πρὸς θεοπτίαν γενόμενος ἐπιτήδειος· ὁ τὴν πρὸς ἡμᾶς τοῦ θεοῦ λόγου φιλάνθρωπον συγκατάβασιν καὶ τὴν αὐτοῦ ὑπερφυᾶ σάρκωσιν ἐν βάτῳ καὶ ἀΰλῳ πυρὶ κατιδεῖν ἠξιωμένος· φλέγοντι μὲν καὶ ἐκπυροῦντι τὴν ἄκανθαν· καὶ πρὸς τὴν ἑαυτοῦ λαμπρότητα μηδαμῶς ἀλλοιοῦντι· οὐ καταφλέγοντι δέ· οὐδὲ

BIBLIOTECA UNIVERSITARIA

6
б. 1

ἀφανίζομεν τι· οὔτε μὴν τῆς οἰκείας αὐτοῦ δεξι-
-στῶν τῆς φύσεως· ὁ προφήτης τε τῶν οὐ τῆς
καὶ ἀληθῶς ὑπὲρ ὃ οὐσίαν· οὐ τὸ μεμυημένον
ὄνομα· τῆς οἰκείας συμφυλετῶν, τῇ προσαπτ-
-ετε θεοῦ ἐγχειρίζομεν· ἰσχνόφωνον ἐκάλεσε
ἑαυτὸν καὶ βραδύγλωσσον ὡς οὐ δυνάμενον
τῷ θείῳ ὑπηρετεῖσθαι βουλήματι· καὶ
τοῦτο πρὸς τοὺς ἐμφανῶς ἄγειν καὶ μετὰ τῆς
θεοῦ καὶ ἀμείνων καθίστασθαι, πῶς ἔσω ἐγὼ ὑπὲρ
μὲν πάσης ἁμαρτίας καθεστήκαμεν· φέρων
δὲ τῶν λογισμῶν ἐν ἑαυτῷ τὸν πολὺν τάραχον
κλύδωνα· καὶ μήτε νοσοῦν καὶ δαπάνοισιν κεκα-
-θαρμένον· ὡς ἔσω προελθεῖν· καὶ τῶν θείων χρη-
-ματίσασθαι ἐμφάσεων· μήτε λόγον ἔχων ἐ-
-παρκεῖσθαι τοῖς μὴ νοηθεῖσι δυνάμενον, τὰ θεῖα
καὶ ἄρρητα φθέγξομαι· τὰ πάσης λογικῆς
κτίσεως ὑπερβαίνοντα κατάληψιν· ταῦτα
δὴ λογιζόμενος, ὤκνουν τὸν λόγον· ἐδεδίειν τε
τὸ ἐπίταγμα· ἀρκεῖ σε ταυτὸ τἀληθές· μή
ποτε διπλοῦν ὀφλήσω τὸν γέλωτα,

τῆς ἀμαθίας ἅμα καὶ τῆς ἀνοίας· τὸ δὲ καὶ χα-
λεπώτατον· συγγνωστικώτερον μὲν γὰρ τῆς
ἀμαθίας τὸ ἔγκλημα, ἢ μὴ ἐκ ῥᾳθυμίας
παρὰ Χριστοῦ· τὸ δὲ σὺν τῇ ἀμαθίᾳ κεκτῆσθαι
τὴν τῆς γνώσεως οἴησιν, χαλεπὸν καὶ ἐπίμωμον·
καὶ συγγνώμης ἁπάσης ἀνάξιον· καὶ μείζονος
εἶναι μᾶλλον λέγω τῆς ἄκρας ἀμαθίας τεκμήριον·
ἀλλ' ἐπειδὴ τῆς παρακοῆς ὁ καρπὸς θάνατος·
ὁ δὲ ταπεινὸς καὶ ὑπήκοος Χριστοῦ μιμητὴς
καθιστάμενος μέχρι τέλους, παρ' αὐτοῦ ἀμαρτίας ἀφαιρεῖται·
καὶ χάριν παρὰ θεοῦ τὴν φωταγωγὸν κομίζεται·
καὶ ἀνοίγων τὸ στόμα, πληροῦται τοῦ πνεύματος· καὶ
καρδίαν καθαίρεται· διάνοιαν πεφωτίζεται·
καὶ λαμβάνει λόγον ἐν ἀνοίξει τοῦ στόματος· οὐ
μόνον ἡμῶν τῇ λαλήσει· ὀργάνου δὲ χρηματί-
ζων ἐν αὐτῷ λαλοῦντι τοῦ πνεύματος· δι' ὑμῶν τῶν
ἐν ὑμῖν ἱεραρχούντων Χριστῷ πειθόμενος, ὑποκύπτων
τῷ ἐπιτάγματι· καὶ ἀνοίγω τὸ στόμα θαρρῶν
ταῖς ὑμῶν ἱεραῖς εὐχαῖς, ὡς πληρωθήσεται
πνεύματος· καὶ λαλήσω λόγια, οὐ τῆς διανοίας τῆς

ἐμῆς καρπόν, ἀλλὰ καρπὸν τοῦ τοιούτου φιλο-
σοφίζοντος πάντως. ὅσα δ᾽ ὥσει λαμβάνομεν,
καὶ ταῦτα φθεγγόμενοι. καὶ περὶ τούτων μὲν τῶν
παρ᾽ ἑλλήνων σοφῶν, καὶ ἄλλοις τισὶ παραθή-
σομαι. ὃ δ᾽ ὥσπερ εἴ τι μὲν ἀγαθόν, ἄνωθεν πα-
θεοῦ τοῖς ἀμφοῖς δεδώρηται. ἐπειδὴ πᾶσα
δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ἄνωθεν
ἐστὶ καταβαῖνον παρὰ τοῦ πατρὸς τῶν φώτων.
ὅτι δὲ τῆς ἀληθείας ἀντίπαλον, τῆς σα-
τανικῆς πλάνης εὕρεμα σκοτεινὸν καὶ ἀμοι-
ἀναπλάσματα κακοδαίμονος. ὡς τὸ πολὺ τῆς
θεολογίας ἐφηγήτορι· τὸν τῆς μελίσσης
τρόπον μιμούμενος, τοῖς οἰκείοις τῆς ἀλη-
θείας σιωθήσομαι. καὶ παρ᾽ ἐχθρῶν σοφίαν καρπώσομαι.
ἀποπέμψομαι δὲ πᾶν ὅτι φαῦλον καὶ τῆς
ψευδωνύμου ἐχόμενον γνώσεως. ἤτοι
τούτων ἐχόμενα, τῶν θεοστυγῶν αἱρέσεων
ἐκ τάξεως καὶ φληναφήματα. ὡς ἂν τὸ
ψεῦδος ἐπιγινώσκοντες, πλέον τῆς ἀλη-
θείας ἐχόμεθα. ἤτοι τὴν τῆς πλάνης

ὁ λέπει ῥᾷον καὶ τοὺς ψευδώδεις ἐλατῆρας, ὥσπερ
κεροάστω τοῖς χρυσοῖς τοῖς τῶν θεοπνεύ-
στων προφητῶν καὶ θεοδιδάκτων ἁλιέων· καὶ
θεοφόρων ποιμένων τε καὶ διδασκάλων λογίοις
κεκαλλωπισμένην καὶ περικεκοσμημένην
ἀλήθειαν, σὺν θεῷ καὶ τῇ αὐτοῦ ἐκθήσομαι χά-
ριτι· ἧς ἡ δόξα εἰς αἰῶνας ἀπαρεγχείρητος· τοὺς
ἐντυγχάνοντας μὲν αὐθεκουσίους καθάρσεως
καὶ τῶν ταραχωδῶν λογισμῶν ἀποθέσεως,
φωτίζει τοῖς ἀμαρύγμασι· ἐρῶ δὲ ἐμὸν ὡς
ἔφην οὐδέν, τὰ δὲ τοῖς ἐγκρίτοις τῶν διδασκάλ(ων)
πεπονημένα, εἰς ἓν συλλεξάμενος ὅσον δυνατόν,
συντετμημένον τοῦ λόγου ποιήσομαι· κατὰ
πάντα ὑπείκων τῷ ἡμετέρῳ πρὸς ταῦτα μέντοι·
ἀλλά μοι σὺ γνώμων ἐγγίνοιο θεοτίμητοι παρακαλῶ,
θεοτίμητοι, ταῖς ὑμετέραις ἀγάπαις ἐν τῷ λόγῳ πει-
θαρχήσαντι· καὶ λαμψάμενον τὸ ὑπήκοον,
τὴν τῶν εὐχῶν χορηγίαν ἀποδότε:—

+ Περὶ τοῦ ὄντος οὐσίας τε καὶ συμβεβηκότος:

Τὸ ὂν, κοινὸν ὄνομά ἐστι πάντων τῶν ὄντων:




b. m.

Ens diuidi in substãtiam & accidens

Diffe S. & accidentis

τοῦτο οὖν τὸ ὄν, τέμνεται εἴς τε οὐσίαν καὶ συμβεβηκός. οὐσία μὲν οὖν ἐστι, πρᾶγμα αὐθύπαρκτον· τὸ ἀφ' ἑαυτοῦ ἔχειν, τὴν ὕπαρξιν· καὶ μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν. ἤγουν τὸ ἐν ἑαυτῷ ὄν· καὶ μὴ ἐν ἑτέρῳ ἔχον τὴν σύστασιν, ἤτοι τὴν ὕπαρξιν. συμβεβηκὸς δέ, τὸ μὴ δυνάμενον ἐν ἑαυτῷ εἶναι, ἀλλ' ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν. ἡ μὲν γὰρ οὐσία, ὑποκείμενόν ἐστιν ὥσπερ ὕλη τῶν πραγμάτων. συμβεβηκὸς δέ, τὸ ἐν τῇ οὐσίᾳ θεωρούμενον. οἷον, τὸ σῶμα καὶ τὸ χρῶμα. οὐ γάρ ἐστι τὸ σῶμα ἐν τῷ χρώματι· ἀλλὰ τὸ χρῶμα, ἐν τῷ σώματι. ἔστιν οὖν τὸ μὲν σῶμα, οὐσία. τὸ δὲ χρῶμα, συμβεβηκός. ὁμοίως καὶ ἡ ψυχὴ καὶ ἡ φρόνησις. οὐ γάρ ἐστιν ἡ ψυχὴ ἐν τῇ φρονήσει. ἀλλ' ἡ φρόνησις ἐν τῇ ψυχῇ. διὸ οὐδὲ λέγεται τὸ σῶμα τοῦ χρώματος. ἀλλὰ τὸ χρῶμα τοῦ σώματος. οὐδὲ ἡ ψυχὴ τῆς φρονήσεως, ἀλλ' ἡ φρόνησις τῆς ψυχῆς. ἔστιν οὖν ἡ μὲν ψυχή, οὐσία. ἡ δὲ φρόνησις, συμβεβηκός. τῆς μὲν γὰρ ψυχῆς

ἀμεροῦς μένοντος, ἀμερεῖ ταύτῃ καὶ ἡ φρόνησις· μὴ
οὔσης δὲ ψυχῆς, οὐδὲ τίνι ἔσται ἡ φρόνησις; φρο-
-νήσεως δὲ ἀμεροῦς μενούσης, οὐ πάντως ἀμερεῖ
ἡ ψυχή· οὐδὲ ἔχεται τὸ εἶναι ψυχὴν ἐκ τῆς φρο-
-νήσεως· ὁμοίως δὲ καὶ ἐπὶ πάντων τούτων
τὸ ἐν ἑαυτῷ ἔχον τὸ εἶναι καὶ μὴ ἐν ἑτέρῳ, οὐσία
ἐστί· τὸ δὲ μὴ δυνάμενον καθ᾽ ἑαυτὸ εἶναι· ἀλλ᾽
ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν, συμβεβηκός ἐστι: —

† περὶ γένους καὶ εἴδους τοῦ διηνεκῶς ποσοῦ
καὶ τοῦ ἀδιηνεκῶς ποσοῦ καὶ τῶν ὑπαλλήλων: — ρδ̄

Τὸ γένος τριχῶς λέγεται· καθ᾽ ἕνα μὲν τρόπον
ὡς ἀπὸ τοῦ τεκόντος ὥσπερ οἱ ἐξ Ἰσραὴλ, Ἰσρα-
-ηλῖται λέγονται· κατὰ δὲ ἕτερον τρόπον, ἀπὸ
τῆς πατρίδος· ὥσπερ οἱ ἀπὸ Ἱεροσολύμων,
Ἱεροσολυμῖται λέγονται· καὶ οἱ ἀπὸ Παλαιστίνης,
Παλαιστιναῖοι· κατὰ δὲ τρίτον τρόπον γένος Palestinaei
λέγεται, τὸ ἀγορευόμενον κατὰ εἴδη· περὶ οὗ παρὰ
τοῖς φιλοσόφοις ὁ λόγος· ὃ καὶ ὁριζόμενοι
λέγουσι γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφε-
-ρόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον.

b.ium

καὶ τὸ εἶδος δὲ, δύο σημαινόμενα ἔχει. λέγεται
γὰρ εἶδος, τὸ σχῆμα καὶ ἡ μορφή· οἷον, τὸ εἶδος
τοῦ ἀνδριάντος. λέγεται δὲ πάλιν εἶδος,
τὸ τασσόμενον ὑπὸ τὸ γένος· ἢ τὸ ἐκ γένους
διαιρούμενον· περὶ τούτου τοῖς φιλοσόφοις
ὁ λόγος. ἐπειδὴ δὲ καὶ περὶ τοῦ γένους διαλε-
-γόμενοι, τοῦ εἴδους ἐμνημονεύσαμεν ὡς ὑπὸ τὸ
γένος ὄντος καὶ τὸ διαιρούμενον εἰς εἴδη· καὶ πάλιν
περὶ τοῦ εἴδους διαλεγόμενοι τοῦ γένους ἐμνη-
-μονεύσαμεν ὡς ὑπὸ τὸ, εἶδος ὄντος, τὸ ἐκ τοῦ γένους
διαιρούμενον· χρήσιμον ὡς ἔχειν· ὅτι ὥσπερ περὶ
πατρὸς λέγοντες, ἐξ ἀνάγκης καὶ τοῦ υἱοῦ μνη-
-μονεύομεν· οὗτος γάρ ἐστι πατὴρ ὁ ἔχων υἱόν, καὶ
περὶ τοῦ υἱοῦ διαλεγόμενοι, ἐξ ἀνάγκης καὶ τοῦ
πατρὸς ἐμνημονεύσαμεν· οὗτος γάρ ἐστιν υἱὸς ὁ ἔχων
πατέρα, οὕτω καὶ ἐνταῦθα, ἀδύνατον περὶ τοῦ
γένους διαλαμβάνειν, ἐκτὸς τοῦ εἴδους· ἢ καὶ περὶ τοῦ
εἴδους, ἐκτὸς τοῦ γένους· τὸ γὰρ γένος, εἰς εἴδη
διαιρεῖται πάντως καὶ τὰ μὴ ἔχοντα εἴδη ὑφ' ἑαυτὸ
διαιρούμενα, οὐκ ἔστι γένος. καὶ τὰ εἴδη ἐκ τοῦ

γένους διαιρεῖται· καὶ τὰ μὲν ἔχοντα γένος, οὐχ
ἕτερα εἴδη· καὶ ὥσπερ ὁ πρῶτος ἄνθρωπος μὴ ἔ-
-χων πατέρα ἤγουν ὁ ἀδάμ, οὐ λέγεται υἱός· λέγεται
δὲ πατήρ· ἔχει δὲ υἱούς· ὁ δὲ σὴθ καὶ υἱὸς λέγεται
τοῦ τεκόντος αὐτόν· ἔχει ὡς πατέρα τὸν ἀδάμ·
καὶ πατὴρ λέγεται τοῦ τεχθέντος ἐξ αὐτοῦ· ἐγέννησε
δὲ υἱόν· ὁ δὲ ἄβελ, υἱὸς μὲν λέγεται· ἔχει καὶ
πατέρα· πατὴρ δὲ οὐ λέγεται· οὐ γὰρ ἔσχεν υἱόν, οὕτω
καὶ ἐπὶ τοῦ γένους καὶ ἐπὶ τοῦ εἴδους. τὸ πρῶτον
γένος ὃ πρῶτον οὐ διαιρεῖται ἀπὸ γένους, οὐδὲ ἔχει πρὸ
αὐτοῦ γένος, γένος μόνον ἐστὶ καὶ οὐκ ἔστιν εἶδος·
καὶ λέγεται γενικώτατον γένος· ὃ καὶ ἀφοριζόμενοι — Generis ge-neralissimi diff.º
φασί· γενικώτατον γένος ἐστίν, ὃ γένος ὄν, οὐκ
ἔστιν εἶδος· διὰ τὸ μὴ ἔχειν ἐπάνω αὐτοῦ γένος·
τὰ δὲ ἐξ αὐτοῦ διαιρούμενα εἴδη, ἐὰν ἔχωσιν
ὑποκάτω αὐτῶν ἄλλα εἴδη ἐξ αὐτῶν διαιρούμενα,
καὶ εἴδη ἐστὶ τῶν πρὸ αὐτῶν, ἤγουν τῶν ἐπάνω ἐξ ὧν
τέμνονται, καὶ γένη τῶν ἐξ αὐτῶν, ἤγουν τῶν ὑποκάτω.
καὶ λέγονται καὶ γένη καὶ εἴδη ὑπάλληλα· τὰ δὲ εἴδη
τὰ ἔσχατα καὶ κατώτατα τὰ μὴ ἔχοντα

ὑποκάτω αὐτῶν ἄλλα γένη, οὐ λέγονται γενικά,
ἀλλὰ γένη μόνον. διὰ τὸ μὴ ἔχειν ὑποκάτω
αὐτῶν ἄλλα εἴδη ἐξ αὐτῶν διαιρούμενα. αὐ
δύνατον τὸ ἐρηθὲν γένος, ἃ μὴ ἔχει ὑποκάτω
αὐτοῦ εἴδη ἐξ αὐτοῦ διαιρούμενα. λέγεται οὖν
τὸ εἶδος, τὸ μὴ ὂν γένος, εἰδικώτατον εἶδος·
ὥσπερ τὸ γένος τὸ μὴ ὂν εἶδος, λέγεται γενι-
κώτατον γένος. χρὴ γινώσκειν ὅτι ἀμφ' ἀρχὴ
ἐστὶν εἶναι καὶ εἴδη καὶ τὸ ὄνομα τοῦ γένους
αὐτῶν καὶ τὸν ὁρισμὸν δέχονται. καὶ τὸ γένος
τὸ ἀπὸ τοῦ γένους ἕως τοῦ γενικωτάτου. ἀλ-
λων δὲ καὶ γένη, οὐ δύνανται τὸν ὁρισμὸν δέξασθαι
προτόνου οὖν καὶ γενικώτατον γένος ἐστὶν ἡ οὐσία.
ἀλλ' ὅτι καὶ τέμνεται ἐκ τοῦ ὄντος ἡ οὐσία καὶ τὸ
συμβεβηκός, ἀλλ' οὐκ ἔστι γένος αὐτῶν, τὸ ὄν.
ἐπειδὴ τὸ ὄνομα τοῦ ὄντος δέχονται, τὸν δὲ
ὁρισμὸν, οὐ δέχονται. τὸ γὰρ ὄν, οὕτως ὁρίζεται.
ὄν ἐστι πρᾶγμα ἢ αὐθυπαρκτὸν καὶ μὴ δεόμενον
ἑτέρου πρὸς σύστασιν· ἢ τὸ μὴ καθ' ἑαυτὸ δυ-
νάμενον εἶναι, ἀλλ' ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν.

Τὸ ὄν. no ee genus

Τοῦ ὄντος diffo

ἡ δὲ οὐσία, πρᾶγμα αὐθύπαρκτον καὶ μὴ δεό-
μενον ἑτέρου πρὸς σύστασιν μόνον· καὶ τὸ συμ-
βεβηκὸς πρᾶγμα τὸ μὴ καθ᾽ αὑτὸ δυνά-
μενον εἶναι, ἀλλ᾽ ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν μᾶλλον.
ἰδοὺ οὔτε ἡ οὐσία ἐδέξατο ὅλον τὸν ὅρον τοῦ
ὄντος· οὐδὲ τὸ συμβεβηκός, ἀλλ᾽ ἡ μὲν οὐσία,
τὸ ἥμισυ· καὶ τὸ συμβεβηκός, τὸ ἄλλο ἥμισυ·
τὰ δὲ εἴδη καὶ τὸ ὄνομα καὶ ὅλον τὸν ὅρον τοῦ γένους,
τέλειον θέλουσι δέχεσθαι· ὥσπερ ἡ οὐσία,
οὐκ ἔστιν εἶδος, μὴ ἔχουσα ἐπάνω αὐτῆς γένος·
ἀλλ᾽ αὐτή ἐστι πρῶτον καὶ γενικώτατον γένος·
αὕτη οὖν ἡ οὐσία, τέμνεται εἰς σῶμα καὶ ἀ-
σώματον· τὸ οὖν σῶμα καὶ τὸ ἀσώματον,
εἴδη εἰσὶ τῆς οὐσίας· πάλιν τὸ σῶμα, τέμνεται
εἰς ἔμψυχον καὶ ἄψυχον· ἰδοὺ πάλιν τὸ σῶμα,
εἶδος ὂν τῆς οὐσίας, γένος ἐστὶ τοῦ ἐμψύχου
καὶ τοῦ ἀψύχου· καὶ τὸ ἔμψυχον δὲ πάλιν διαιρεῖται,
εἰς αἰσθητικὸν καὶ ἀναίσθητον· αἰσθητικὸν μὲν τὸ
ζῷον· τὸ ζῷον καὶ αἴσθησιν ἔχον· ἀναίσθητον
δὲ τὸ φυτόν. οὐ γὰρ ἔχει αἴσθησιν· ἔμψυχον δὲ

Animata cé plantá qa h't tres potentias

λέγεται τὸ φυτόν, διὰ τὸ ἔχειν θρεπτικὴν
καὶ αὐξητικὴν καὶ γεννητικὴν δύναμιν. τὸ ζῶον
πάλιν τέμνεται εἰς λογικὸν καὶ ἄλογον. τὸ λο-
-γικὸν εἰς θνητὸν καὶ ἀθάνατον· τὸ θνητὸν,
ὡς ἄνθρωπον λογικόν, καὶ εἰς τὰ ἄλογα· ἵππον·
κύνα· καὶ τὰ τοιαῦτα· ἅτινα οὐ τέμνονται
εἰς ἄλλα εἴδη, ἀλλ' εἰς ἄτομα· ἤγουν ὑποστάσεις.
διαιρεῖται γὰρ ὁ ἄνθρωπος, εἰς πέτρον· παῦλον·
ἰω(άννην) καὶ εἰς τοὺς λοιποὺς κατὰ μέρος ἀνθρώπους· οἵ-
τινες οὐκ εἰσὶν εἴδη· τὰ γὰρ εἴδη ὥσπερ προείπομεν,
οὐ δέχονται τοὺς ὁρισμοὺς ἀλλήλων· οἷον, τὸ
σῶμα, οὐ δέχεται τὸν ὁρισμὸν τοῦ ἀσω-
-ματου· ὁ ἄνθρωπος οὐ δέχεται τὸν ὁρισμὸν τοῦ
ἵππου· ὁ δὲ πέτρος καὶ παῦλος καὶ ἰω(άννης), ἕνα ὁρισμὸν
ἐπιδέχονται τὸν τοῦ ἀνθρώπου· ὁμοίως καὶ οἱ λοιποὶ
ἄνθρωποι· ὥστε οὐκ εἰσὶν εἴδη τοῦ ἀνθρώπου, ἀλλ' ἄτομα,
ἤγουν ὑποστάσεις· πάλιν δὲ τὸ εἶδος, τεμνόμενον
μεταδίδωσι τοῖς ὑποκάτω αὐτοῦ, καὶ τοῦ
ὀνόματος καὶ τοῦ ὁρισμοῦ· ὁ δὲ πέτρος τεμνό-
-μενος εἰς ψυχὴν καὶ σῶμα· οὐδὲ τῇ ψυχῇ μεταδί-

ἄτομα καὶ ὑποστάσεις

Hypostasis

δίδωσι τοῦ ὀνόματος καὶ τοῦ ὅρου αὐτῶν· οὐ γὰρ
* τῷ σώματι· ἐπειδὴ πᾶσα διαίρεσις ἀπὸ
γένους εἰς εἴδη γινομένη, μέχρι δύο ἢ τριῶν
ἀναγκαίως δὲ τελευτὰς φθάνει· ἀδύνατον γὰρ φθάνει
διαιρεθῆναι γένος εἰς πάντα τε εἴδη καὶ ἐπάνω·
ὁ δὲ ἄνθρωπος, εἰς πάντας τοὺς κατὰ μέρος
ἀνθρώπους διαιρεῖται· οἵτινες, ἄπειροι εἰσὶ τῷ
ἀριθμῷ· διὸ φασὶ τινὲς οὐδὲ διαίρεσιν λέγεσθαι Pulchrum
τὴν ἀπὸ εἴδους εἰς ἄτομα, ἀλλ' ἀπαρίθμησιν·
ὅθεν δῆλον οὖν ὅτι οὐκ ἔστιν ὁ Πέτρος καὶ ὁ Παῦλος καὶ οἱ τοιοῦτοι
εἴδη, ἀλλ' ἄτομα ἤγουν ὑποστάσεις· ὅ τε ἄνθρωπος,
οὐκ ἔστι γένος τοῦ Πέτρου καὶ τῶν λοιπῶν ὑποστάσεων,
ἀλλ' εἶδος· διὸ εἰδικώτατον εἶδος ἐστὶν ὁ ἄνθρωπος.
εἶδος γὰρ τῶν ἐπάνω, καὶ εἶδος τῶν ὑποκάτω.
ὁμοίως καὶ οἱ ἵπποι καὶ ὁ κύων καὶ τὰ τοιαῦτα, εἴδη
μόνον εἰσὶ, καὶ οὐ γένη· διὸ εἰδικώτατά εἰσι·
τὰ δὲ μεταξὺ τοῦ γενικωτάτου γένους καὶ τῶν
εἰδικωτάτων εἰδῶν, γένη εἰσὶ καὶ εἴδη ὑπ' ἀλλήλα·
εἴδη μὲν, τῶν ἐπάνω· γένη δὲ τῶν ὑποκάτω.
καὶ αὗται εἰσὶ καὶ οὐσιώδεις καὶ φυσικαὶ διάφοροι.

Diff.ae substantiales & physicae & qualitates quae dicuntur Divisivae & constitutivae

καὶ ποιότητες. αὗται δὲ λέγονται διαιρετικαὶ
καὶ συστατικαί· διαιρετικαὶ μὲν, τῶν ἐπάνω·
συστατικαὶ δὲ τῶν ὑποκάτω. τὸ γὰρ σῶμα
καὶ τὸ ἀσώματον, διαιροῦσι τὴν οὐσίαν. ὁμοίως
καὶ τὸ ἔμψυχον καὶ τὸ ἄψυχον, διαιροῦσι τὸ σῶμα.
ὁμοίως τὸ αἰσθητικὸν καὶ τὸ ἀναίσθητον, δι-
αιροῦσι τὸ ἔμψυχον. αὗται οὖν συνιστῶσι τὸ
ζῷον. λαμβάνω γὰρ οὐσίαν ἔμψυχον αἰσθητικὴν
καὶ ποιῶ τὸ ζῷον· ζῷον γάρ ἐστιν οὐσία ἔμψυχος
αἰσθητική· λαμβάνων γὰρ πάλιν οὐσίαν ἄψυχον
ἀναίσθητον, καὶ ποιῶ τὸν λίθον· πάλιν λαμ-
βάνω οὐσίαν ἔμψυχον ἀναίσθητον καὶ ποιῶ
τὸ φυτόν· πάλιν τὸ λογικὸν καὶ τὸ ἄλογον, δι-
αιροῦσι τὸ ζῷον· τὸ θνητὸν καὶ τὸ ἀθάνατον,
διαιροῦσι τὸ λογικόν· λαμβάνω οὖν τὸ ζῷον
γένος ὄν, καὶ τὸ λογικὸν καὶ τὸ θνητόν, καὶ συνιστῶ
τὸν ἄνθρωπον· ἄνθρωπος γάρ ἐστι ζῷον λογικὸν θνητόν· καὶ
λαμβάνω τὸ ζῷον καὶ τὸ ἄλογον καὶ τὸ θνητόν,
καὶ συνιστῶ τὸν ἵππον τυχὸν ἢ κύνα καὶ τὰ
τοιαῦτα· διαφοραὶ δὲ λέγονται οὐσιώδεις

Quare vocentur differentiae substantiales & naturales

καὶ φύσει καί, ὅτι αὗται ποιοῦσι διαφορὰν
εἴδους ἄλλου εἴδους· καὶ φύσιν καὶ οὐσίαν ἑτέραν
ποιοῦσι καὶ ἔχουσι:- + περὶ ἀτόμου:-

Τὸ ἄτομον τετραχῶς λέγεται· ἄτομον δὲ
λέγεται, τὸ μὴ τεμνόμενον, μηδὲ μεριζό-
μενον· ὡς ἡ στιγμὴ καὶ τὸ νῦν καὶ ἡ μονάς· ἅτινα
καὶ ἄποσα λέγονται. ἄτομον λέγεται, καὶ τὸ δυσ- ἄποσα.
τμητον· τουτέστι τὸ δυσχερῶς τεμνόμενον,
ὡς ὁ ἀδάμας λίθος καὶ τὰ τοιαῦτα. ἄτομον ἀτόμου
λέγεται καὶ τὸ εἶδος· ὅπερ οὐκέτι εἰς ἕτερα significa
εἴδη τέμνεται· ἤτοι τὸ εἰδικώτατον· ὡς tiones. 4.
ἄνθρωπος, ἵππος καὶ τὰ τοιαῦτα. ἄτομον δὲ κυρίως
λέγεται, ὅπερ τεμνόμενον, οὐ σώζει μετὰ
τὴν τομὴν τὸ πρότερον εἶδος· ὥσπερ Πέτρος
τέμνεται μὲν εἰς ψυχὴν καὶ σῶμα· ἀλλ' οὔτε
ἡ ψυχὴ καθ' ἑαυτήν ἐστιν ἄνθρωπος τέλειος· ἢ Πέτρος
τέλειος, οὔτε τὸ σῶμα. περὶ τούτου παρὰ
τοῖς φιλοσόφοις ὁ λόγος, ὅπερ δηλοῖ τὴν
ὑπόστασιν. ἡ οὐσία γενικώτατον γένος ἐστίν· αὕτη, Hyposta
διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον· τὸ σῶμα, sis

ὡς ἔμψυχον καὶ ἄψυχον· τὸ ἔμψυχον, ὡς αἰσθητικὸν
ζῷον, καὶ ἀναίσθητον· ζωόφυτον καὶ φυτόν·
τὸ ζῷον, ὡς λογικὸν καὶ ἄλογον· τὸ λογικόν, ὡς
θνητὸν καὶ ἀθάνατον· τὸ θνητόν, ὡς ἄνθρωπος· ὡσπερ
καὶ τὰ τοιαῦτα· ὁ ἄνθρωπος, ὡς πέτρον· παῦλον·
καὶ τοὺς λοιποὺς κατὰ μέρος ἀνθρώπους· οἵτινες εἰσὶν
ἄτομα καὶ ὑποστάσεις καὶ πρόσωπα. τὸ σῶμα,
εἶδος τῆς οὐσίας καὶ γένος τοῦ ἐμψύχου· τὸ ἔμψυχον,
εἶδος τοῦ σώματος· καὶ γένος τοῦ αἰσθητικοῦ ζώου·
τὸ αἰσθητικὸν ζῷον, εἶδος τοῦ ἐμψύχου· καὶ γένος
τοῦ λογικοῦ· τὸ λογικόν, εἶδος τοῦ ζώου, καὶ γένος
τοῦ θνητοῦ· τὸ θνητὸν εἶδος τοῦ λογικοῦ καὶ γένος
τοῦ ἀνθρώπου· ὁ ἄνθρωπος εἰδικώτατον εἶδος· εἶδος
δέ ἐστι τοῦ θνητοῦ· καὶ εἶδος τοῦ πέτρου καὶ παύλου·
ὅπερ ἐστὶ φύσις καὶ μορφὴ καὶ οὐσία κατὰ τοὺς ἁγίους
πατέρας. ταῦτα τὰ μέσα τοῦ γενικωτάτου
γένους ἤτοι τῆς οὐσίας· καὶ τῶν εἰδικωτάτων εἰδῶν
ἤτοι ἀνθρώπου, γένη εἰσὶ καὶ εἴδη ὑπάλληλα. ταῦτα
δὲ λέγονται οὐσιώδεις καὶ φυσικαὶ διαφοραί, καὶ
ποιότητες διαιρετικαὶ τῶν ἐπάνω. καὶ

πρόσωπα ἄτομα idem Hypostases

Quæ sunt differentiæ appellat species. Notandum

Notandum hoc

οὐσιαστικαὶ καὶ τῶν ὑποκάτω· καὶ εἰδοποιοὶ τῶν
ἐχομένων αὐτῶν εἰδῶν· οὖν εἰσιν αὐταὶ καὶ
διαιρετικαὶ φυσικαὶ αὐτῶν· — περὶ διαφορᾶς· δι

Ἡ διαφορὰ τριχῶς λέγεται· κοινῶς τε καὶ ἰδίως· Diff.ª tri
καὶ ἰδιαίτατα. ἀδύνατον γὰρ εὑρεθῆναι δύο plicite
τινὰ μὴ διαφέροντα, ἀλλήλων κατά τι· dicitur
ἄλλοις οὖν πράγμασι, διαφέρει ἕκαστος ἑκάστου·
καὶ ἄλλοις, ὑπόστασις τῆς ὁμοειδοῦς ἑαυτῆς
ὑποστάσεως· καὶ ἄλλοις, ὑπόστασις ἑαυτῆς·
διαφέρει μὲν γὰρ τὸ εἶδος τοῦ ἀνθρώπου τοῦ εἴδους
τοῦ ἵππου, κατὰ τὸ λογικὸν καὶ ἄλογον· καὶ τὸ
λογικὸν καὶ ἄλογον, οὐσιώδεις διαφοραί·
ὁμοίως καὶ πάντα οἷς διαφέρει εἶδος εἴδους,
φυσικὴ καὶ οὐσιώδης καὶ συστατικὴ καὶ εἰδοποιὸς (H
διαφορά· καὶ ποιότης λέγεται· ἥτις καλεῖται
παρὰ τοῖς φιλοσόφοις, ἰδιαίτατα διαφορὰ
ὡς οἰκειοτέρα καὶ τῆς φύσεως παραστατική·
πάλιν διαφέρει ἄνθρωπος ἀνθρώπου· ἢ ἵππος, ἵππου·
ἢ κύων κυνός· καθὸ ὁ μέν ἐστι μακρός· ὁ δὲ κο- κολοβος
λοβός· ὁ μὲν, παλαιός· ὁ δὲ, νέος· ὁ καὶ ἀνθρωπος nanus

Ad substátia les differetiae & qualitates i. accidẽs ε̃

φρόνιμος· ὁ ἕτερος, μωρός. ταῦτα πάντα,
ἐν ποιοῖς ὥσπερ διαφορὰ καὶ ποιότητι τῷ χρώματι
ὅτερον ἐστὶ τὸ συμβεβηκός. —

+ περὶ συμβεβηκότος: —

Συμβεβηκός ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται
χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. καὶ
πάλιν. ὃ ἐνδέχεται τῷ αὐτῷ ἅμα καὶ μὴ εἶναι.
καὶ γὰρ ἐνδέχεται τὸν ἄνθρωπον λευκὸν εἶναι, καὶ μὴ εἶναι
λευκόν. ὁμοίως καὶ μακρὸν καὶ φρόνιμον καὶ
σιμόν. Τοῦτο δὲ τὸ συμβεβηκός, διαιρεῖται
ἀσθενῶς· εἰς τὴν κοινῶς διαφορὰν καὶ εἰς τὴν
ἰδίως διαφοράν. κοινῶς μὲν οὖν διαφορά
ἐστι τὸ χωριστὸν συμβεβηκός. οἷον, καθῆσθαί τις, καὶ ἕτερος ἑστάναι. ἐνδέχεται
γὰρ τῷ ἀναστῆναι τοῦ καθημένου καὶ καθίσαι
τοῦ ἑσταμένου, χωρισθῆναι τὴν διαφορὰν
αὐτῶν καὶ λαμβάνειν αὐτοὺς ἀλλήλων ἀλλήλως.
καὶ ἑαυτοῦ λέγεταί τις διαφέρειν κατὰ τὸ
χωριστὸν συμβεβηκός. διαφέρει γὰρ ἑαυτοῦ,
ἐν τῷ καθῆσθαι καὶ ἀνίστασθαι. ἐν τῷ νεάζ//

Diuisio accidentis in differétiá cõmuniter & differétiam proprie

καὶ ὑπογραφή· ἢ τῷ νοσεῖν καὶ ὑγιαίνειν· καὶ τοῖς τοιούτοις
οὗτοι σ ἰδίως δὲ διαφοραί εἰσι· τὸ ἀχώριστον
συμβεβηκός· οἷον, ἔστι τις σιμός· ἀδύνατον
χωρισθῆναι αὐτοῦ τὴν σιμότητα, καὶ γλαυ-
κότητα, καὶ τὰ ὅμοια· κατὰ ταῦτα οὖν ταῖς
ἀχωρίστοις συμβεβηκόσι, καὶ αὐτὸ μὲν αὐτοῦ
ἢ ἴσον ὑποστάσεως ὑποστάσει διαφέρει· αὐτὸς
δὲ ἑαυτοῦ, οὐδέποτε. ταῦτα δὲ, οὖν τε-
λοῦντα εἰς τὸν ὁρισμόν· ὁ δὲ χε δεῖ εἶναι ἄμεσον
σιμόν, καὶ μὴ εἶναι· καὶ ἀποβαλομένης τῆς γλαυ-
κότητος, οὐδ' ἣ πονὸς ἄμεσος μένει ἄμεσος: —

\+ περὶ ἰδίου : — ς

Τὸ ἴδιον, τετραχῶς λέγεται· πρῶτον, ὃ μόνῳ
ὑπάρχει τῷ εἴδει· οὐ παντὶ δὲ ὡς περ τῷ γε-
ωμετρεῖν τῷ ἀνθρώπῳ. μόνος γὰρ ὁ ἄνθρωπος γεωμέ-
τρης· ἀλλ' οὐ πᾶς ἄνθρωπος γεωμέτρης. δεύτερον,
ὅ περ παντὶ μὲν, οὐ μόνῳ δὲ· ὡς τὸ δίπουν·
πᾶς γὰρ ἄνθρωπος, δίπους· οὐ μόνον δὲ ὁ ἄνθρωπος
δίπους, ἀλλὰ καὶ περιστερὰ· καὶ τὰ τοιαῦτα·
τρίτον, ὅ περ παντὶ μὲν καὶ μόνῳ οὐχ ἀεί·

ὥσπερ τὸ πολιοῦσθαι τῷ ἀνθρώπῳ· τοῦτο γὰρ παντὶ μὲν καὶ μόνῳ ἀνθρώπῳ ἁρμόζει· οὐκ ἀεὶ δέ, ἀλλ' ἐν τῷ γήρᾳ· τέταρτον, ὅπερ γίνεται ἐκ τῶν τριῶν τῶν προειρημένων συνερχομένων· τουτέστι, παντὶ καὶ μόνῳ καὶ ἀεὶ, ὅπερ ἀντιστρέφει· ὥσπερ τὸ γελαστικὸν τῷ ἀνθρώπῳ, καὶ τὸ χρεμετιστικὸν τῷ ἵππῳ. καὶ ταῦτα· μόνος γὰρ ὁ ἄνθρωπος ἔχει τὸ γελαστικόν· καὶ πᾶς ἄνθρωπος, καὶ ἀεί· κἂν μὴ ἀεὶ κέχρηται αὐτῷ· περὶ τούτου τοῦ σημαινομένου παρὰ τοῖς φιλοσόφοις ὁ λόγος· ὅπερ ὑπογράφοντες φαμέν· ἴδιόν ἐστι, τὸ παντὶ καὶ μόνῳ τῷ εἴδει καὶ ἀεὶ ὑπάρχον· τοῦτο δὲ τριχῶς διαιροῦσιν· ἀπὸ τῆς διοργανώσεως ἤτοι τῆς διαπλάσεως· ὡς τὸ πλατυώνυχον τῷ ἀνθρώπῳ· ἀπὸ τῆς ἐνεργείας, ὡς τῷ πυρὶ τὸ ἄνω φέρεσθαι· ἀπὸ τῆς δυνάμεως, ὡς λέγομεν τῷ πυρὶ ὑπάρχειν τὴν θερμαντικὴν δύναμιν· ὑπερβάλλουσαν τὰς τῶν ἄλλων σωμάτων θερμότητας. λέγεται δὲ τὸ

Nota hanc divisionem proprii in quarta specie

ὅλον, ἐποίησα ὧδε:— περὶ τῶν κατηγορουμένων:— ξ

Πᾶσαι κατηγορίαι ἢ ἐπὶ πλέον γίνονται, ἢ ἐπ' ἴσης· ἐπ' ἔλαττον δὲ, οὐδέποτε. καὶ ἐπὶ πλέον μὲν, ὅτε τὰ καθολικώτερα κατηγοροῦνται τῶν μερικωτέρων· καθολικώτερα μὲν οὖν εἰσι τὰ ἐπάνω· μερικώτερα δὲ τὰ ὑποκάτω· καὶ καθολικώτερον μὲν πάντων ἐστὶ τὸ ὄν· οἷον καὶ πάντων κατηγορεῖται· καὶ γὰρ καὶ ἡ οὐσία, ὂν λέγεται· καὶ τὸ συμβεβηκὸς, ὂν λέγεται. οὐ δυνάμεθα γὰρ εἰπεῖν ὅτι τὸ ὂν οὐσία ἐστίν· οὐ μόνον γὰρ ἡ οὐσία ἐστὶ τὸ ὄν, ἀλλὰ καὶ συμβεβηκός. ὁμοίως καὶ τὰ γένη κατηγοροῦνται τῶν εἰδῶν, ὡς καθολικώτερα· τὰ δὲ εἴδη οὐ κατηγοροῦνται τῶν γενῶν· τὰ γὰρ εἴδη, μερικώτερα τῶν γενῶν εἰσί. κατηγορεῖται γοῦν ἡ οὐσία τοῦ ζώου· καὶ τὸ ζῶον, τοῦ ἀνθρώπου· καὶ γὰρ τὸ ζῶον, οὐσία ἐστί· καὶ ὁ ἄνθρωπος, ζῶον ἐστίν· οὐκ ἀντιστρέφει δέ· πᾶς γὰρ ἄνθρωπος, ζῶον· οὐ πᾶν δὲ ζῶον, ἄνθρωπος· καὶ οἱ ἵπποι γὰρ καὶ οἱ ὄνοι, ζῶα εἰσίν· ὁμοίως καὶ πᾶν ζῶον, οὐσία ἐστίν· οὐ πᾶσα δὲ οὐσία, ζῶον ἐστίν· ὁ λίθος γὰρ καὶ τὸ ξύλον, οὐσίαι εἰσίν· ἅτινα οὐκ εἰσὶ ζῶα· ὁμοίως καὶ τὸ εἶδος

De predicatione duplicem esse.

κατηγορεῖται τῶν ὑπ' αὐτοῦ περιεχομένων
ἀτόμων· ἤγουν ὑποστάσεων ὡς καθολικώτερον·
Hypostasis τὸ δὲ ἄτομον ἤγουν ἡ ὑπόστασις, οὐ κατη-
γορεῖται τοῦ εἴδους· μερικωτέρα γάρ ἐστι τοῦ
εἴδους ἡ ὑπόστασις· καὶ ὁ πέτρος τοίνυν ἄνθρωπος
ἐστί· καὶ παῦλος ἄνθρωπός ἐστιν· οὐ πᾶς δὲ ἄνθρωπος,
πέτρος ἐστὶν ἢ παῦλος· εἰσὶ γὰρ καὶ ἄλλαι ὑποστάσεις
ὑπὸ τὸ εἶδος τοῦ ἀνθρώπου· καὶ αἱ διαφοραὶ δὲ κα-
Differentias magis generales esse quam species τηγοροῦνται τῶν εἰδῶν, οἷς ἐνυπάρχουσι· καὶ
τῶν ἀτόμων αὐτῶν· καθολικώτεραι γάρ εἰσιν
αἱ διαφοραὶ τῶν εἰδῶν· τὸ γὰρ λογικὸν, κα-
θολικώτερόν ἐστι τοῦ εἴδους τοῦ ἀνθρώπου· καὶ γὰρ
πᾶς μὲν ἄνθρωπος, λογικός· οὐ πᾶς δὲ λογικὸς
Angelum rationalem esse ἄνθρωπος· καὶ ὁ ἄγγελος γὰρ λογικός ἐστιν, οὐκ ἔστιν
ἄνθρωπος· καὶ αὕτη μέν ἐστιν ἡ ἐπὶ πλέον κατηγορία·
ἡ δὲ ἐπ' ἴσης κατηγορία, ὅτε ἀντιστρέφει·
κατηγοροῦνται γὰρ καὶ τὰ ἴδια τῶν εἰδῶν ὧν
εἰσιν ἴδια· ἀλλὰ καὶ τὰ εἴδη κατηγοροῦνται τῶν
ἰδίων αὐτῶν· πᾶς γὰρ ἄνθρωπος γελαστικός· καὶ πᾶν
γελαστικὸν ἄνθρωπος· ἐστὶ γὰρ καὶ γελᾶν λέγεται τὸ ἐπιτηδείως ἔχον

οὐ γελᾷ τῇ καρδίᾳ, ἀλλὰ μόνον ποιεῖ σχῆμα γέλωτος· Simia imitatur risu homines
καὶ μιμητικὸν γὰρ ζῷον ἐστίν. ὥσπερ ἡ μὲν τῶν
γενῶν κατὰ τῶν εἰδῶν κατηγορία, καὶ ἡ τῶν
διαφορῶν κατὰ τῶν εἰδῶν, καὶ ἡ τῶν εἰδῶν κατὰ
τῶν ἀτόμων, ἐπὶ πλέον λέγεται. ἡ δὲ τῶν ἰδίων,
ἐπίσης. ταῦτα δὲ τὰ ἐπίσης, ἀντιστρέφοντα
καὶ ἀντικατηγορούμενα λέγονται: —

+ περὶ συνωνύμων καὶ ὁμωνύμων κατηγοριῶν: - ση

Συνώνυμος μὲν κατηγορία ἐστίν, ὅπερ καὶ τὸ ὄνομα
καὶ τὸν ὅρον αὐτοῦ τοῦ ὀνόματος δέχεται. οἷον, τὸ
ζῷον, κατηγορεῖται τοῦ ἀνθρώπου. καὶ δέχεται ὁ ἄνθρωπος,
καὶ τὸ ὄνομα καὶ τὸν ὅρον τοῦ ζῴου. ζῷον γάρ ἐστιν
οὐσία ἔμψυχος αἰσθητική. καὶ ὁ ἄνθρωπος δὲ, ἐπιδέ-
χεται τὸν ὅρον τοῦτον. καὶ οὐσία γάρ ἐστιν ὁ ἄνθρωπος,
καὶ ἔμψυχος καὶ αἰσθητική. ὁμώνυμος δὲ κατηγορία
ἐστίν, ὅπερ τὸ μὲν ὄνομα δέχεται. τὸν δὲ ὅρον,
οὐδαμῶς. οἷον, ἡ εἰκὼν τοῦ ἀνθρώπου, τὸ μὲν ὄνομα
τοῦ ἀνθρώπου δέχεται. τὸν δὲ ὅρον τοῦ ἀνθρώπου, οὐ
δέχεται. ὁ γὰρ ὅρος τοῦ ἀνθρώπου, ζῷον λογικὸν θνητὸν
νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἡ δὲ εἰκών, οὔτε ζῷόν ἐστιν,

οὐδέ ἐστιν ἔμψυχον· οὔτε λογικόν· οὔτε νοῦ καὶ ἐπιστήμης δεκτικόν· χρὴ γινώσκειν ὅσα κατηγορεῖται καθ' ἑτέρου τινός, ὡς καθ' ὑποκειμένου ἤγουν οὐσιωμένως, καὶ τοῦ ὑποκειμένου αὐτοῦ κατηγορηθήσεται· οἷον, τὸ ζῷον ὡς καθ' ὑποκειμένου κατηγορεῖται τοῦ ἀνθρώπου· ἤγουν οὐσιωμένως· καὶ ὁ ἄνθρωπος τοῦ Πέτρου· ὑποκεῖται δὲ τῷ ἀνθρώπῳ, ὅπερ κατηγορεῖται τοῦ ζῴου καὶ τοῦ Πέτρου τὸ ζῷον· καὶ ὅπερ πρὸς τὸ ζῷον ἐστί· δεῖ δὲ γινώσκειν τὸ ὑποκείμενον, διχῶς λέγεσθαι· τὸ μὲν πρὸς ὕπαρξιν· τὸ δὲ πρὸς κατηγορίαν· καὶ πρὸς ὕπαρξιν μέν, ὥσπερ ὑπόκειται ἡ οὐσία τοῖς συμβεβηκόσιν· ἐν αὐτῇ γὰρ ἔχουσι τὸ εἶναι· καὶ ἐκτὸς αὐτῆς, οὐχ ὑφίστανται· τὸ δὲ πρὸς κατηγορίαν ὑποκείμενόν ἐστι, τὸ μερικόν· ὑπόκειται γὰρ τὸ μερικὸν τῷ καθολικωτέρῳ πρὸς κατηγορίαν· ἐπεὶ τὸ καθολικώτερον, κατηγορεῖται τοῦ μερικωτέρου· ὡς τὸ ζῷον, κατηγορεῖται τοῦ ἀνθρώπου· λέγεται δὲ τὸ μὲν καθολικώτερον καθ' ὑποκειμένου· τὸ δὲ μερικώτερον ὑπο-

*ὡς καθ' ὑποκειμένου*

*Τὸ ὑποκείμενον dupliciter dici*

| | |
|---|---|
| καθ' ὑποκειμένου. | τὸ καθολικώτερον |
| ὑποκείμενον πρὸς κατηγορίαν, | τὸ μερικώτερον |
| ὑποκείμενον τῇ οὐσίᾳ | τὸ συμβεβηκός |
| ὑποκείμενον πρὸς ὕπαρξιν | ἡ οὐσία |

κείμενον· περὶ κατηγορίαν· λέγεται δὲ τὸ συμ-
φερόμενον ἐν ὑποκειμένῳ τῇ οὐσίᾳ· ἡ δὲ οὐσία
ὑποκείμενον πρὸς ὕπαρξιν:— περὶ τοῦ ἐν
τῷ τί ἐστι κατηγορεῖσθαι, καὶ τοῦ ὁποῖόν τί ἐστι:— θ

Ἄλλο ἐστὶν ἡ ἐν τῷ τί ἐστι κατηγορία· καὶ ἄλλο
ἡ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορία· καὶ ἡ ἐν τῷ
τί ἐστιν μέν, ὅπερ ἐρωτώμενοι τί ἐστιν ἄνθρωπος, λέ-
γομεν ζῷον· ἐν δὲ τῷ ὁποῖόν τί ἐστιν, ὅπερ ἐπε-
ρωτώμενοι ὁποῖον ζῷον, φαμὲν ὅτι λογικὸν
θνητόν· ὥσπερ τὸ μὲν γένος καὶ τὸ εἶδος, ἐν τῷ τί
ἐστι κατηγορεῖται· ἡ δὲ διαφορὰ ἤτοι οὐσιώδης
καὶ ἐπουσιώδης ἤγουν τὸ συμβεβηκὸς καὶ τὸ ἴδιον,
ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται· ἡ δὲ ὑπό-
στασις, οὐδὲ τί ἐστι δηλοῖ· οὐδὲ ὁποῖόν τί ἐστιν,
ἀλλὰ τίς ἐστιν· ἐρωτώμενοι γὰρ τίς ἐστιν οὗτος,
λέγομεν Πέτρος· καὶ πάλιν ἐρωτώμενοι τί ἐστι Πέτρος,
λέγομεν ἄνθρωπος· πάλιν ἐρωτώμενοι ὁποῖος
ἄνθρωπος, μακρὸς τυχὸν ἢ κολοβός. χρὴ δὲ γινώσκειν
ὅτι ταῖς τῇ φύσει διαφέρουσι, ἄλλο καὶ ἄλλο
λέγονται· λέγομεν γὰρ ἄλλο ἐστὶν ἄνθρωπος καὶ ἄλλο

Quae praedicetur in quid & in quale.

Hypostasis neque quid neque quale ostendit

διαφορὰ οὐσιώδης ἤγουν τὸ ἴδιον
διαφορὰ ἐπουσιώδης ἤγουν τὸ συμβεβηκός

ἵππος. ἄλλο δὲ κατὰ φύσιν, ἐπειδὴ ἕτερον εἶδος
τοῦ ἀνθρώπου καὶ ἄλλο τοῦ ἵππου. τὰ δὲ ἀριθμῷ
διαφέροντα, ἤγουν αἱ ὑποστάσεις, ἄλλα καὶ
ἀλλήλων λέγονται. λέγομεν γὰρ ἄλλος ἐστὶν ὁ πέτρος.
καὶ ἄλλος ὁ παῦλος. οὐ δυνάμεθα δὲ εἰπεῖν ὅτι
ἄλλο ἐστὶν ὁ πέτρος καὶ ἄλλο ὁ παῦλος. ἐπεὶ ψευδό-
μεθα. ἓν γάρ εἰσι τῇ φύσει. οὐκ εἰσὶ δὲ ἓν τῷ ἀριθ-
μῷ. χρὴ δὲ γινώσκειν ὅτι ἡ μὲν οὐσιώδης διαφορὰ,
ἄλλο — Dª — ἄλλο καλεῖται. ὁμοίως καὶ αἱ οὐσιώδεις διαφο-
ἀλλοῖον — ραί. τὸ δὲ συμβεβηκὸς, ἀλλοῖον. διότι αἱ μὲν
οὐσιώδεις διαφοραὶ, περὶ τὸ εἶδος ἤγουν
εἶδος ἢ φύσιν — περὶ τὴν φύσιν θεωροῦνται. καὶ ταύτην συνι-
στῶσι. τὸ δὲ συμβεβηκὸς, περὶ τὸ ἄτομον.
Constitutiua — οὐ συστατικὰ εἰσὶ τῆς ὑποστάσεως. καὶ συμβεβη-
hypostasis — κότα. ἄλλο οὖν ἐστὶν ἄνθρωπος. καὶ ἄλλο ἵππος.
accidentia — ἀλλοῖος δὲ καὶ ἄλλος ὁ πέτρος. καὶ ἀλλοῖος
καὶ ἄλλος ὁ παῦλος. πᾶσα δὲ διαφορὰ οὐσιώδης
ἑτεροῖον quod significet — τε καὶ ἐπουσιώδης, ἑτεροῖον ποιεῖ. τὸ γὰρ
ἑτεροῖον, σημαίνει καὶ τὸ ἄλλο καὶ τὸ ἀλλοῖον.
καὶ ἡ μὲν φύσις, τὸ τί σημαίνει. ἡ δὲ ὑπόστασις,

τοῦ τίμου· καὶ τὸ δέ τι. πᾶσα δὲ διαφορὰ ποιόν ἐστιν· ~

## περὶ ὑποστάσεως καὶ ἐνυποστάτου καὶ ἀνυποστάτου· ~ ι

Τὸ τῆς ὑποστάσεως ὄνομα, δύο σημαίνει. ἁπλῶς μὲν γὰρ λεγόμενον σημαίνει τὴν ἁπλῶς οὐσίαν. ἡ δὲ καθ᾽ ἑαυτὴν ὑπόστασις, τὸ ἄτομον σημαίνει καὶ τὸ ἀφωρισμένον πρόσωπον. καὶ τὸ ἐνυπόστατον δὲ, δύο σημαίνει· σημαίνει γὰρ τὸ ἁπλῶς ὂν καθὸ σημαινόμενον· οὐ μόνον τὴν ἁπλῆν οὐσίαν, ἀλλὰ καὶ τὸ συμβεβηκός· σημαίνει δὲ καὶ τὴν καθ᾽ αὑτὸ ὑπόστασιν· ἤγουν τὸ ἄτομον. καὶ τὸ ἀνυπόστατον δὲ, διττῶς λέγεται· λέγεται γὰρ ἀνυπόστατον, καὶ τὸ μηδαμῇ μηδαμῶς ὄν· λέγεται πάλιν ἀνυπόστατον τὸ συμβεβηκός· διότι τὸ συμβεβηκὸς, οὐκ ἔχει ἰδίαν ὕπαρξιν· ἀλλ᾽ ἐν τῇ οὐσίᾳ ὑφίσταται. ~

*Hypostasis duo significat* — ἐνυπόστατον — ἀνυπόστατον

## περὶ οὐσίας καὶ φύσεως καὶ μορφῆς καὶ ἀτόμου τε καὶ προσώπου καὶ ὑποστάσεως· ~ ιᾱ

Οἱ μὲν ἔξω φιλόσοφοι κατὰ τὸν προλελεγμένον λόγον, διαφορὰν εἶναι τῆς οὐσίας καὶ φύσεως. οὐσίαν μὲν γὰρ τοῦτο, τὸ ἁπλῶς εἶναι· φύσιν δ᾽·

οὐσία — φύσις — a D

οἱ ἔξω φιλόσοφοι

μηδαμῇ, μηδαμῶς

οὐσίαν ἤδη ποιηθεῖσαν, ὑπὸ τῶν οὐσιωδῶν
διαφορῶν· καὶ μὴ αὐτοῦ ἁπλῶς εἶναι, καὶ ποι-
ῶς δὲ εἶναι ἔχουσαν· ἤτε λογικὴν ἤτε ἄλογον·
ἤτε θνητὴν, ἤτε ἀθάνατον· ἤγουν αὐτὴν
ὡς φαμὲν τὴν ἀμυδρὰν ὕλην τοῦ καὶ ἀμεταθέτου
ἀρχὴν καὶ αἰτίαν καὶ δύναμιν· τὴν παρ' αὐτοῦ
δημιουργοῦ ἐντεθεῖσαν ἑκάστῳ ἤδει πρὸς κίνησιν.

*De Angelis nota.*

τοῖς μὲν γὰρ ἀγγέλοις, τὸ νοεῖν· καὶ ἐκτὸς προφο-
ρικοῦ λόγου, μεταδιδόναι ἀλλήλοις τὰ νοήματα·
τοῖς δὲ ἀνθρώποις, πρὸς τῷ νοεῖν καὶ λογίζεσθαι, καὶ
διὰ προφορικοῦ λόγου, διαδιδόναι ἀλλήλοις
τὰ ἐγκάρδια νοήματα· τοῖς δὲ ἀλόγοις, τὴν
ζωτικὴν καὶ αἰσθητικὴν καὶ ἀναπνευστικὴν καὶ γεν-
νητικὴν κίνησιν· τοῖς δὲ φυτοῖς, τὴν θρεπτικὴν

*Plantarum tres facultates*

καὶ αὐξητικὴν καὶ γεννητικὴν δύναμιν· τοῖς δὲ
λίθοις, τήν τε τοῦ θερμαίνεσθαι καὶ ψύχεσθαι·
καὶ τὴν ἀπὸ τόπου εἰς τόπον ἑτεροκίνητον
μετάβασιν· καὶ τὴν αἰτίαν οὖν ταύτην ἐκάλεσαν φύσιν·
ἤγουν τὰ εἰδικώτατα εἴδη· οἷον, ἄγγελον· ἄνθρωπον·
ἵππον, καὶ τὰ τοιαῦτα· ὡς καθολικώτερα

καὶ περιεκτικὴ τῶν ὑποστάσεων· καὶ ἐν ἑκάστῃ
τῶν ὑπ' αὐτὴν περιεχομένων ὑποστάσεων, ὁμοί-
ως ἀπαραλείπτως ὑπάρχουσα· ὥσπερ τὸ μὲν
μερικώτερον ἐκαλέσαμεν ὑπόστασιν· τὸ δὲ καθο-
λικώτερον καὶ περιέχον ὅλας τὰς ὑποστάσεις,
ἐκαλέσαμεν φύσιν· τὴν δὲ ἁπλῶς ὕπαρξιν, οὐσίαν
ἐκαλέσαμεν. Οἱ δὲ ἅγιοι πατέρες παρεάσαντες τὰς
πολλὰς ἐρεσχελίας, τὸ μὲν κοινὸν καὶ κατὰ
πολλῶν λεγόμενον, ἤγουν τὸ εἰδικώτατον εἶδος,
οὐσίαν καὶ φύσιν καὶ μορφὴν ἐκάλεσαν· οἷον, ἄγ-
γελον, ἄνθρωπον, ἵππον, κύνα καὶ τὰ τοιαῦτα. καὶ
ἡ μὲν οὐσία, παρὰ τὸ εἶναι λέγεται· καὶ ἡ φύσις,
παρὰ τὸ πεφυκέναι· τὸ δὲ εἶναι καὶ τὸ πεφυ-
κέναι, ταὐτόν ἐστι· καὶ ἡ μορφὴ δὲ καὶ τὸ εἶδος,
τὸ αὐτὸ σημαίνει τῇ φύσει· τὸ δὲ μερικὸν,
ἐκάλεσαν ἄτομον· καὶ πρόσωπον· καὶ ὑπόστασιν·
οἷον, Πέτρον· Παῦλον· ἡ δὲ ὑπόστασις θέλει
ἔχειν οὐσίαν μετὰ συμβεβηκότων καὶ καθ'
ἑαυτὴν ὑφίστασθαι· καὶ αἰσθήσει ἤγουν ἐνεργείᾳ
θεωρεῖσθαι· ἀδύνατον δὲ δύο ὑποστάσεις

ἐρεσχελί

οὐσία — Ide
φύσις
μορφή

μορφή
εἶδος — Ide

ἄτομον
πρόσωπον
ὑπόστασις

*Hypostases duae differunt accidentib[us] et numero*

μὴ διαφέρειν ἀλλήλων τοῖς συμβεβηκόσι· καὶ ἀριθμῷ διαφέρειν ἀλλήλων. χρὴ δὲ γινώσκειν ὅτι τὰ χαρακτηριστικὰ ἰδιώματα, ταῦτα τὰ συμβεβηκότα εἰσὶ, τὰ χαρακτηρίζοντα τὴν ὑπόστασιν:–

ιβ Περὶ διαιρέσεως:–

*διαίρεσις*

Διαίρεσίς ἐστιν ἡ πρώτη τομὴ τοῦ πράγματος· οἷον, τὸ ζῷον, διαιρεῖται, εἰς λογικὸν καὶ ἄλογον·

*ὑποδιαίρεσις*

ὑποδιαίρεσις δὲ, ἡ τοῦ ἑνὸς μέρους τῶν διῃρημένων τμημάτων τομὴ καὶ διαίρεσις· οἷον τοῦ ζῴου διαιρεθέντος εἰς λογικὸν καὶ ἄλογον· τὸ ἓν μέρος ἤτοι τὸ λογικὸν, διαιροῦμεν εἰς θνητὸν καὶ ἀθάνατον·

*ἐπιδιαίρεσις*

ἐπιδιαίρεσις δέ ἐστιν ὅταν ποιήσας διαίρεσιν περὶ πράγματος, ποιήσω πάλιν ἄλλην διαίρεσιν τοῦ αὐτοῦ πράγματος· οἷον διαιρεῖται ὁ ἄνθρωπος, εἰς ἄρσεν καὶ θῆλυ· ἰδοὺ διαίρεσις· καὶ πάλιν διαιρεῖται ὁ ἄνθρωπος, εἰς ψυχὴν καὶ σῶμα· ἰδοὺ ἐπιδιαίρεσις· οὐ πάντοτε δὲ γίνεται, διαίρεσις καὶ ἐπιδιαίρεσις· ἀλλ᾽ ὅτε μὴ πάντα τὰ περιέχονται ὑπὸ τὴν πρώτην διαίρεσιν· ἰδοὺ γὰρ ἐν τῷ ἄρσενι, καὶ ἐν τῇ θηλείᾳ, θεωρεῖται ψυχὴ καὶ σῶμα·

Χρὴ δὲ γινώσκειν ὅτι πᾶν τὸ διαιρούμενον λέ- ἀντιδιαιρού-
γον· τὰ δὲ δύο εἴδη τὰ ἐκ τοῦ αὐτοῦ γένους μενα qá
τμηθέντα· οἷον τὸ ζῷον, διαιρεῖται εἰς λογικὸν
καὶ ἄλογον· τὸ οὖν λογικὸν καὶ τὸ ἄλογον ἀντιδι-
αιρούμενα, λέγονται. Φασὶ δὲ διαιρετικοὶ τρόποι, Divisionis mo-
ὀκτώ· ἢ ὡς γένος εἰς εἴδη· οἷον, τὸ ζῷον, διαι- di · 8
ρεῖται εἰς λογικὸν καὶ ἄλογον· ἢ ὡς εἶδος εἰς 1
ἄτομα· οἷον, ὁ ἄνθρωπος, διαιρεῖται εἰς Πέτρον 2
καὶ Παῦλον καὶ τοὺς λοιποὺς κατὰ μέρος ἀνθρώπους,
ἢ ὡς ὅλον εἰς μέρη· καὶ τοῦτο διχῶς· ἢ εἰς ὁμοιομε- 3
ρῆ, ἢ ἀνομοιομερῆ· ὁμοιομερῆ μὲν οὖν εἰσιν, Omoeome-
ὅσα τὰ μέρη ἐπιδέχονται τό τε ὄνομα, rica quae
καὶ τὸν ὁρισμὸν τοῦ ὅλου καὶ ἀλλήλων· ὥσπερ ὅταν
τέμωμεν σάρκα εἰς πολλὰς σάρκας· ἕκαστον
τῶν μερῶν τῆς σαρκὸς, σὰρξ λέγεται· καὶ τὸν ὁρισμὸν
τῆς σαρκὸς ἐπιδέχεται· ἀνομοιομερῆ δὲ, Anomoeome-
ὅσα τὰ μέρη, μήτε τὸ ὄνομα, μήτε τὸν ὁ- rica
ρισμὸν ἐπιδέχονται· μήτε τοῦ ὅλου, μήτε
ἀλλήλων· ὥσπερ ὅταν διέλωμεν τὸν Σωκράτην,
εἰς κεφαλὴν καὶ χεῖρας καὶ πόδας· οὔτε γὰρ

ἢ κεφαλὴ, οὔτε αὖ χεῖρες· οὔτε οἱ πόδες,
ἐπιδέχονται τὸ ὄνομα, ἢ τὸν ὁρισμὸν τοῦ
4 σωκράτους. οὔτε ἀλλήλων· ἢ ὡς ὁμώνυμα
φωνὴ κατὰ διαφορὰς καὶ τούτου ἔχουσι· ἢ ὡς ὅλα
ἢ ὡς μέρη· ὡς ὅλον μὲν, ὡς ἡ κύων φωνή·
φέρεται κατά τε χερσαίου κυνὸς, καὶ
ἀστρῴου καὶ θαλασσίου· ἅπερ ὅλον τί εἰσι καὶ
οὐ μέρος ζῴου· ὡς δὲ μέρος, ὅτε τὸ τῆς γλωσ-
σίδος ὄνομα φέρεται κατὰ τοῦ ἄκρου τοῦ
ὑποδήματος, καὶ τοῦ ἄκρου τοῦ αὐλοῦ, καὶ
τοῦ γευστικοῦ μορίου, τῶν ζώων· ἅτινα
5 μέρη εἰσὶ καὶ οὐχ ὅλα· ἢ ὡς οὐσίαι, εἰς συμβε-
βηκότα· ὡς ὅταν εἴπω τῶν ἀνθρώπων· οἱ μὲν
6 εἰσὶ λευκοί· οἱ δὲ μέλανες· ἢ ὡς συμβεβη-
κότα, εἰς οὐσίας· ὅταν εἴπω τῶν λευκῶν,
7 τὰ μὲν, ἔμψυχα· τὰ δὲ, ἄψυχα· ἢ ὡς συμβε-
βηκὸς, εἰς συμβεβηκότα· ὡς ὅταν εἴπω

τῶν ψυχρῶν· τὰ μὲν, ξηρά· τὰ δὲ, ὑγρά.
ἀφ᾽ἑνός
8 ἢ ὡς τὰ ἀφ᾽ ἑνὸς καὶ πρὸς ἕν· ἀφ᾽ ἑνὸς μὲν,
ὡς ἀπὸ τῆς ἰατρικῆς, ἰατρικὸν μαχαίριον·

ἰατρικοῦ ἐργαλείου· πρότερόν ἐστι, ὡς τὸ ὑγιεινοῦ φάρ- πρότερον
-μακον· ὑγιεινοῦ δὲ ἱερῶν μαι· πρότερόν ἐστιν ἡ ὑγίεια· τοῦ
τὴν ὑγίειαν· κατὰ τοῦτον οὖν τὸν τρόπον δι-
-αιρεῖται τὸ πρότερον, εἰς ὅσους καὶ σημαίνεται· δεῖ δὲ
γινώσκειν ὡς οὐδὲ ἐν ἑνὶ πρώτων τῶν σημαινομένων διαιρέσει,
θεωρεῖται ἐν τοῖς πράγμασι τὸ φύσει πρότερον
καὶ ὕστερον, οὐδὲ τὸ μᾶλλον καὶ ἧττον, ἀλλ' ἐν τοῖς
ἀφεμένοις καὶ πρότερον:- περὶ τοῦ φύσει προτέρου:-
Φύσει οὖν πρότερόν ἐστι, τὸ συνεισφερόμενον ιε
καὶ μὴ συνεισφέρον· καὶ συναναιροῦν, καὶ μὴ συνα-
-ναιρούμενον· οἷον, τὸ ζῷον, φύσει πρότερον
ἐστὶ τοῦ ἀνθρώπου· ἀναιρουμένου γὰρ καὶ μὴ ὄντος τοῦ ζώου,
ἐξ ἀνάγκης, οὐδὲ ἄνθρωπος ἔσται· ζῷον γάρ ἐστιν ὁ ἄνθρωπος·
ἀνθρώπου δὲ ἀναιρουμένου καὶ μὴ ὄντος, δύναται
τὸ γένος ζῷον· ἔστι γὰρ ἵππος· κύων καὶ τὰ τοιαῦτα·
ἅπερ ζῷα ἐστί· πάλιν εἰσφερομένου ἀνθρώπου,
πάντως καὶ ζῷον συνεισφέρεται· ζῷον γάρ ἐστιν
ὁ ἄνθρωπος· ζώου δὲ εἰσφερομένου, οὐ πάντως
ὅτι συνεισφέρεται ὁ ἄνθρωπος· ἀλλ' ἵππος,
ἢ κύων· ἢ τι τῶν τοιούτων ζῴων ἐστὶ καὶ αὐτά·

οὔτε ὁ πέτρος ἐστὶ φύσει πρότερον τοῦ παύλου,
οὔτε τὸ λογικὸν ζῶον τοῦ ἀλόγου ζώου· πέτρου
ἀναιρουμένου καὶ μὴ ὄντος, ἔστι παῦλος.
καὶ παύλου ἀναιρουμένου, οὐ συνεισφέρεται
πέτρος· οὐδὲ πέτρου ἀναιρουμένου, συνα-
φαιρεῖται παῦλος. καὶ οὔτε πέτρος ἐστὶ μᾶλλον
ἤγουν πλέον τοῦ παύλου ἄνθρωπος ἢ ζῶον· οὔτε παῦλος
τοῦ πέτρου· εὑρίσκεται δὲ φαρμάκου, ὑγεία
ἀνώτερον φαρμάκου· καὶ ὑγιεινὸν ἰατρικώτερον
ὑγιεινότερον ἄλλων. —

## περὶ ὁρισμοῦ:—

ιδ. Ὁρισμός ἐστι λόγος σύντομος δηλωτικὸς τῆς φύσεως
τοῦ ὑποκειμένου πράγματος· ἤγουν ὁ λόγος
ὁ ὀλίγου σημαίνων τὴν φύσιν τοῦ ὑποκει-
μένου· οἷον ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν νοῦ
καὶ ἐπιστήμης δεκτικόν. πολλοὶ μὲν οὖν ἐποίησαν
περὶ φύσεως ἀνθρώπου λόγους κατ' ἐπέκτασιν· ἤγουν
ἐκτεταμένους καὶ μεγάλους· ἀλλ' οὐκ εἰσὶ σύντομοι·
διὸ οὐδὲ ὁρισμοί εἰσιν· εἰσὶ δὲ καὶ σύντομοι λόγοι,
ὡς τὰ ἀποφθέγματα· ἀλλ' ἐπειδὴ οὐ δηλοῦσι
τὴν φύσιν τοῦ πράγματος, οὐκ εἰσὶν ὁρισμοί. καὶ τὸ ὄνομα δὲ

κατ' ἐπέκτασιν

Apophthegmata.

πολλάκις δηλοῖ τὴν φύσιν τοῦ ὑποκειμένου
πράγματος, ἀλλ' οὐκ ἔστιν ὁρισμὸς τὸ ὄνομα,
μία λέξις ἐστίν· ὁ δὲ ὁρισμὸς λόγος ἐστίν· λόγος γὰρ
ἐκ δύο πολλάκις ἢ πλειόνων σύγκειται λέξεων. ὡς πρὸς ὁρισμόν,
θέλει ἐκ διαφόρων συγκεῖσθαι λέξεων. καὶ ἐξ ὧν τὸ μὲν
εἶναι καὶ δηλοῦν τὴν φύσιν τοῦ ὑπ' αὐτοῦ ὁριζομένου
πράγματος. σύγκειται δὲ ὁ ὁρισμὸς ἐκ γένους καὶ
συστατικῶν διαφορῶν, ἤγουν οὐσιωδῶν· ὥσπερ ἐπὶ
τοῦ ὅρου τοῦ ζῴου· ζῷον γάρ ἐστιν οὐσία ἔμψυχος αἰσθητική·
ἰδοὺ καὶ μὲν οὐσία, γένος ἐστί· τὸ δὲ ἔμψυχον καὶ τὸ
αἰσθητικόν, συστατικαὶ διαφοραί. Λαμβάνεται καὶ
ἐξ ὕλης καὶ εἴδους· οἷον, ἀνδριάς ἐστιν, ἐκ χαλκοῦ
πεποιημένος ἀνδρὸς εἶδος ἐμφαίνων· ὁ μὲν
οὖν χαλκός, ὕλη ἐστί· τὸ δὲ τοῦ ἀνδριάντος εἶδος,
εἶδος. ἀναλογεῖ δὲ ἡ μὲν ὕλη, τῷ γένει· τὸ δὲ
εἶδος, διαφορᾷ. Λαμβάνεται δὲ καὶ ἐξ ὑποκει-
μένου καὶ τέλους· οἷον, ἰατρική ἐστι τέχνη, περὶ τὰ
ἀνθρώπινα σώματα καταγινομένη καὶ ὑγιείας ποιη-
τική· ἰδοὺ ὑποκείμενα ἐστὶ τῇ ἰατρικῇ τὰ
ἀνθρώπινα σώματα· τέλος δὲ αὐτῆς, ἡ ὑγίεια·

Diffinitio-
nis cōditi-
ones

*Descriptio*
Ἡ δὲ ὑπογραφὴ ἐκ τῶν ἐπουσιωδῶν σύγκειται·
ἤγουν ἰδίων καὶ συμβεβηκότων· οἷον, ἄνθρωπος
ἐστι, γελαστικόν. ὀρθοπεριπατητικόν. πλα-
τυώνυχον· ταῦτα γὰρ ὅλα, ἐπουσιώδη εἰσί·

*Descriptio unde dicta*
διὸ ὑπογραφὴ λέγεται, ὡς σκιάζουσα καὶ
οὐ τὴν οὐσιώδη ὕπαρξιν τοῦ ὑποκειμένου

*pulchrum. rectius igitur latine dicta fuisset depictio.*
δηλοῦσα, ἀλλὰ τὰ παρεπόμενα. ὁ δὲ ὑπογρα-
φικὸς ὁρισμός, μικτός ἐστιν· ἐξ οὐσιωδῶν,
καὶ ἐπουσιωδῶν· οἷον, ἄνθρωπός ἐστι ζῷον λο-
γικόν. ὀρθοπεριπατητικόν. πλατυώνυχον.

*Descriptiua diffinitio*
ἐκλήθη δὲ ὁρισμός, ἀπὸ μεταφορᾶς τῶν
τῆς γῆς ὁροθεσίων· ὥσπερ γὰρ τὸ ὁροθέσιον
χωρίζει τὸ ἴδιον ἑκάστου, οὕτω καὶ ὁ ὁρισμός,

*Diff.o unde dicta*
τὴν φύσιν χωρίζει ἑκάστου, ἐκ τῆς τοῦ
ἑτέρου φύσεως. ὑγεία ὁρισμοῦ ἐστι, τὸ

*Diffinitionis bonitas & uitium*
μήτε πλεονάζειν, μήτε ἐλλείπειν τοὺς
λόγους· κακία δέ, τὸ ἐλλείπειν καὶ πλεονάζειν.
τέλειος δὲ ὁρισμός ἐστιν, ὁ ἀντιστρέφων πρὸς
τὸ ὁριστόν· ἀτελὴς δέ, ὁ μὴ ἀντιστρέφων·
οὔτε οὖν ὁ ἐλλείπων τοὺς λόγους ἀντιστρέφει·

οὔτε ὁ πλεονάζων· ὅ τε μὲν γὰρ πλεονάσει τῇ
λέξει, ἐλλείπει τοῖς πράγμασιν· οἷον ὁ τέ-
λειος ὁρισμὸς τοῦ ἀνθρώπου, ζῶον λογικὸν θνητόν·
ἰδοὺ ἀντιστρέφει· πᾶν γὰρ ζῶον λογικὸν θνητόν,
ἄνθρωπός ἐστι· καὶ πᾶς ἄνθρωπος, ζῶον λογικὸν θνητόν ἐστι·
ἐὰν οὖν λείψῃ μία λέξει, πλεονάζει τοῖς
πράγμασιν· οἷον, ζῶον λογικόν· ἰδοὺ ἔλειψε
τῇ λέξει· οὐ γὰρ εἶπε θνητόν· καὶ ἐπλεόνασε τοῖς
πράγμασιν· οὐ γὰρ μόνος ἄνθρωπος ἐστὶ ζῶον λογικόν,
ἀλλὰ καὶ ἄγγελος· καὶ οὐκ ἀντιστρέφει· ἐὰν δὲ εἴπω
ζῶον λογικὸν θνητὸν γραμματικόν, πάλιν
οὐκ ἀντιστρέφει· ἐπλεόνασε γὰρ τῇ λέξει διὰ
τὸ εἰπεῖν γραμματικόν· ἔλειψε δὲ τοῖς πράγ-
μασιν· οὐ πάντα γὰρ τὸν ἄνθρωπον ὡρίσατο· ἀλλ' ἢ μόνον
τοὺς γραμματικούς· πᾶν μὲν γὰρ ζῶον λογικὸν
θνητὸν γραμματικόν, ἄνθρωπός ἐστιν· οὐ πᾶς δὲ
ἄνθρωπος ζῶον λογικὸν θνητὸν, γραμματικόν ἐστιν·
οὐ πᾶς γὰρ ἄνθρωπος γραμματικός ἐστιν: —

## + περὶ ὁμωνύμων: — ιε

Ὁμώνυμα λέγεται, τὰ τῷ ὀνόματι μόνῳ κοι-

d. m.

γινώσκονται· τῶν δὲ ὁρισμῶν ἢ τῇ ὑπογραφῇ διάφορον τῷ· οἷον, τὸ κύων ὄνομα, ὁμώνυμόν ἐστι· δηλοῖ γὰρ τοῦ τε χερσαίου καὶ τοῦ θαλασσίου κύνα· ἕτερον δὲ ὁρισμὸν ἔχει ὁ χερσαῖος, καὶ ἕτερον ὁ θαλάσσιος· ἐπειδὴ καὶ ἕτερα εἰσὶ καὶ ἕτεραι ὑπογραφαί· τοῦ δὲ τὰ ὁμώνυμα οὕτως· ὁμώνυμα ἐστίν, ὧν ὄνομα μόνον κοινόν· ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας, ἕτερος· λόγον ἐνταῦθα τὸν ὁρισμὸν εἶπε καὶ τὴν ὑπογραφήν· καὶ τὸ τοὔνομα δὲ εἶπε, δηλῶν ἕτερον εἶναι τὸν ὁρισμὸν αὐτοῦ τοῦ ὀνόματος, καθ' ὃν γίνονται ὁμώνυμα· οἷον ὁ χερσαῖος καὶ ὁ θαλάσσιος κύων, κατὰ τὸ ὄνομα τοῦ κυνὸς ἐστὶν ὁμώνυμα· εἰ γὰρ θελήσει τις τὸν ὁρισμὸν τοῦ χερσαίου κυνὸς ἀποδοῦναι καὶ τοῦ θαλασσίου καθὸ κύων καλεῖται ἑκάτερον αὐτῶν, ἄλλον ὁρισμὸν ἀποδώσει τῷ χερσαίῳ, καὶ τῷ θαλασσίῳ ἕτερον· ἐνδέχεται γὰρ αὐτὰ καὶ κοινωνεῖν τῷ ὁρισμῷ πάλιν καὶ τῷ ὀνόματι· ζῷα γὰρ λέγονται καὶ ἀμφότερα. καὶ τὸν ὁρισμὸν

τοῦ ζώου δέχονται· ἀλλ' οὐχ εἰσὶ κατὰ τὸ ὄνομα τοῦ ζώου ὁμώνυμοι· ἀλλὰ μᾶλλον συνώνυμοι· ἐπὶ δὲ τῶν ὁμωνύμων, τρία δεῖ ζητεῖν· τί ἐστι τὸ ὁμώνυμον· καὶ κατὰ πόσων σημαινομένων φέρεται· καὶ περὶ ποίου σημαινομένου ἡ ἐρώτησις γέγονεν· —

Tria inquirenda in aequiuocis

## + περὶ συνωνύμων : + ιϛ

Συνώνυμα δέ εἰσιν, ὅσα καὶ τῷ ὀνόματι καὶ τῷ ὁρισμῷ ἢ τῇ ὑπογραφῇ, τοῦ αὐτοῦ ὀνόματος κοινωνοῦσιν· οἷον, τὸ ζῷον, δηλονότι καὶ τὸν ἄνθρωπον καὶ τὴν κύνα· καὶ τοὺς ἵππους καὶ ἕτερα καὶ κατὰ τὸ ὄνομα τοῦ γένους τοῦ ζώου, συνώνυμά ἐστιν· ἕκαστον γὰρ αὐτῶν, καὶ τὸ ὄνομα καὶ τὸν ὁρισμὸν τοῦ ζώου δέχεται· ὑπογράφουσι δὲ τὰ συνώνυμα οὕτως· συνώνυμά ἐστιν, ὧν τό, τε ὄνομα κοινόν· καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας, ὁ αὐτός· —

## + περὶ πολυωνύμων : — ιζ

Πολυώνυμα δέ εἰσιν, ὅσα τῷ μὲν ὁρισμῷ κοινωνοῦσι· τῷ δὲ ὀνόματι, διαφέρουσιν·

· s nome & diffinitione

ἤγουν ὅτε τὸ αὐτὸ πρᾶγμα, πολλοῖς καλεῖται
ὀνόμασιν· οἷον, φάσγανον· ἄορ· σπάθη·
μάχαιρα· ξίφος· πάντα γὰρ ταῦτα τὰ ὀ-
νόματα, ἕνα ὅρον ἐπιδέχονται· ἤγουν δηλαδὴ
ἀμφήκης· τουτέστι σίδηρος ἀμφοτέρωθεν
ἠκονημένος. ὑπογράφονται τὰ πολυώνυμα·
πλείονα ὀνόματα καθ' ἑνὸς πράγματος
λεγόμενα: — περὶ ἑτέρων καὶ ἑτερωνύμων:

ιη Τὰ δὲ κατὰ ἄμφω διαφέρονται· ἤγουν ἓν ὑποκεί-
μενον ἔχουσι καὶ λέγονται ἑτερώνυμα ὡς
ἀνάβασις καὶ κατάβασις· ἔχουσι γὰρ ἓν ὑπο-
κείμενον τὴν κλίμακα, ἢ οὐκ ἔχουσιν ἓν ὑποκεί-
μενον καὶ λέγονται ἕτερα· ὡς οὐσία καὶ συμβεβηκός·
ταῦτα γὰρ καὶ ἕτερον ὄνομα ἔχουσι, καὶ ἑτέραν
ὑπογραφήν· καὶ οὐδὲ ἔχουσιν ἓν ὑποκείμενον.
τούτων δὲ ἀμφοτέρων· τῶν τε ἑτερωνύμων
καὶ τῶν ἑτέρων ὑπογραφή, αὕτη· ὧν τό, τε ὄνομα
καὶ ὁ ὅρος, ἕτερος: — περὶ παρωνύμων: —

ιθ Εἰσὶ δέ τινα μέσον τῶν ὁμωνύμων καὶ συνω-
νύμων, κοινωνοῦντα καὶ διαφέροντα τῶν τε

ὀνόματι ἐπὶ τῶν ὅρων· ἅτινα λέγονται παρώνυμα·
ὡς ἀπὸ τῆς γραμματικῆς, γραμματικός.
κοινωνοῦσι μὲν γὰρ τῷ ὀνόματι· διαφέρουσι
δὲ κατὰ τὴν λῆξιν τοῦ ὀνόματος, ἤγουν τὴν
τελευταίαν συλλαβήν· ἐπὶ δ' ἄλλων τῶν ὅρων,
κοινωνοῦσι τε καὶ διαφέρουσιν· ὅτι ἡ μὲν γραμ-
ματική, γνῶσίς ἐστιν· ὁ δὲ γραμματικός, οὐσία
ὑπὸ τῆς γνώσεως. παρώνυμα δὲ εἰσίν, ὅσα ἀπό
τινος διαφέροντα τῇ πτώσει ἤγουν τῇ καταλήξει
τοῦ ὀνόματος, τὴν προσηγορίαν ἔχει. δεῖ δὲ γι-
νώσκειν ὡς ἡ γραμματική, καὶ ἡ δικαιοσύνη,
οὐκ εἰσὶ παρώνυμα· ἀλλ' ὁ δίκαιος καὶ ὁ γραμματι-
κός· ὁ γραμματικός, ἐκ τῆς γραμματικῆς
παρωνομάσθη· καὶ ὁ δίκαιος, ἐκ τῆς δικαιοσύνης.
δεῖ δὲ γινώσκειν ὅτι τὰ μὲν παρώνυμα, περιέ-
χουσι τὰ ἀφ' ὧν παρωνομάσθησαν· ὡς ὁ γραμ-
ματικός, τὴν γραμματικήν· καὶ ὁ δίκαιος τὴν δικαιο-
σύνην· τὰ δὲ ἀφ' ὧν, οὐδαμῶς· οὐ γὰρ περιέχει
τὸ ἰατρικὸν ἐργαλεῖον, τὴν ἰατρικήν: —

+ περὶ τῶν δέκα γενικωτάτων γενῶν: —

Notandu ea quae deducuntur esse denominatiua nō ea a qb[us] deducunt[ur]

Τὰ ἀφ' ὧν

x̃

Τῶν λεγομένων, τὰ μὲν ἁπλῶς καὶ ἄνευ συμ-
πλοκῆς· ὡς οὐσία, σημειωτικός, καὶ τὰ
τοιαῦτα· τὰ δὲ, μετὰ συμπλοκῆς ὡς ἄνθρωπος
τρέχει· σωκράτης φιλοσοφεῖ. τῶν δὲ
ἁπλῶς λεγομένων καὶ ἄνευ συμπλοκῆς, τὰ
μὲν οὐσίαν σημαίνει· οἷον, ἄνθρωπος· ἵππος· τὰ δὲ,
ποσόν· οἷον, δύο· τρία· δίπηχυ· τρίπηχυ·
τὰ δὲ πρός τι· ὡς πατὴρ· υἱός· τὰ δὲ, ποιόν·
ὡς λευκὸν καὶ μέλαν· τὰ δὲ, πού· ὡς ἐν ναῷ,
ἐν ἀγορᾷ. τὰ δὲ, πότε· ὡς πέρυσι· χθές·
σήμερον· τὰ δὲ, κεῖσθαι· ὡς τὸ ἵστασθαι·
καθῆσθαι· τὰ δὲ, ἔχειν· ὡς τὸ ἐνδεδέσθαι·
ὑποδεδέσθαι· τὰ δὲ, ποιεῖν· ὡς τὸ καίειν·
τέμνειν· τὰ δὲ, πάσχειν· ὡς τὸ καίεσθαι·
τέμνεσθαι. αὗται αἱ δέκα λέγονται κατηγορίαι·
ὡς ἐκ τοῦ λέγεσθαι κατά τινων· τὸ γὰρ ἀγορεύειν
λέγειν ἐστί. χρὴ δὲ γινώσκειν ὅτι ἕκαστον τούτων
τῶν δέκα, γενικώτατον γένος ἐστί· τούτων
οὖν τῶν δέκα κατηγοριῶν· τῶν γενικωτάτων
γενῶν· ἡ μὲν μία, οὐσία ἐστίν· αἱ δὲ ἐννέα

*Categoriæ unde dicuntur.*

*Prædicamentum unum substantia ÷ cætera nouem accidens.*

συμβεβηκότα· ἅ ἐστι δὲ αὐτὰ· οὐσία· ποσόν·
ποιόν· πρός τι· πού· πότε· κεῖσθαι· ἔχειν·
ποιεῖν· πάσχειν:- περὶ ὁμογενῶν καὶ ὁμοειδῶν·
ἑτερογενῶν τε καὶ ἑτεροειδῶν· καὶ ἀριθμῷ διαφόρων:-

ὁμογενῆ εἰσιν, ὅσα ὑπὸ τὴν αὐτὴν κατηγορεῖται χω
-τον τῶν· ἑτερογενῆ δὲ εἰσιν, ὅσα ὑπ' ἄλλην καὶ
κατηγορίαν εἰσί· ταῦτα δέ, ἑτέρῳ τῷ γένει ἐστίν·
ὁμοειδῆ δὲ εἰσίν, ὅσα ὑπὸ τὸ αὐτὸ εἶδος τάτ-
-τεται· καὶ κοινωνοῦσι τῷ λόγῳ τῆς οὐσίας τῶν·
ἑτεροειδῆ δὲ εἰσι διάφορα τῶν ἀλλήλων· ἤγουν ὅσα τῷ λόγῳ
τῆς οὐσίας διαφέρουσιν· ὥσπερ ἄνθρωπος, ἵππος· ἀριθμῷ
δὲ διάφορα ἐστίν, ὅσα τῇ συμπλοκῇ τῶν συμβε-
-βηκότων τὴν ἰδιότητα τῆς οἰκείας ὑποστάσεως
ἀφωρίσαντο καὶ τὴν καθ' αὐτὰ ἐσχήκασιν ὑπάρ-
-ξιν· ἤγουν τὰ ἄτομα. ὥσπερ Πέτρος Παῦλος καὶ
ἕκαστος τῶν ἀνθρώπων· τῶν πάντων ἑτερογενῶν,
ἕτερα τῷ εἴδει καὶ αἱ διαφοραί· οἷον, ζῴου καὶ ἐπι-
στήμης· τὸ μὲν τὸ ζῷον, ὑπὸ τὴν οὐσίαν τελεῖ· ἡ δὲ
ἐπιστήμη, ὑπὸ τὸ ποιόν· τοῦ μὲν οὖν ζῴου διαφοραί,
οὐσιαστικαὶ μέν, τὸ ἔμψυχον· τὸ αἰσθητικόν·

□ cf. γένος

διαιρετικαὶ δέ, τὸ λογικόν· τὸ ἄλογον· τὸ πτη-
νόν· τὸ χερσαῖον· τὸ ἔνυδρον· τῆς δὲ ἐπιστή-
μης, συστατικαὶ μέν, τὸ τοῖς ἐμψύχοις, καὶ
λογικοῖς συνυπάρχειν· ἔτι δὲ καὶ τὸ διὰ μεταξύ·
διαιρετικαὶ δέ, γραμματική· φιλοσοφία·
ἧς δὲ κατηγορεῖ ὑπάρχει τὸ γένος, ἐκείνης καὶ
τὸ εἶδος καὶ αὐτοῦ εἴδους διαφοραί· τῶν δὲ
ὑπαλλήλων γενῶν τε καὶ εἰδῶν, οὐδὲν κωλύει
τὰς αὐτὰς εἶναι διαφοράς, ἢ καὶ μὴ πάσας·
διαφορὰς δὲ νῦν ταύτας φημί, τὰς συνιστώσας
αὐτάς· χρὴ δὲ γινώσκειν ὅτι αἱ ἐννέα κατηγορίαι,
αἱ ἐκτὸς τῆς οὐσίας, ἔχουσιν ἑκάστη ἢ καὶ συμβε-
βηκότα ἐστί, συστατικὰς καὶ διαιρετικὰς δια-
φοράς· καὶ ἑκάστη αὐτῶν, γενικώτατον γένος ἐστί·
καὶ ἔχει καὶ εἴδη καὶ γένη ὑπάλληλα καὶ εἰδικώτατα
εἴδη· πάντως δὲ ἔνθα γένος, εἴδη καὶ διαφοραὶ
διαιρετικαί εἰσιν· αὗται δὲ εἰσὶν αἱ διαιροῦσαι τὰ
γένη εἰς εἴδη· καὶ ἔνθα εἴδη εἰσί, καὶ συστατικαὶ δια-
φοραί εἰσιν· αὗται γάρ εἰσιν αἱ συνιστῶσαι τὰ
Vnũ trifariam dici εἴδη. — Τὸ ἓν τριχῶς λαμβάνεται ἢ γένει ἢ

ᾄδει ἢ ἀριθμῷ· γένει μὲν, οἷον, φαμὲν ἄνθρωπον·
εἶναι ἐν τῷ γένει καὶ ταυτὸν ὑφ' ἓν τὸ γένος
ἐστὶν, ὑπὸ τὸ ζῶον· ἢ εἴδει· ὥσπερ σωκράτην φαμὲν
καὶ πλάτωνα· ὑφ' ἓν εἶδος ὄντα, ὑπὸ τὸν ἄνθρωπον·
ἓν εἶναι τῷ εἴδει καὶ ταυτόν· ἢ ἀριθμῷ· ὥσπερ σω-
κράτην φαμὲν, ἓν εἶναι καθ' ἑαυτὸν, τῶν λοιπῶν
ἀνθρώπων κεχωρισμένον:- περὶ τοῦ ἔν τινι:- κε

Τὸ ἔν τινι, ἐνδεχαχῶς· πρῶτον, ὡς γένος, In aliquo esse
ἐν εἴδει· ὡς τὸ ζῶον, ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου· undecim
δεύτερον, ὡς εἶδος ἐν γένει ὡς ἄνθρωπος ἐν τῇ modis dr
διαιρέσει τοῦ ζώου· τρίτον ἐν τόπῳ· ὡς 1
οἱ ἱερεῖς ἐν τῷ ναῷ· τέταρτον, ἐν χρόνῳ· ὡς 2
νῶε, ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ· πέμπτον, 3 4
ἐν ἀγγείῳ ὡς οἶνος, ἐν κρατῆρι· ἕκτον, ὡς 5
ὅλον ἐν μέρεσιν· ὡς σωκράτης ἐν τοῖς οἰκεί- 6
μέλεσιν· οἷον, κεφαλῇ τε χερσὶ καὶ ποσί· τοῦτο
δὲ οὐκ ἔστιν ἔν τινι, ἀλλ' ἐν τισίν· ἕβδομον, ὡς 7
μέρος, ἐν ὅλῳ· ὡς κεφαλὴ χεὶρ ἐν σωκράτει·
ὄγδοον, ὡς εἶδος ἐν ὕλῃ· ὡς τὸ εἶδος τοῦ 8
ἀνδριάντος, ἐν ὕλῃ τῷ χαλκῷ· ἔνατον, 9

ὥσπερ ἐν τῷ ποιητικῷ αἰτίῳ, ὥσπερ τὰ πάντα,
10 ἐν τῷ θεῷ. δέκατον, ὥσπερ ἐν τῷ τελικῷ αἰτίῳ·
ὥσπερ ἡ κλίνη, ἐπὶ τῇ τῶν ἀνθρώπων ἀναπαύσει·
διὰ γὰρ τὴν τῶν ἀνθρώπων ἀνάπαυσιν γίνεται ἡ κλί-
11 νη. ἑνδέκατον, ὥσπερ ἐν ὑποκειμένῳ· ὥσπερ
λευκὸν ἐν σώματι. ἰστέον ὅτι μέρη ὅλου λέγονται,
ὅλον δὲ μερῶν, οὐδαμῶς. ἀλλ' ὅλον ἐν μέρεσι. —

κη + ἕτερον περὶ οὐσίας. —

Οὐσία ἐστὶ πρᾶγμα αὐθύπαρκτον, μὴ δεό-
μενον ἑτέρου πρὸς σύστασιν. καὶ πάλιν οὐσία ἐστί,
πᾶν ὅ τι περ αὐθυπόστατόν ἐστι, καὶ μὴ ἐν ἑτέρῳ
ἔχει τὸ εἶναι. ἤγουν τὸ μὴ δι' ἄλλο ὄν, μηδὲ ἐν
ἑτέρῳ ἔχον τὴν ὕπαρξιν. μηδὲ δεόμενον ἑτέρου
πρὸς σύστασιν. ἀλλ' ἐν αὐτῷ ὄν, ἐν ᾧ καὶ τὸ συμβε-
βηκὸς ἔχει τὴν ὕπαρξιν· τὸ γὰρ χρῶμα, διὰ τὸ
σῶμα γέγονεν, ἵνα χροΐζῃ αὐτό· καὶ οὐ τὸ σῶμα,
διὰ τὸ χρῶμα. καὶ τὸ χρῶμα ἐν τῷ σώματι.
καὶ οὐ τὸ σῶμα, ἐν τῷ χρώματι. ὅθεν καὶ τὸ
χρῶμα τοῦ σώματος λέγεται. καὶ οὐ τὸ σῶμα, τοῦ
χρώματος. πολλάκις τοιγαροῦν ἀλλασσο

- μένου τοῦ σώματος καὶ μὴ ἀπαλλαττομένου, ἢ οἷον τό·
οὐ μεταλλάττεται· ἤγουν τὸ σῶμα· ἀλλὰ μένει
τὸ αὐτό· λέγεται δὲ οὐσία, παρὰ τὸ εἶναι: —

Φύσις ἐστὶν, ἀρχὴ τῆς ἑκάστου **περὶ φύσεως:** κδ
τοῦ ὄντος, κινήσεώς τε καὶ ἠρεμίας· οἷον, ἡ γῆ, κινεῖται
μὲν, κατὰ τὸ βλαστάνειν· ἠρεμεῖ δὲ, κατὰ τὴν
ἐκ τόπου εἰς τόπον μετάβασιν· οὐ γὰρ κινεῖται Natura qd:
ἀπὸ τόπου εἰς τόπον· ἤγουν ἀρχὴ καὶ αἰτία
κινήσεώς τε καὶ τῆς ἠρεμίας αὐτῆς, καθ᾽ ἣν
πέφυκεν οὕτω κινεῖσθαι καὶ ἠρεμεῖν οὐσιωδῶς,
ἤγουν φυσικῶς καὶ οὐ κατὰ συμβεβηκός, φύσις
λέγεται· παρὰ τὸ τοιῶσδε· ἤγουν οὕτω πε- Φυσις unde dicitur
- φυκέναι τε καὶ ὑπάρχειν· αὕτη οὐδὲν ἕτερόν ἐστιν,
ἢ ἡ οὐσία· ἐκ ταύτης οὐσία ἔχει τὸ τοιαύτην δύναμιν,
ἤγουν τὴν κίνησιν καὶ τὴν ἠρεμίαν· ἢ οὐσία ἐστὶν, ἡ
αἰτία τῆς κινήσεως, αὐτῆς καὶ ἠρεμίας· λέγεται
δὲ φύσις, παρὰ τὸ πεφυκέναι: — **περὶ μορφῆς:** — κε

Μορφή ἐστιν, ἡ ὑπὸ τῶν οὐσιωδῶν διαφορῶν· οἷον ἡ
μορφωθεῖσα καὶ εἰδοποιηθεῖσα, οὐσία· ἥτις
σημαίνει τὸ εἰδικώτατον εἶδος· οἷον μὲν

ἡ οὐσία μορφωθεῖσα καὶ ἐξ ἀδήλου ποιωθεῖσα ὑπὸ
τοῦ σώματος τοῦ ἐμψύχου καὶ τοῦ αἰσθητικοῦ
καὶ ἀποτελέσασα τὸ ζῶον, πάλιν τε προσ-
λαβοῦσα τὸ λογικὸν καὶ τὸ θνητὸν, ἀποτελεῖ
τὸ τοῦ ἀνθρώπου εἶδος. ὅπερ ἐστὶν ἰδικώτατον εἶδος,
μορφὴ λέγεται. οἷον, οὐσία μεμορφωμένη.
οἱ οὖν ἅγιοι πατέρες ἐπὶ τοῦ ἰδικωτάτου εἴδους
τάττουσι τὸ τῆς οὐσίας καὶ φύσεως καὶ μορφῆς
ὄνομα. καὶ ταυτὸν λέγουσιν οὐσίαν καὶ φύσιν καὶ

c
ὁμοούσιον
qd significet

μορφὴν, τὸ ἰδικώτατον εἶδος. καὶ ὁμοούσια
καὶ ὁμοφυῆ καὶ ὁμοειδῆ καὶ σύμμορφα λέγουσι
τὰ ὑπὸ τὸ αὐτὸ ἰδικώτατον εἶδος, ἄτομα.
ἑτεροούσια δὲ καὶ ἑτεροφυῆ καὶ ἑτεροειδῆ
καὶ ἑτερογενῆ καὶ ἑτερόμορφα, τὰ ἰδικωτάτῳ
εἴδει λέγουσιν. οὐ δυνατὸν δὲ εἶδος ἄλλῳ εἴδει,
ἢ φύσιν ἄλλῃ φύσει, ἢ οὐσίαν ἄλλῃ οὐσίᾳ, μὴ
εἶναι ἑτεροούσιον καὶ ἑτεροφυῆ, καὶ ἑτερόμορφον.
χρὴ δὲ γινώσκειν, ὡς ἀδύνατόν ἐστιν ἐκ δύο
οὐσιῶν ἢ γοῦν φύσεων, μίαν φύσιν σύνθετον

Ex duab(us) natu-

γενέσθαι. ἀδύνατον γὰρ ἐν τῷ αὐτῷ ἅμα

ris una natura
fieri non potest.
una hypostasis
potest.

τὰς αὐτῶν τιθῇ ἢ ῥημμένας, οὐσιωτικὰς ὑποδέξασθαι διαφοράς· ὑπόστασιν δὲ μίαν σύνθετον ἐκ διαφόρων φύσεων, δυνατὸν γενέσθαι· ὡς ὁ ἄνθρωπος, ἐκ ψυχῆς ἐστι συντεθειμένος καὶ σώματος. καὶ οὐ λέγεται μία φύσις τῶν ἀνθρώπων, ἀλλ' οὐ μιᾶς φύσεως ὁ ἄνθρωπος λέγεται ὁ καθέκαστα· μία μὲν γὰρ φύσις τῶν ἀνθρώπων σύνθετος λέγεται· διότι ὑφ' ἓν εἶδος τελοῦσι πᾶσαι αἱ τῶν ἀνθρώπων σύνθετοι ὑποστάσεις· μιᾶς δὲ φύσεως ὁ καθέκαστος ἄνθρωπος οὐ λέγεται· διότι ἑκάστη τῶν ἀνθρώπων ὑπόστασις, ἐκ δύο συνέστηκε φύσεων. ἐκ ψυχῆς λέγω καὶ σώματος· καὶ ἀσυγχύτως ταύτας ἐν ἑαυτῇ φυλάττει καὶ μάρτυς, ἡ ἐκ τοῦ θανάτου γινομένη διαίρεσις:—

ὁ καθέκαστα .i. singularis

Nõ esse confusa corpus & animam morte ipsa teste

## Περὶ ὑποστάσεως:

κε

Τὸ τῆς ὑποστάσεως ὄνομα, δύο σημαίνει· ποτὲ μὲν, τὴν ἁπλῶς ὕπαρξιν· καθὸ σημαινόμενον, ταυτόν ἐστιν οὐσία καὶ ὑπόστασις· ὅθεν καί τινες τῶν ἁγίων πατέρων, ἔφησαν αἱ φύσεις ἤγουν αἱ ὑποστάσεις· ποτὲ δὲ, τὴν καθ' αὑτὸ καὶ ἰδιοσύστατον ὕπαρξιν· καθὸ

κε.

σημαινόμενον, τὸ ἄτομον δηλοῖ· τῷ ἀριθμῷ
διάφορον· ἤγουν τὸν Πέτρον· τὸν Παῦλον·
τὸν τινὰ ἵππον· χρὴ γινώσκειν ὡς οὔτε
οὐσία ἀνείδεος ὑφέστηκε καθ' ἑαυτήν, οὐδὲ
διαφορὰ οὐσιώδης· οὔτε εἶδος· οὔτε συμ-
βεβηκός· ἀλλὰ μόναι αἱ ὑποστάσεις ἤτοι
τὰ ἄτομα· καὶ ἐν αὐτοῖς, αἵ τε οὐσίαι καὶ αἱ οὐσι-
ώδεις διαφοραί, τά τε εἴδη καὶ τὰ συμβεβη-
κότα, θεωροῦνται· καὶ ἡ μὲν ἁπλῆ οὐσία, ἐν

ἁπλῆ

πάσαις ταῖς ὑποστάσεσιν ὡσαύτως θεωρεῖται
ἔν τε τοῖς ἀψύχοις καὶ ἐμψύχοις· λογικοῖς τε
καὶ ἀλόγοις· θνητοῖς τε καὶ ἀθανάτοις· αἱ δὲ
οὐσιώδεις διαφοραί, ἄλλαι ἄλλαι ἐν τοῖς ἀ-
ψύχοις καὶ ἐν τοῖς ἐμψύχοις, ἕτεραι· ἐν τοῖς
λογικοῖς, ἄλλαι· καὶ ἐν τοῖς ἀλόγοις ἕτεραι·
ὁμοίως ἐν τοῖς θνητοῖς ἄλλαι· καὶ ἐν τοῖς ἀ-
θανάτοις ἕτεραι· καὶ ἁπλῶς εἰπεῖν ἐν ταῖς ἑκάστου
ἀδιαφόρων ταὐτοῦ εἴδους ὑποστάσεσιν, αἱ αὐταί·
συνάπτουσαι μὲν αὐτὰς ἀλλήλαις τῷ λόγῳ,
τῆς οὐσίας· χωρίζουσαι δὲ αὐτάς, ἐκ τῶν

ἐκ τῶν ὁμοειδῶν ὑποστάσεων· ὁμοίως καὶ τὰ συμ-
βεβηκότα ἐν αὐταῖς ἤτοι ταῖς ὑποστάσεσι
θεωροῦνται· χωρίζοντα ἑκάστην ὑπόστασιν,
ἐκ τῶν ὁμοειδῶν ὑποστάσεων· διὸ καὶ τὸ ἄτομον,
κυρίως τῇ ὑποστάσει ἐκληρώσατο ὄνομα· Hypostasis. ὑπο[...]
ἐν αὐτῇ γὰρ ἡ οὐσία, ἐνεργείᾳ ὑφίσταται προσλαβοῦσα
τὰ συμβεβηκότα :-



## περὶ προσώπου :- κζ

Πρόσωπόν ἐστιν, ὃ διὰ τῶν οἰκείων ἐνεργημάτων τε
καὶ ἰδιωμάτων, ἀρίδηλον καὶ περιωρισμένην τῶν
ὁμοφυῶν αὐτοῦ παρέχεται ἡμῖν τὴν ἐμφάνειαν· οἷον
ὁ Γαβριὴλ τῇ ἁγίᾳ θεοτόκῳ διαλεγόμενος· εἷς τῶν ἀγγέλων
ὑπάρχων, μόνος ἐκεῖσε παρὼν διελέγετο· καὶ κε-
χωρισμένος τῶν ὁμοουσίων ἀγγέλων διὰ τοῦ ἐν τῷ
τόπῳ παρουσίᾳ καὶ διαλέξει· καὶ ὁ Παῦλος ἐπὶ τοῦ
ἀναβαθμοῦ δημηγορῶν· εἷς τῶν ἀνθρώπων ὤν, διὰ
τῶν ἰδιωμάτων καὶ ἐνεργημάτων αὐτοῦ, τῶν
λοιπῶν ἀνθρώπων διεστέλλετο· χρὴ δὲ γινώσκειν ὅτι οἱ
ἅγιοι πατέρες, ὑπόστασιν καὶ ἄτομον καὶ πρόσωπον, τὸ
αὐτὸ ἐκάλεσαν· τὸ καθ' ἑαυτὸ ἰδιοσυστάτως ἐξ
οὐσίας καὶ συμβεβηκότων ὑφιστάμενον, καὶ ἀριθμῷ

διαφόρου· καὶ τοῦ τινὸς σημαινόμενον· οἷον, Πέτρου·
Παύλου· τοῦ δὲ τοῦ ἵππου· ἔχει δὲ ἡ ὑπόστασις τὴν κλῆσιν
παρὰ τοῦ ὑφεστάναι: — περὶ ἐνυποστάτου.

κη Καὶ τὸ ἐνυπόστατον δὲ, ποτὲ μὲν, τὴν ἁπλῶς ὕπαρ-
ξιν σημαίνει καθ' ὃ σημαινόμενον· οὐ μόνον τὴν
ἁπλῶς οὐσίαν ἐνυπόστατον λέγομεν, ἀλλὰ καὶ τὸ
συμβεβηκός· ὅπερ κυρίως οὐκ ἐνυπόστατόν ἐστιν,
ἀλλ' ἑτεροϋπόστατον· ποτὲ δὲ, καὶ τὴν καθ' αὑτὸ
ὑπόστασιν· ἤγουν τὸ ἄτομον δηλοῖ· ὅπερ κυρίως
οὐκ ἐνυπόστατον· ἀλλ' ὑπόστασίς ἐστι τε καὶ λέγεται·
κυρίως δὲ ἐνυπόστατόν ἐστιν, ἢ τὸ καθ' ἑαυτὸ μὲν
μὴ ὑφιστάμενον, ἀλλ' ἐν ταῖς ὑποστάσεσι θεωρού-

Species p(er) se — μενον, ὥσπερ τὸ εἶδος· ἤγουν ἡ φύσις τῶν ἀνθρώπων,
nõ cõsideratur — ἐν ἰδίᾳ ὑποστάσει οὐ θεωρεῖται· ἀλλ' ἐν Πέτρῳ,
sed in indivi- — καὶ Παύλῳ, καὶ ταῖς λοιπαῖς τῶν ἀνθρώπων ὑποστάσεσιν,
duis

ἢ τὸ σὺν ἄλλῳ διαφόρῳ κατὰ τὴν οὐσίαν, εἰς
ὅλου τινὸς γένεσιν συντιθέμενον· καὶ μίαν ἀπο-
τελοῦν ὑπόστασιν σύνθετον· οἷον, ὁ ἄνθρωπος, ἐκ
ψυχῆς ἐστι καὶ σώματος συντεθειμένος· καὶ οὔτε ἡ
ψυχὴ μόνη λέγεται ὑπόστασις, οὔτε τὸ σῶμα·

ἀλλ' ἐνυπόστατα· τὸ δὲ ἐξ ἀμφοτέρων ἀποτελού-
μενον, ὑπόστασις ἀμφοτέρων· οἷον ἀνθρώπου· μήτε τὴν
ψυχὴν καθ' ἑαυτὴν ὑποστῆναι, μήτε τὸ σῶμα· ἀλλ'
ἀμφότερα ἀμφοτέρων ὑπόστασις τοῦ κυρίως· τὸ καθ' αὑτὸ
ἰδιοσυστάτως ὑφιστάμενον, ἐπί τε καὶ λέγεται· λέγεται
πάλιν ἐνυπόστατον, ἡ ὑφ' ἑτέρας ὑποστάσεως
προσληφθεῖσα φύσις· καὶ ἐν αὐτῇ ἐσχηκυῖα
τὴν ὕπαρξιν· ὅθεν καὶ ἡ σὰρξ τοῦ Χριστοῦ μὴ ὑποστᾶσα Caro Christi
καθ' ἑαυτήν· μηδὲ πρὸς καιροῦ ῥοπήν, οὐχ ὑπό-
στασις· ἀλλὰ μᾶλλον ἐνυπόστατόν ἐστιν· ἐν γὰρ τῇ ὑποστάσει
τοῦ Θεοῦ λόγου ὑπέστη προσληφθεῖσα ὑπ' αὐτῆς· καὶ
ταύτην ἔσχε καὶ ἔχει ὑπόστασιν:– περὶ ἀνυποστάτου:

κθ

Καὶ τὸ ἀνυπόστατον δέ, διχῶς λέγεται· ποτὲ μὲν
τὸ μηδαμῆ μηδαμῶς ὄν, σημαίνει ἤγουν
τὸ ἀνύπαρκτον· ποτὲ δέ, τὸ μὴ ἐν ἑαυτῷ ἔχον
τὸ εἶναι, ἀλλ' ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν· ἤγουν τὸ
συμβεβηκός:– διαίρεσις τοῦ ὄντος [illegible]:–

λ

Τὸ οὖν διαιρεῖται εἰς οὐσίαν καὶ συμβεβηκός· οὐχ ὡς
γένος εἰς εἴδη· ἀλλ' ὡς ὁμώνυμον φωνή· ὡς καὶ ἀφ'
ἑνὸς καὶ πρὸς ἕν:– ἄλλη διαίρεσις τῆς οὐσίας:–

λα

e. m

Ἡ οὐσία, γενικώτατον γένος ἐστίν· αὕτη διαιρεῖται,
εἰς σῶμα καὶ ἀσώματον· εἰς ἔμψυχον καὶ
ἄψυχον· εἰς αἰσθητικὸν ζῶον καὶ ἀναίσθητον·
ζωόφυτον, καὶ φυτόν· εἰς λογικὸν καὶ ἄλογον· καὶ
θνητὸν καὶ ἀθάνατον· εἰς ἄνθρωπον· ἵππον· κύνα,
καὶ τὰ τοιαῦτα· εἰς πέτρον παῦλον· καὶ τοὺς
λοιποὺς κατὰ μέρος ἀνθρώπους· οἵτινες εἰσίν,
ἄτομα· καὶ ὑποστάσεις· καὶ πρόσωπα· καὶ χαρα-
κτῆρες. τὸ σῶμα εἶδος τῆς οὐσίας καὶ γένος τοῦ
ἐμψύχου. τὸ ἔμψυχον, εἶδος τοῦ σώματος καὶ γένος
τοῦ αἰσθητικοῦ. τὸ αἰσθητικὸν ζῶον, εἶδος τοῦ
ἐμψύχου καὶ γένος τοῦ λογικοῦ. τὸ λογικὸν, εἶδος
τοῦ ζώου, καὶ γένος τοῦ θνητοῦ. τὸ θνητὸν
εἶδος τοῦ λογικοῦ, καὶ γένος τοῦ ἀνθρώπου. ὁ ἄνθρωπος,
εἰδικώτατον εἶδος. εἶδος δὲ ἐστὶ τοῦ θνητοῦ.
καὶ εἶδος τοῦ πέτρου καὶ παύλου. ὅτι ταὐτόν ἐστι φύσις
καὶ μορφὴ καὶ οὐσία κατὰ τοὺς ἁγίους πατέρας· τῶν
μέσων τοῦ γενικωτάτου γένους ἤτοι τῆς
οὐσίας καὶ τῶν εἰδικωτάτων εἰδῶν ἤτοι τοῦ ἀνθρώπου,
ἵππου, γένη τε εἰσὶ καὶ εἴδη ὑπάλληλα· ταῦτα

Idē
Hypostases
Indiuidua
Personæ
Characteres

Idē
φύσις,
μορφὴ
οὐσία

δὲ λέγομεν· οἷον ὡς δεῖ· ἡ φύσις καὶ αἱ διαφοραὶ καὶ
ποιότητες· διαιρετικαὶ τῶν ἐπάνω καὶ συστατικαὶ
τῶν ὑποκάτω· καὶ εἰδοποιοὶ τῶν εἰδικωτάτων
εἰδῶν· συνιστῶσαι αὐτὰ καὶ διαιροῦσαι φύσιν ἀπὸ
φύσεως. ταὐτὸν οὖν ἐστὶν οὐσία καὶ φύσις καὶ μορφή· ἕτερον δὲ
καὶ τὸ ὑποστάσεως· καὶ ἄτομον καὶ πρόσωπον· ἐν ὑπο-
-στατόν τε καὶ ἀνυπόστατον· καὶ τίς ἡ διαφορὰ οὐσίας
καὶ συμβεβηκότων· καὶ ὡς κυρίως τὸ εἶναι ἡ οὐσία
τῶν συμβεβηκότων· ὡς ἐν αὐτῇ ἔχουσα τῶν
συμβεβηκότων τὴν ὕπαρξιν· ἀρκεῖ ταῦτα δὲ καὶ περὶ
τῆς διαιρέσεως αὐτῆς· καὶ τίς διαφορὰ οὐσίας τῶν
οὐσιωδῶν διαφορῶν· ὅτι ἡ διαφορὰ αὐτῶν ἡ οὐσία ἀδιαπ-
-ουμένη, ποιὸν εἶδος ἀποτελεῖ· καὶ ποιάδε
καὶ ποιάδε γίνεται· ἀρκεῖ ταῦτα δὲ καὶ περὶ φύσεως· καὶ
μορφῆς· καὶ ὑποστάσεως· καὶ προσώπου· καὶ ἀτόμου·
ἅ τε οἱ ἔξω περὶ τούτων ἐδόξασαν· καὶ ὅπως
οἱ ἅγιοι πατέρες οἱ τῆς ἀληθείας καὶ τῆς ὄντως φιλοσο-
-φίας μαθηταὶ καὶ διδάσκαλοι ὠρθοτόμησαν.
φέρε δὴ νῦν ταῦτα διὰ τῆς οὐσίας εἴπωμεν· ὅτι
ἴδιον τῆς οὐσίας, τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι.

*Margin:* D[a]. inter substātiā & differētias substātials

*Margin:* οἱ ἔξω

οἱ ἔξω. philosophos appellat τοὺς ἔξω
ad differentiam τῶν ἁγίων πατέρων.
Nota pro nostro Sepulueda.

αὕτη γὰρ μᾶλλον ὑπόκειται τῶν συμβεβηκότων
εἰς τὸ εἶναι· καὶ οὐχὶ αὕτη ἐν ἑτέρῳ ἔχει τὴν
ὕπαρξιν. τοῦτο δὲ τὸ ἴδιον, καὶ τῶν οὐσιωδῶν
διαφορῶν ἐστί· τὸ γὰρ ἐν ὑποκειμένῳ, οὔτε παρὸν
σώζει, οὔτε ἀπὸν φθείρει· διὸ οὐδὲ ἐν τῷ ὁρισμῷ
λαμβάνεται. συμβεβηκὸς γὰρ πάντως ἐστίν.

Differẽtiæ substãtials nõ sũt accidentia

αἱ δὲ οὐσιώδεις διαφοραί, οὐκ εἰσὶ συμβεβη-
κότα· καὶ παροῦσαι γὰρ σώζουσι· καὶ ἀποῦσαι, φθεί-
ρουσι· διὸ καὶ ἐν τῷ ὁρισμῷ λαμβάνονται.
ἴδιον δὲ καὶ τὸ συνωνύμως κατηγορεῖσθαι,
ἤγουν μεταδίδοσθαι καὶ τοῦ ὀνόματος καὶ τοῦ
ὁρισμοῦ. καὶ τὸ μὴ ἔχειν τι ἐναντίον. τῷ γὰρ λίθῳ

Substæ propria

ἤγουν αὐτῇ τῇ οὐσίᾳ τοῦ λίθου, οὐδέν ἐστιν ἐναν-
τίον. καὶ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον.
τοῦτο δὲ καὶ τῶν οὐσιωδῶν διαφορῶν ἐστὶν ἴδιον.
οὐδὲ γὰρ ὁ ἄνθρωπος μᾶλλον τοῦ ἵππου οὐσία, ἢ ζῷον.
οὐδὲ ἵππος, μᾶλλον τοῦ ἀνθρώπου. καὶ τὸ τῶν ἐναντίων
εἶναι δεκτικὴν ἀμοιβαδόν, καὶ οὐ κατὰ ταὐτό· ἀλλὰ
κατὰ τὴν ἑαυτῆς μεταβολήν. ἐναντίων δὲ λέγω,
συμβεβηκότων· ἐπεὶ οὐσιωδῶν, οὐδαμῶς.

τὸ λογικὸν, οὐκ ἐπιδέχεται τὸ ἄλογον· τὸ δὲ σῶμα, θερμαίνεται· καὶ μεταβαλλόμενον, ψύχεται· καὶ ἡ ψυχὴ, ποτὲ μὲν, δέχεται ἀρετὴν· ποτὲ δὲ κακίαν:– Ἔτι περὶ ὁμογενῶν καὶ ὁμοειδῶν· ἑτερογενῶν τε καὶ ἑτεροειδῶν· καὶ ὁμοϋποστάτων καὶ ἀριθμῷ διαφερόντων:–

λβ

Ὁμογενῆ εἰσιν, ὅσα ὑπὸ τὴν αὐτὴν κατηγορίαν τάσσονται· οἷον, ὅσα εἰσὶν ὑπὸ τὴν οὐσίαν· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων ἐννέα κατηγοριῶν· δεῖ γὰρ γινώσκειν ὡς δέκα εἰσὶν αἱ πᾶσαι κατηγορίαι, ἤτοι τὰ γενικώτατα γένη· ὑφ᾽ ἃς ἀναφέρεται πᾶσα φωνὴ ἁπλῶς λεγομένη· εἰσὶ δὲ αὗται· οὐσία, οἷον λίθος· ποσὸν· οἷον, δύο· τρία· πρός τι· οἷον, πατὴρ· υἱός· ποιὸν, οἷον, λευκὸν, μέλαν· ποῦ, οἷον, ἐν δαμασκῷ· τοῦτο δὲ, τοπικοῦ ἐστι δηλωτικόν· ποτέ· οἷον, χθὲς· αὔριον· τοῦτο δὲ, χρόνου ἐστὶ δηλωτικόν· ἔχειν· οἷον, ἱμάτιον φορεῖν· κεῖσθαι· οἷον, ἵστασθαι· καθέζεσθαι· ποιεῖν· οἷον, καίειν· κόπτειν· πάσχειν· οἷον, καίεσθαι· ἑτερογενῆ δέ ἐστιν, ὅσα ὑπὸ ἄλλην καὶ ἄλλην κατηγορίαν εἰσί· καὶ ὁμογενῆ μὲν,

ὁ ἄνθρωπος καὶ ὁ ἵππος· ὑπὸ τὴν οὐσίαν γὰρ τελοῦσιν ἀμφότερα. ἑτερογενῆ δέ, ὡς ἄνθρωπος καὶ ἐπιστήμη· ὁ μὲν γὰρ ἄνθρωπος, ὑπὸ τὴν οὐσίαν ἐστίν· ἡ δὲ ἐπιστήμη, ὑπὸ τὴν ποιότητα· ὁμοειδῆ δέ ἐστιν, ὅσα ὑπὸ τὸ αὐτὸ εἶδος τάττονται, καὶ κοινωνοῦσι τῷ λόγῳ τῆς οὐσίας· οἷον, πέτρος· καὶ παῦλος· ἀμφότεροι γὰρ ὑφ᾽ ἓν εἶδος εἰσὶ τὸ τοῦ ἀνθρώπου· ἑτεροειδῆ δέ, ὅσα τῷ εἴδει διαφέρουσιν· οἷον, τῷ λόγῳ τῆς οὐσίας· οἷον, ἄνθρωπος· ἵππος· οἱ δὲ ἅγιοι πατέρες, ὁμογενῆ καὶ ὁμοειδῆ, ταῦτα λέγουσι τὰ ὁμοούσια· ἤγουν τὰς ὑπὸ τὸ αὐτὸ εἶδος ὑποστάσεις· ὁμοϋπόστατα δέ εἰσιν, ὅπερ δύο φύσεις ἐν μιᾷ ὑποστάσει ἥνωνται, καὶ μίαν ἀποτελοῦσιν ὑπόστασιν σύνθετον· καὶ ἓν πρόσωπον, ὡς ψυχὴ καὶ σῶμα. ἑτεροϋπόστατα δὲ καὶ ἀριθμῷ διαφέροντα, ὅσα τῇ συμπλοκῇ τῶν συμβεβηκότων, τὴν ἰδιότητα τῆς οἰκείας ὑποστάσεως ἀφωρίσαντο· ἤγουν ὅσα τοῖς συμβεβηκόσι διαφέρουσιν ἀλλήλων, καὶ ἕκαστον ἀνὰ μέρος καθ᾽ ἑαυτὸ ἔχει ὕπαρξιν· οἷον,

ὁμογενῆ καὶ ὁμοειδῆ idest secundu[m] s[an]ctos patres, i. τὰ ὁμοούσια

Ὁμοούσια

Ὁμοϋπόστατα

Ἑτεροϋπόστατα

καὶ ἄτομα, Πέτρος καὶ Παῦλος· ἄλλος γάρ ἐστιν
οὗτος· καὶ ἄλλος ἐκεῖνος· — Περὶ τοῦ ποσοῦ καὶ ποσότητος: — λγ´

Ποσότης ἐστὶ σωρεία μονάδων. τὴν δὲ μονάδα
οὔ φασι ποσότητα, ἀλλ' ἀρχὴν ποσότητος. Monas nō quantitas
μονάδος οὖν καὶ μονάδος συντιθεμένης, γί-
νονται δύο· ὥστε, οὐ διαιρεθεῖσα ἡ ποσότης,
ἀλλὰ σωρευθεῖσα καὶ συναφθεῖσα ἐστίν. Ἰστέον δὲ ὅτι πο- συναφθεῖσα
σότης μέν ἐστιν, αὐτὸ τὸ μέτρον καὶ ὁ ἀριθμὸς ὁ
μετρῶν καὶ ὁ ἀριθμῶν. ποσὸν δὲ, τὰ τῷ ἀριθμῷ ποσότης
καὶ τῷ μέτρῳ ὑποκείμενα ἤγουν τὰ μετρούμενα ποσόν a D
καὶ ἀριθμούμενα. Τῶν δὲ ποσῶν, τὰ μέν ἐστι
διωρισμένα· τὰ δὲ, συνεχῆ. συνεχῆ μὲν οὖν συνεχῆ
εἰσὶν ὅτε ἕν ἐστι τὸ μετρούμενον· ὥσπερ ἓν ξύλον
εὑρίσκεται δίπηχυ, τρίπηχυ· ἢ λίθος, ἤ τι
τῶν τοιούτων· καὶ ἓν ὑπάρχον, μετρεῖται· καὶ διὰ
τοῦτο λέγεται συνεχές. διωρισμένα δέ εἰσι, διωρισμένα
τὰ ὑπ' ἀλλήλων κεχωρισμένα· ὥσπερ ἐπὶ δέκα
λίθων, ἢ δέκα φοινίκων· ταῦτα γὰρ κεχωρισ-
μένα εἰσὶν ἀπ' ἀλλήλων· ταῦτα οὖν ἀριθμεῖσθαι
λέγονται, ἐπεὶ μὴ διὰ σμικρότητα καὶ πλῆθος

∴ π. ωμ. ut statim patet
uersu. 7.

μηκυνθῶσι ἢ μορφωθῶσιν ἢ τινὶ τοιούτῳ· ὥσπερ δὲ τὸ
Diff.o con ἢ τῷ τοιοῦτον ὁρίζονται. δὲ τὰ μὲν συνεχῆ,
tinui οἷον τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτουσι.
ὡς ἐπὶ τοῦ ξύλου τοῦ διπήχεος ἤγουν τοῦ
δύο πήχεις ἔχοντος, τὸ τέλος τοῦ ἑνὸς
πήχεος καὶ ἡ ἀρχὴ τοῦ ἄλλου πήχεος, μία ἐστί.
κεκολλημέναι γάρ εἰσι καὶ συνημμέναι καὶ οὐκ εἰσὶν
ἀπ᾽ ἀλλήλων διῃρημέναι· τὰ δὲ διωρισμένα
Diff.o discre ὧν τὰ μόρια πρός τινα κοινὸν ὅρον οὐ συνάπ-
ti — τουσιν, ὡς ἐπὶ δέκα λίθων. ἐὰν γὰρ ἀριθμήσῃς
πέντε καὶ πέντε, οὐκ ἔχουσι κοινὸν ὅρον τὸν
συνάπτοντα αὐτά. ἐὰν γὰρ δώσεις τι μεταξὺ τῶν
πέντε καὶ τῶν πέντε, γίνονται ἕνδεκα, καὶ οὐ
δέκα. καὶ αὐτὸ δὲ δηλοῖ τὸ ὄνομα τοῦ συνεχοῦς
καὶ τοῦ διωρισμένου. ὑπὸ μὲν οὖν τὸ διωρισμένον
ποσόν, ἀνάγεται ὅ τε ἀριθμὸς καὶ ὁ λόγος. ἀριθμὸν
δὲ ἐνταῦθα λέγομεν, τὰ ἀριθμούμενα. τὰ γὰρ
ἀριθμούμενα, πάντως διωρισμένα ἐστὶν
ὡς δέκα λίθοι. καὶ ὁ λόγος δὲ διωρισμένον ἐστίν· ὁ
γὰρ λόγος ἀριθμούμενος ταῖς λέξεσιν, οὐκ ἔχει

κοινὸν ὅρον πρὸς ὃν συνάπτονται τὰ μόρια αὐτοῦ. ἐὰν γὰρ ἔχῃ δέκα λέξεις ὁ λόγος καὶ διέλῃς αὐτὰς εἰς πέντε καὶ πέντε, οὐκ ἔχουσι κοινὸν ὅρον πρὸς ὃν συνάπτονται αὐτῶν. ἐὰν προστεθῇ πέντε τῶν μονάδων, γίνονται ἕνδεκα καὶ οὐ δέκα. ὁμοίως καὶ ἡ λέξις ἀριθμουμένη συλλαβαῖς, οὐκ ἔχει κοινὸν ὅρον πρὸς ὃν συνάπτουσιν αὐτάς, ἤγουν τὰς συλλαβάς. οἷον, Σωκράτης· μεταξὺ τῆς σω συλλαβῆς καὶ τῆς κρα συλλαβῆς, οὐκ ἔστι κοινὸς ὅρος, ὃς συνάπτει αὐτάς. συνεχὲς δὲ ποσόν, σῶμα. ἐπιφάνεια. γραμμή. τόπος. χρόνος. γραμμὴ δὲ γίνωσκε ὅτι ἡ στιγμή, ἀποσώσεις· οὔτε μετρεῖται οὔτε ἀριθμεῖται. ἐπειδὴ οὐκ ἔχει οὐδὲ μίαν διάστασιν ἀλλ᾽ ἔστι μόνον ἀπλατές. οἷον, αὕτη, ὑπὸ τὸ συνεχὲς ποσὸν ἀναφέρεται. μία δὲ οὖσα μηκύνεται. καὶ τὰ μόρια αὐτῆς ἔχουσι κοινὸν ὅρον συνάπτονται αὐτὰ τὴν μεταξὺ στιγμήν. ἐπιφάνεια δὲ ἐστί, τὸ ἔξω μέρος τοῦ σώματος παρὰ τὸ φαίνεσθαι. ἔχει δὲ δύο διαστάσεις, μῆκος καὶ πλάτος. καὶ αὕτη δὲ μία οὖσα, μηκύνεται. καὶ τὰ μόρια αὐτῆς

Punctū

Supficies

ἀπὸ φαίνεσθαι unde?

ἔχουσι κοινὸν ὅρον· συνάπτονται αὐτῆς τὰ μεταξὺ
γραμμήν· χρὴ δὲ γινώσκειν ὅτι ἡ μὲν ὁμαλὴ
καὶ ἴση ἐπιφάνεια, ἐπίπεδος λέγεται· ἡ δὲ
ἀνώμαλος καὶ σκολιά, ἁπλῶς ἐπιφάνεια.
τὸ δὲ σῶμα, ἔχει τρεῖς διαστάσεις· μῆκος·
πλάτος· καὶ βάθος· ἤγουν πάχος· καὶ αὐτὸ ὑπάρχον
μετρεῖται· καὶ τὰ μόρια αὐτοῦ ἔχουσι κοινὸν
ὅρον· συνάπτονται αὐτὰ τὴν ἐπιφάνειαν·
καὶ ὁ τόπος ἐπιφάνειά ἐστι τοῦ ἀέρος· ὁ γὰρ
τόπος, ἐπιφάνεια· ἤγουν τὸ τέλος τοῦ
περιέχοντος σε ἀέρος ἐστί· καὶ ὡς ἐπιφάνεια,
ἐπὶ τὸ συνεχὲς ποσὸν ἀνάγεται· καὶ ὁ χρόνος
δέ, μετρεῖται εἰς τὸν παρεληλυθότα καὶ
εἰς τὸν μέλλοντα· καὶ ἔχουσι τὰ μόρια αὐτοῦ
κοινὸν ὅρον συνάπτονται, τὸ νῦν· τὸ δὲ νῦν,
ἄποσόν ἐστιν· ἰδοὺ οὖν τρία εἰσὶν ἄποσα· ἡ μονὰς
καὶ ἡ στιγμή· καὶ τὸ νῦν· καὶ κυρίως μὲν ταῦτα τὰ
ἑπτά, λέγονται ποσά· ἀριθμός· λόγος· χρόνος·
τόπος· γραμμή· ἐπιφάνεια· σῶμα· κατὰ
συμβεβηκὸς δὲ λέγομεν ποσά, καὶ τὰ ἐν αὐτοῖς

ἐπίπεδος qd.

ἐπιφάνεια

Corpus habe re tres dimé siones

Locus qd.

Tria ἄποσα, unitas. pu ctum. Nūc

Proprie sep té dicunt᷑ ποσά.

θεωρούμενα· πρᾶξιν· κίνησιν· χρόνον· καὶ τὰ
τοιαῦτα· οἷον, ἐὰν πολλῷ χρόνῳ γένηται ἡ τῆς
πρᾶξις καὶ ἡ κίνησις, φαμὲν, πολλὴν πρᾶξιν
καὶ κίνησιν· ἐὰν δὲ ἐν ὀλίγῳ, ὀλίγην· ὁμοίως καὶ εἰ ἐν πο-
λλῷ σώματι λευκότης ᾖ, φαμὲν, πολὺ λευκόν·
ἐὰν δὲ ἐν ὀλίγῳ, ὀλίγην· ἔτι τοῦ ποσοῦ τὸ μέν ἐστιν
ὡρισμένον· τὸ δὲ, ἀόριστον· ὡρισμένον μὲν οὖν
ἐστι· τὸ δυνάμενον μετρεῖσθαι, ἢ ἀριθμεῖσθαι·
τὸ δὲ ἀόριστον τὸ ὑπεροχῇ τινὶ ὑπὲρ μᾶλλον
παρὰ μέτρον· καὶ παρὰ τὸν ἀριθμόν· καὶ λέγεται μέγα
καὶ πολὺ ἀορίστως ὡς λέγομεν πολλὴν εὐσπλα-
χνίαν τοῦ θεοῦ· μέγα τὸ μυστήριον τῆς τοῦ θεοῦ λόγου
οἰκονομίας· χρὴ δὲ γινώσκειν ὅτι ὁ ἀριστοτέλης — Aristotels
τὸ μέγα καὶ τὸ μικρὸν πολύ τε καὶ ὀλίγον· τὸ μεῖζον
καὶ τὸ μικρότερον· καὶ ὀλιγώτερον· καὶ πλειότερον· καὶ
διπλάσιον· καὶ ἥμισυ καὶ τὰ τοιαῦτα, ὑπὸ τὰ
πρός τι τίθησι· λέγομεν οὖν ὅτι δύναται αὐτὸ τὸ
πρᾶγμα, κατ' ἄλλον καὶ ἄλλον σκοπὸν, ὑπ' ἄλλην καὶ
ἄλλην κατηγορίαν ἀναφέρεσθαι· ὡς μὲν γὰρ ἀριθμοῦ
καὶ μέτρου δηλοῦνται τὰ προειρημένα, ὑπὸ τὸ

Vna & eadē res potest poni in diuersis predicamētis

ποσὸν ἀναφέρονται· ὡς δὲ σχέσιν ἔχοντα πρὸς
ἄλληλα· καὶ ὡς πρὸς ἄλληλα λεγόμενα, ὑπὸ
τὸ πρός τι· τὸ μὲν μέγα, πρὸς τὸ μικρὸν
λέγεται μέγα· καὶ τὸ διπλάσιον, πρὸς τὸ ὂν ἢ μᾶλλον
πρὸς τὸ ἥμισυ· ὁμοίως καὶ τὰ λοιπά· τὸ δὲ σῶμα,
καθὸ μὲν φυσικόν ἐστιν, ὑπὸ τὴν οὐσίαν ἀναφέρεται·
καθὸ δὲ μαθηματικὸν ἢ μετρούμενον, ὑπὸ τὸ πο-

*Quantitatis alia diuisio*

σόν. ἔτι τοῦ ποσοῦ· τὸ μὲν μέγεθος· τὸ δὲ πλῆθος·
τὸ μὲν οὖν μέγεθος, μετρεῖται· τὸ δὲ πλῆθος,
ἀριθμεῖται· ἀκολουθεῖ δὲ τὸ πηλίκον, τῷ

*πηλίκον*

μεγέθει· τὸ δὲ ποσόν, τῷ πλήθει. ἴδια δὲ τοῦ
ποσοῦ εἰσὶ τρία· ἅτινα λέγονται παρακολου-

*Propria quantitatis*

θήματα· πρῶτον, τὸ μὴ ἔχειν τι ἐναντίον
καθ' αὑτό· τὸ σῶμα αὐτὸ καθ' αὑτό, οὐκ ἔχει
τι ἐναντίον· καθὸ δὲ ἐστὶ τυχὸν λευκόν, ἔχει
τι ἐναντίον τὸ μέλαν. πρὸς δὲ γινώσκειν ὅτι
τῶν δύο ἀριθμῶν, οὐκ ἔστιν ἐναντίον ἄλλος ἀριθμὸς



*Cur numero non sit alius numerus contrarius*

ἕτερος ἐστί, πολλοὶ ἔσονται· πάντες γὰρ οἱ ἄλλοι
ἀριθμοί, ἐναντίοι ἔσονται· καὶ εὑρίσκεται ἓν
φύσις ἄλογος ὢν ἡ πολλὰ ἀντιτάξασα· οὐδ

ἐνδέχεται ἓν ἑνὶ πολλὰ ἀντιτάξασθαι· οὐ γὰρ ἐν-
δέχεται ἓν ἑνὶ, πολλὰ εἶναι ἐναντία. δεύτερον, — Nequeunt multa uni ee cōtraria
τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· οὐ γὰρ
οἱ δύο φοίνικες ἐστὶ μᾶλλον δύο, ἢ ἕτεροι δύο
ἄμφω. τὸ δὲ μὴ ἔχον ἐναντίον οὐκ ἐπιδέχεται
τὸ μᾶλλον καὶ τὸ ἧττον. τρίτον δὲ, ὃ μόνῳ καὶ παντὶ
τῷ ποσῷ· τὸ ἴσον καὶ ἄνισον. γραμμὴ γὰρ γραμμῇ
ἴση ἐστὶ καὶ ἄνισος. — περὶ τῶν πρός τι. —

λδ

Πρός τι ταῦτα ἐστὶν, ὅσα αὐτὰ ἅπερ ἐστὶν
ἑτέρων εἶναι λέγεται· ἢ ὁπωσοῦν ἄλλως
πρὸς ἕτερον. καὶ ἑτέρων μὲν εἶναι λέγεται, ὡς ὁ πατὴρ
υἱοῦ· ὁ γὰρ πατὴρ παντί τινι υἱοῦ λέγεται πατήρ. πρὸς
ἕτερον δὲ, ὡς μέγα πρὸς μικρὸν καὶ πολὺ πρὸς
ὀλίγον· οὐ γὰρ λέγεται ὀλίγου πολὺ, ἀλλὰ πρὸς
ὀλίγον. χρὴ δὲ γινώσκειν ὅτι ὅταν τι καθ' αὑτὸ
θεωρῆται, οὐκ ἔστι πρός τι· ἢν δὲ ἔχῃ σχέσιν
πρὸς ἕτερον, τότε λέγεται πρός τι· ὥστε τοῦτο ἐστὶ
τὸ εἶναι τῶν πρός τι, καὶ αὕτη ἐστὶν αὐτῶν ἡ ὑπό-
στασις, ἢ τῷ πρὸς ἕτερον λέγεσθαι· ἤγουν τῷ
ἔχειν σχέσιν πρὸς ἕτερον· ἡ γὰρ πρὸς ἄλλο ἄλλου σχέσις,

τὰ πρός τι ποιεῖ. τῶν δὲ πρός τι, τὰ μὲν,
τῷ αὐτῷ ὀνόματι ὀνομάζονται· ὡς φίλος
φίλου φίλος. ὡς ἐχθρὸς ἐχθροῦ ἐχθρός.
τὰ δὲ ἑτέρῳ ὀνόματι. ὡς πατὴρ υἱοῦ πατήρ.
διδάσκαλος μαθητοῦ διδάσκαλος. πάλιν
τῶν πρός τι τὰ μὲν, καθ' ὑπεροχήν· ὡς
τὸ μεῖζον, ἐλάττονος μεῖζον. τὰ δὲ, κατὰ
τὸ κρῖνον καὶ κρινόμενον· ὡς ἐπιστήμη, ἐπι-
στητοῦ ἐπιστήμη. ἡ γὰρ ἐπιστήμη, κρίνει τὸ
ἐπιστητόν. ἢ γοῦν ἡ γνῶσις, κρίνει τὸ γνωστόν.
καὶ ἡ αἴσθησις, αἰσθητοῦ αἴσθησις. καὶ θέσις,
θετοῦ θέσις. καὶ στάσις, στατοῦ στάσις. καὶ ἀνά-
κλισις, ἀνακλιτοῦ ἀνάκλισις. καὶ τὰ τοι-
αῦτα. τὰ δὲ, κατὰ δύναμιν καὶ ἀδυναμίαν·
δύναμιν μὲν, ὡς τὸ θερμαῖνον καὶ θερμαινό-
μενον. ἀδυναμίαν δὲ, τὸ κατὰ στέρησιν τῆς
δυνάμεως ὡς λέγομεν ἀδυναμίαν ἔχειν
τὴν ὄψιν, ὁρᾶν τὴν ἀνάστρον ἀθαγέραν. τὰ δὲ,
κατὰ τὸ ἀντίον. καὶ ἀντίατον. ὡς πατὴρ, υἱοῦ πατήρ.
ἴδιον δὲ τῶν πρός τι. τὸ, πρὸς ἀντιστρέφονται

Nota

λέγεσθαι· φίλος τοῦ φίλου φίλος· διδάσκαλος,
μαθητοῦ διδάσκαλος· καὶ μαθητὴς, διδασ-
-κάλου μαθητής· καὶ τὸ ἅμα τῇ φύσει εἶναι· τὸ
δὲ ἅμα τῇ φύσει, ἐστὶ, τὸ συνεισφέρειν, καὶ συνεισ-
-φέρεσθαι. καὶ συναναιρεῖν καὶ συναναιρεῖσθαι· πατρὸς
τοῦ ὄντος, πάντως καὶ υἱὸς ἔσται· καὶ υἱοῦ ὄντος, καὶ
πατὴρ ἔσται πάντως· καὶ πατρὸς μὴ ὄντος, οὐδὲ υἱὸς ἔσται.
τίνος γὰρ ἔσται υἱός· καὶ υἱοῦ μὴ ὄντος, οὐδὲ πατὴρ
ἔσται· ὅτε γὰρ μὴ ἔχων υἱὸν, οὐκ ἔσται πατήρ· ὥσπερ οὖν
-ναναιρεῖται ὁ υἱὸς τῷ πατρί· καὶ ὁ πατὴρ τῷ υἱῷ· συνα-
-ναιρεῖται δὲ, οὐχ ἡ ὑπόστασις αὐτοῦ, ἀλλ' ἡ σχέσις.
ἐπεὶ γὰρ καὶ μένει υἱὸς, ἀλλ' οὐχ υἱὸς μένει· μὴ ἔχων
τὸν πατέρα, πῶς ἔσται υἱός· ἐπεὶ δὲ καὶ λεγόμενον τοῦ
τελευτηκότος, ἢ οὐ κυρίως λέγομεν, ἀλλὰ κατα- -
χρηστικῶς· ἢ ὡς μὴ ἀπολλυμένου τοῦ πατρὸς, καὶ
ἐπεὶ τὸ μὴ εἶναι χωρισθῆναι τοῦ διὰ τὸ τῆς ψυχῆς ἀ-
θάνατον· χρὴ δὲ εἰδέναι ὅτι ἑκάστη κατηγορία,
γενικώτατον γένος ἐστί· καὶ ἔχει καὶ γένη καὶ ἀδιαίρετα
-ἀλληλα· καὶ διαιρετικὰς τῶν γενῶν καὶ συστατικὰς
τῶν εἰδῶν διαφοράς· καὶ εἰδικώτατα εἴδη καὶ

Quid sit esse simul natura

ἄτομα· οὔτε δὲ ἀσυστατικὴν διαφορὰν λέ-
γομεν τῆς οὐσίας ὡς ἴδιον ἐστὶ τῆς οὐσίας μόνης. οὐδὲ
τὰ ἄτομα λέγομεν τὰς ὑποστάσεις, ἐστὶ τῆς οὐ-
σίας μόνης. Χρὴ δὲ εἰδέναι ὅτι καὶ αὐτὴ ἡ οὐσία,
ὡς γένος καὶ διαφορὰν ἔχουσα πρὸς ἕτερον ὑπὸ τῶν
πρός τι ἀνάγεται· τὸ γὰρ γένος, εἰδῶν ἐστὶ γένος·
καὶ τὰ εἴδη, γένους εἰσὶν εἴδη· καὶ τῶν πρός τι εἰσί.
Ἔστι τὰ πρός τι καὶ πρὸς ἀμφότερα ἐπιστρέφοντα λεγό-
μενα· ἢ ἐν τοῖς αὐθεδράστοις ἔχουσι τὴν σχέσιν [αὐθεδράστοις]
ἤγουν οὐσίαις, ἢ οὐκ ἐν τοῖς αὐθεδράστοις.
ἤγουν συμβεβηκόσι· καὶ εἰ ἐν τοῖς αὐθεδράστοις,
ἢ φυσική αὐτῶν ἐστὶ σχέσις ὡς πατρὸς καὶ υἱοῦ, ἢ οὐ
φυσική· εἰ δὲ οὐ φυσική, ἢ τυχική· ὡς δούλου
καὶ δεσπότου· ἢ τεχνική, ὡς μαθητοῦ καὶ
διδασκάλου· ἢ προαιρετική ὡς φίλος καὶ φίλου·
ἐχθρὸς καὶ ἐχθροῦ· εἰ δὲ οὐκ ἐν τοῖς αὐθεδράστοις·
ἀλλ' ἐν τοῖς συμβεβηκόσιν· ἢ φυσική ὡς τὸ
διπλάσιον καὶ τὸ ἥμισυ· ἢ οὐ φυσική· χρὴ δὲ
τὰ πρός τι πρότερον, ὑπ' ἄλλην κατηγορίαν
ἀνάγεσθαι· ὡς καθ' αὐτὸ θεωρούμενον· καὶ τότε

ὡς ἀρχὴν ἔχειν παρ' ἑτέρου, ὑπὸ τοῦ πατρός τι· δηλονότι τοῦ προτέρου εἶναι αἴτιον ἀχρόνως, καὶ τότε θεωρεῖσθαι ἡ αὐτῶν ἀρχή:-

## Περὶ ποιοῦ καὶ ποιότητος:- λε

Ποιότης ἐστί, καθ' ἣν ποιοί τινες ὀνομάζονται. καὶ πάλιν ποιότης ἐστί, καθ' ἣν παρωνύμως τὰ μετέχοντα αὐτῆς λέγεται· ἐκ τῆς φρονήσεως, φρόνιμος λέγεται ὁ ἔχων τὴν φρόνησιν· καὶ θερμὸς λέγεται, ὁ μετέχων θερμότητος. χρὴ δὲ εἰδέναι ὅτι τὸ ποιόν, καθολικώτερόν ἐστι τῆς ποιότητος· τὸ γὰρ ποιόν, σημαίνει τὴν ποιότητα καὶ τὸ μετέχον αὐτῆς, ἤγουν τὴν θερμότητα, καὶ τὸ θερμὸν τὸ ἔχον τὴν θερμότητα· ποιοὶ μὲν γάρ εἰσιν, οἱ ἔχοντες τὴν ποιότητα· οἷον, οἱ ἔχοντες τὴν θερμότητα, θερμοὶ λέγονται· οἱ μὲν θερμοί, ποιοί εἰσιν· ἡ δὲ θερμότης, ποιότης. λέγεται δὲ πολλαχῶς καὶ αὕτη ἡ ποιότης, ποιόν· ὁμοίως καὶ ἐπὶ τοῦ ποσοῦ καὶ τῆς ποσότητος. τῶν δὲ ποιοτήτων, αἱ μέν, τοῖς ἐμψύχοις ὑπάρχουσι σώμασιν, ὡς ἐπιστῆμαι καὶ ἀρεταί· νόσοι καὶ ὑγεῖαι· καὶ λέγονται

Τὸ ποιὸν καθολικώτερον τῆς ποιότητος

ἕξις ἕξεις καὶ διαθέσεις· αὗται δὲ καὶ τοῖς ἀψύχοις
διαθέσεις ὡς θερμότης, ψύξις, μορφή, σχῆμα·
δύναμις καὶ ἀδυναμία· τούτων δὲ αὐτῶν
ἰσχὺς δύναμις· αὕτη δὲ ἀνδρεία· καὶ εἰ μὲν δύναμιν
δύναμις ποιοῦσι δύναμιν καὶ ἀδυναμίαν· ἡ δὲ ἀνδρ-
ἀδυναμία εία· ἢ διὰ βάθους κεχωρήκασιν ὡς ἡ θερ-
μότης δι' ὅλου τοῦ πυρὸς καὶ ἡ λευκότης
δι' ὅλου τοῦ γάλακτος καὶ τῆς χιόνος, καὶ
πάθος ποιεῖ πάθος καὶ παθητικὴν ποιότητα,
παθητικὴ ἢ ἐπιπολῆς καὶ ποιοῦσι σχῆμα καὶ μορφήν.
ποιότης εἰσὶν οὖν τῆς ποιότητος εἴδη τέσσαρα·
ἕξις καὶ διάθεσις, δύναμις καὶ ἀδυναμία,
Species 4 πάθος καὶ παθητικὴ ποιότης, σχῆμα καὶ
qualitatis μορφή. διαφέρει δὲ ἕξις διαθέσεως, ὅτι
ἡ μὲν ἕξις δυσμετάβλητός ἐστι καὶ χρονιωτέρα,
οἷον ἡ φρόνησις· οὐ ταχὺ γὰρ μεταβάλλεται
τις ἀπὸ φρονήσεως εἰς ἀφροσύνην. ὁμοίως
καὶ ἡ ἐπιστήμη· ὅτε ἀκριβῶς τις ἐπίσταται,
δυσμετάβλητός ἐστι καὶ ἡ αὐτοῦ γνῶσις.
ἕξις ἐστὶ καὶ ἡ ἀνδρεία καὶ ἡ σωφροσύνη.

f. ἐπιπολῆς

καὶ δυσκίνητον· ὁμοίως δὲ διαθέσεις ἐστὶ, τὰ εὐκίνητα καὶ ταχὺ μεταβάλλοντα· οἷον, θερμότης· ψύξις· νόσος· ὑγίεια, καὶ τὰ τοιαῦτα· διάκειται γὰρ μέν πως κατὰ ταύτας ὁ ἄνθρωπος· ταχὺ δὲ μεταβάλλεται ἐκ θερμοῦ, ψυχρὸς γινόμενος· ἐκ νόσου ὑγιεινός· καὶ αὐτὰ δὲ ταῦτα, οἷον, ἡ νόσος καὶ ἡ ὑγίεια καὶ τὰ τοιαῦτα· ἐὰν ὦσι μόνιμα, καὶ δυσμετάβλητα, ἕξεις ἐστί· καθολικώτερα δὲ ἐστὶν ἡ διάθεσις· ἀμφότερα γὰρ μὲν τὴν διάθεσιν λέγονται· διάκειται γάρ πως κατὰ ταῦτα ὁ ἄνθρωπος· ἀλλ' ἡ μὲν δυσμετάβλητος διάθεσις, ἕξις λέγεται· ἡ δὲ εὐμετάβλητος, διάθεσις μόνον. δεύτερον δὲ εἶδος ποιότητος, δύναμις καὶ ἀδυναμία· ἅτινα οὐκ εἰσὶν ἐνέργεια· ἔχουσι δὲ ἐπιτηδειότητα, καὶ δύναμιν φυσικὴν, ἢ ἀνεπιτηδειότητα· ὡς φαμὲν τὸν μὲν παῖδα, δύνασθαι μουσικὸς εἶναι καὶ μὴ ἔχει ἐνέργειαν τὴν μουσικὴν, ἀλλ' ἔχει ἐπιτηδειότητα, πρὸς τὸ δέξασθαι τὴν μουσικήν· τὸ δὲ ἄλογον, ἀδύνατον· ὡς μήτε ἐνέργειαν ἔχον

ἕξις δ̂
διάθεσις

τὴν μοιχείαν· μή τε δύνασθαι ἄμεινον αὐτὴν δέ-
ξασθαι· καὶ τὸ σκληρὸν δὲ δύναμιν ἔχει τοῦ μὴ
ταχέως ὑποδιαιρεῖσθαι. τρίτον εἶδος, παθητικὴ
ποιότης, καὶ πάθος, οἷον, θερμότης· λευκότης·
ψύξις· μελανία· καὶ τὰ τοιαῦτα· τὸ μὲν οὖν
πάθος ἐν ἀπολήψει τοῦ ἔχειν, ὡς ἡ διάθεσις· ὡς
ὅταν τις ἢ διὰ αἰδῶ ἐρυθριάσῃ, ἢ διὰ φόβον
ὠχριάσῃ· ἡ δὲ παθητικὴ ποιότης, διὰ τὸ χρόνου
καὶ διαμονὴν ἀπολήψεως ἐστί· τῶν δὲ παθητικῶν ποι-
οτήτων, τινὲς μὲν, ἀπὸ πάθους οὐ γεγέννηνται·
ἤγουν οὐκ ἀλλαχόθεν, ἀλλὰ κατ' οὐσίαν ὑπάρ-
χουσιν, ὡς τῷ πυρὶ ἡ θερμότης· καὶ τῷ μέλιτι
ἡ γλυκύτης· οὔτε γὰρ τῷ πυρὶ ἐπίκτητος
ἡ θερμότης, οὐδὲ τῷ μέλιτι ἡ γλυκύτης· οὔτε
πρότερον μὴ ὄντα τοιαῦτα, ὕστερον προσε-
λάβοντο τὴν θερμότητα καὶ τὴν γλυκύτητα·
ὅμως δὲ τὸ αὐτὸ πάθος, ποιοῦσι κατὰ τὰς
ἡμετέρας αἰσθήσεις· τὸ μὲν γὰρ πῦρ θερμὸν ὄν,
θερμαίνει ἡμᾶς· καὶ τὸ μέλι γλυκὺ ὄν, γλυκαί-
νει ἡμᾶς· τινὲς δὲ ἀπό τινος πάθους ἢ κράσεως

γεγόνασι· καὶ ποιοῦσιν ὥσπερ πάθος κατὰ τὴν
ἡμετέραν αἴσθησιν· ἀλλ' οὐδὲ τὸ αὐτὸ πάθος
καὶ τὴν αὐτὴν ποιότητα ἣν ἔχουσιν· οἱ αὐτοὶ
ταῖς χρώμασι· τὸ γὰρ λευκὸν ἐκ τινὸς πάθους
καὶ κράσεως γενόμενον· πάθος μὲν ποιεῖ περὶ
τὴν ὅρασιν ἤγουν τὴν διάκρισιν καὶ τὴν διά-
πλωσιν καὶ φωτισμόν, οὐ λευκαίνει δὲ ἡμᾶς.
ἤγουν παθητικὴ ποιότης, ἡ μὲν οἰκεία ἐπί-
κτητος, παντὶ τῷ εἴδει ἐνυπάρχει· ὡς ἡ θερ-
μότης ὅλῳ τῷ πυρί, ἢ οὐ παντί, ὡς ἡ με-
λανία, τοῖς ἀνθρώποις· οὐ γὰρ πάντες οἱ ἄνθρωποι
μέλανες. ταῦτα δὲ οὐ μόνον περὶ σῶμα
θεωρεῖται, ἀλλὰ καὶ περὶ ψυχήν. τέταρτον εἶδος — 4 species
ποιότητος, σχῆμα καὶ μορφή. τὸ μὲν οὖν σχῆμα,
ἐπὶ τῶν ἐμψύχων καὶ ἐπὶ τῶν ἀψύχων φέρεται
ἡ δὲ μορφή, ἐπὶ τῶν ἐμψύχων μόνων· ἃ δὲ
εὑρεθῇ ἐπὶ τῶν ἀψύχων μορφὴ ἢ εὔμορφον, οὐ
κυρίως, ἀλλὰ καταχρηστικῶς λέγεται· καθο-
λικώτερον οὖν ἐστι τὸ σχῆμα· καὶ ἡ μορφὴ καλεῖται
σχῆμα· τὸ δὲ τῶν ἀψύχων σχῆμα, οὐ καλεῖται

∴ cf. εὑρεθῇ

μορφή· ἡ δὲ εὐθύτης ἢ γωνιότης ἢ ὀρθότης καὶ ἡ καμ-
καμπυ- πυλότης ἢ γωνιοστρεβλότης, τῆς ποιότητος
λότης ἢ ἐστί· χρὴ εἰδέναι ὡς ἐκεῖνο ὅτι τὰ ποιὰ, ὡς ἐπὶ τὸ
στρεβλότης πλεῖστον, παρωνύμως ἀπὸ τῶν ποιοτήτων
λέγονται· ὡς ἀπὸ τῆς θερμότητος, θερμόν.
τινὰ δὲ καὶ ὁμωνύμως· ὡς μουσικὴ ἡ ἐπιστήμη
καὶ μουσικὴ γυνὴ ἡ ἔχουσα τὴν μουσικὴν ἐπιστήμην.
τινὰ δὲ καὶ ἀπαμίως ἑτερωνύμως ὡς
ἀπὸ τῆς ἀρετῆς σπουδαῖος· ὁ γὰρ ἔχων ἀρετὴν,
σπουδαῖος λέγεται. χρὴ εἰδέναι ὡς καὶ ὅτι τὸ πάθος,
πάθος δι- διττόν· ἢ γὰρ ἐν τῷ εἴδει πέπονθεν λέγεται,
ττόν καὶ ἀνάγεται ὑπὸ τὴν ποιότητα· ὡς τὸ ἤδη λε-
-λευκασμένον ἱμάτιον λέγεται λευκόν, ἢ ἐν
τῷ νῦν πάσχειν, καὶ ἀνάγεται ὑπὸ τὴν πάσχειν
κατηγορίαν· ὡς τὸ μήπω λευκανθέν· ἀλλὰ
νῦν λευκαινόμενον. χρὴ εἰδέναι ὡς οὐκ
Qualitates εἰσὶν αἱ ποιότητες σώματα, ἀλλ' ἀσώματοι·
nō eē cor- εἰ γὰρ ἦσαν σώματα, ὑπὸ τὴν οὐσίαν ἦσαν.
pora. neq: καὶ πάντα δὲ τὰ συμβεβηκότα, ἀσώ-
accidentia
reliqua- ματά ἐστι. καὶ καθ' ἑαυτὰ ἀνύπαρκτα.

~ τέλ. ἤδη

καὶ ἐν τῇ οὐσίᾳ θεωρηθῶσι. χρὴ γινώσκειν·
ὅτι τὰς οὐσιώδεις ποιότητας, ὑπὸ τὴν οὐσίαν
ἀνάγειν δεῖ. μόνη γὰρ αὐτῆς ἐστιν ὡς διαγραφοῦσα
αὐτήν· καὶ εἰς τὸν ὁρισμὸν αὐτῆς λαμβανό-
μεναι, τῶν εἰδῶν. ὑφ' ἣν δὲ κατηγορίαν τὸ ὅλον
ὑπὸ ταύτην καὶ τὰ μέρη αὐτοῦ ἀναχθήσεται.
τὸ βαρὺ γὰρ καὶ τὸ κοῦφον, ἢ ἐν ὄγκοις θεωρεῖται
ὡς ἐπὶ τῶν σταθμιζομένων καὶ ἀνάγεται ὑπὸ
τὸ ποσόν. ἢ ἐν οὐσίᾳ ὡς ἐν τοῖς στοιχείοις
ἤγουν πυρὶ καὶ γῇ· καὶ ἀνάγεται ὑπὸ τὴν οὐσίαν
ὡς οὐσιώδεις διαφοραί. ὁμοίως καὶ τὸ πυκνὸν
καὶ τὸ μανόν. ἤγουν ἀραιόν. ἢ γὰρ οὐσιωδῶς ἐν τοῖς
στοιχείοις, καὶ ἀνάγονται ὑπὸ τὴν οὐσίαν, ἢ ἐπει-
σάκτως, ἐν ἱματίοις, καὶ ἀνάγονται ὑπὸ τὴν
κεῖσθαι κατηγορίαν. ἴδια δέ εἰσι τρία· ἴδια
ἐστὶ τῆς ποιότητος. ἤγουν παρακολουθήματα.
πρῶτον, τὸ ἐναντιότητα ἐπιδέχεσθαι. τὸ γὰρ
θερμὸν, ἐναντίον τῷ ψυχρῷ. καὶ τὸ λευκὸν τῷ
μέλανι. δεύτερον τὸ μᾶλλον καὶ ἧττον. ἐν ᾗ γὰρ
ἐναντιότης ἐστί, καὶ τὸ μᾶλλον καὶ ἧττον εὑρίσκεται.

Qualitates substātiales ad substātiā reducūtur. -/

ἐπάκτως

Propria q̄litatis 3.

Vbi ÷ cōtrarium ibi magis & minus inuenitur

ὕφεσις

Propũ maxime qũtatis simile & dissimile

figura non habet cõtrarium.

Privationes omnes non ee negativas

Nõ omnis species nominantur affirmative

á privativã esse particulam

τὸ δὲ μᾶλλον ἐστὶν ἐπίτασις· τὸ δὲ ἧττον ἐστὶν
ὕφεσις· ἡ δὲ χε τρυοῦν ἐπεὶν τὸ δὲ τὸ εἶδος
μᾶλλον τοῦ δὲ λευκοῦ, καὶ ἧττον ψύχει· τρίτον
παρακολούθημα, τὸ καὶ ἰδιαίτατον τοῦ ποιοῦ,
τὸ ὅμοιον, καὶ ἀνόμοιον· δεῖ δὲ γινώσκειν ὅτι τὸ
σχῆμα, οὐκ ἔχει ἐναντίον· χρὴ γινώσκειν ὅτι οὐ
πᾶσαι αἱ στερήσεις, ἀποφατικῶς λέγονται· ἀλλ'
ἔστι καὶ στερήσεις καταφατικῶς λεγόμεναι· ὥσπερ τυ-
φλότης· καὶ κωφότης· καὶ πάλιν οὐ πᾶν εἶδος
καταφατικῶς ὀνομάζεται, ἀλλὰ καὶ ἀποφατικῶς·
ὥσπερ ἡ ἀκολασία εἶδος ὂν οὐ καταφατικῶς
ἀλλ' ἀποφατικῶς ὠνομάσθη· ἡ γὰρ κατάθεσις,
κατάφασις λέγεται· οἷον, καλός ἐστιν· ἡ δὲ ἄρνησις,
ἀπόφασις· οἷον, οὐκ ἔστι καλός· ὅτι δὲ λέγομεν
ἀνόμοιον, τὸ α ἄρνησιν σημαίνει· ὥσπερ τὸ οὐ· καὶ
λέγεται τὸ δὲ τὸ λευκὸν εἶδος εἶναι τῶν δὲ τῶν
λευκῶν, οὐ καθὸ ποιότης λέγεται ἴσον εἶναι,
ἀλλὰ καθὸ ποσότης· καὶ τὸ εἶναι τὴν ἐπιφάνειαν
ταύτην ἴσην ἐκείνῃ τῇ ἐπιφανείᾳ, ὥσπερ καὶ ἐπὶ τῶν
ποσῶν, τὸ ὅμοιον καὶ ἀνόμοιον θεωρεῖται· οὐ καθὸ

καταφασις
ἀπόφασις
Quid?

[illegible] ut statim apparet

ποσόν· ἀλλ' αὐτὸ μετέχει ποιότητος· —

+ περὶ τοῦ ποιεῖν καὶ πάσχειν· — λε̄

Χρὴ γινώσκειν ὅτι ἡ ποίησις, καὶ ἡ πάθησις ἢ
ἡ ποιητικὴ δύναμις καὶ ἡ παθητικὴ, ὑπὸ τὴν
ποιότητα εἰσί· τὸ δὲ ποιεῖν καὶ πάσχειν, οὐσία
τίς ἐστι· τοιῶσδε ἐνεργεῖν ἢ πάσχειν ἐστὶ ποι-
οῦν ἐστι· τὸ ἐν ἑαυτῷ ἔχειν τὴν ἀρχὴν τῆς ἐνεργεί-
πάσχειν δὲ, τὸ ἐν ἑαυτῷ καὶ ἐν ἄλλῳ, ἔχειν τὴν ἀρχὴν
τοῦ πάσχειν· ὥσπερ ὁ δημιουργὸς καὶ τὸ δὲ δημιουρ-
γημένον· ὁ μὲν γὰρ δημιουργὸς, ἐν ἑαυτῷ ἔχει τὸ
ἀρχὴν· τῆς δημιουργίας· τὸ δὲ δημιουργού-
μενον· ἐν μὲν τῷ δημιουργῷ, τὴν ἀρχὴν τῆς
δημιουργίας· ἐν ἑαυτῷ δὲ τὴν ἐπιτηδειότητα
τῆς παθήσεως· δημιουργοῦ δὲ ἐνταῦθα, τὸν
τεχνίτην λέγομεν· οἷον, τέκτονα· δημιουργού-
μενον δὲ, τὴν ὑποκειμένην τῷ τεχνίτῃ· οἷον,
τὴν ξυλήν· αὕτη γὰρ ὑπόκειται τῷ τέκτονι· ἔστι ξυλήν.
δὲ ποιεῖν καὶ τοῦ πάσχειν, τὰ μὲν, ἁπλῶς λέγονται
ποιεῖν· ὥσπερ ἐπὶ τῶν ποιητικῶν τεχνῶν· οἷον,
τεκτονικῆς· χαλκευτικῆς, καὶ τῶν τοιούτων·

ἐφ᾽ ὧν καὶ μηδὲ τὸ παύσασθαι τοῦ ποιοῦντος,
διαμένει τὸ ποίημα· τοῦ γὰρ οἰκοδόμου παυ-
σαμένου τοῦ οἰκοδομεῖν, διαμένει τὸ οἰκοδο-
μηθέν· τὸ δὲ λέγεται πράττειν· ἐφ᾽ ὧν οὐ δια-
μένει τὸ πραττόμενον παυσαμένου τοῦ πράτ-
τοντος· παυσαμένου γὰρ τοῦ αὐλητοῦ, οὐ δια-
μένει· ἀλλ᾽ ἀπόλλυται ἡ αὔλησις. τὸ δὲ κατὰ τὸ
θεωρεῖν ὡς τὸ ἀριθμεῖν· γεωμετρεῖν·
νοεῖν, καὶ τὰ τοιαῦτα· ἔτι καὶ τὰ θεωρούμενα
ἔνδηλα ἐν τοῖς ἀψύχοις· οἷον, πυρί· λίθῳ· ξύλῳ·
καὶ τοῖς τοιούτοις· τὰ μὲν οὖν πρῶτα, ἐπὶ
τῶν λογικῶν ἐστί· τὰ δὲ ἔσχατα, ἐπὶ τῶν
ἀψύχων καὶ ἀλόγων· οὐ καθὸ γὰρ ἔμψυχον ποιεῖ,
ἀλλὰ καθὸ σῶμα πλησιάζον σώματι· ἴδια
*Propria .2. faciendi & patiendi* δὲ ἔχει δύο· πρῶτον, τὸ ἐπιδέχεσθαι ἐναν-
τιότητα· τὸ γὰρ θερμαίνειν, ἐναντίον ἐστὶ τῷ
ψύχειν· δεύτερον, τὸ μᾶλλον καὶ ἧττον· ἐπιδέχεται
γὰρ μᾶλλον θερμαίνειν καὶ ἧττον ψύχειν· ὁμοίως
καὶ θερμαίνεσθαι καὶ ψύχεσθαι· ἐν πάσαις οὖν ταῖς
*In omnibus prædicamétis inueniri facere & pati* κατηγορίαις, θεωρεῖται τὸ ποιεῖν καὶ τὸ πάσχειν

ἐν μὲν τῇ οὐσίᾳ, τὸ γεννᾶν καὶ γεννᾶσθαι. ἐν
δὲ τῷ ποσῷ, ἀριθμεῖν καὶ ἀριθμεῖσθαι. ἐν
τοῖς πρός τι, διπλασιάζειν καὶ διπλασιάζεσθαι.
ἐν τῇ ποιότητι, λευκαίνειν καὶ λευκαίνεσθαι. ἐν
τῷ κεῖσθαι, καθίζειν καὶ καθίζεσθαι. ἐν τῷ ἔχειν,
φορεῖν καὶ φορεῖσθαι. ἐν τῷ ποῦ, περιέχειν καὶ
περιέχεσθαι. ἐν τῷ ποτέ, ἐν τῷ ἐν ἑκάστῳ τινὶ καὶ
παρεληλυθότι καὶ μέλλοντι χρόνῳ. - περὶ τοῦ κεῖσθαι: -

λξ

Κεῖσθαι ἐστὶ τὸ ἔχειν πως θέσιν πρὸς ἕτερον.
οἷον, τὸ σῶμα, τὸ κείμενον πρός τι τοι-
αύτην θέσιν ἢ πρὸς ἀνάκλισιν καὶ καθέδραν. ἢ στάσιν.
εἴδη δὲ τοῦ κεῖσθαι, τρία. τὸ ἵστασθαι. τὸ κα-
θέζεσθαι. τὸ ἀνακλίνεσθαι. τὸ μὲν τὸ ὀρθὸν εἶναι,
ποιεῖ τὸ ἵστασθαι. τὸ δὲ κατὰ μέρος μὲν κεῖσθαι,
κατὰ μέρος δὲ ἵστασθαι, ποιεῖ τὸ καθῆσθαι.
τὸ δὲ παντελῶς κεῖσθαι, ποιεῖ τὸ ἀνακλί-
νεσθαι. οὐ δηλοῖ δὲ τὸ κεῖσθαι οὐδὲ τὸ κείμενον,
οὐδὲ τὸν τόπον. τῶν δὲ κειμένων, τὰ μὲν, κατὰ
φύσιν κεῖνται. ὡς τὰ στοιχεῖα ἐν τοῖς οἰκείοις
τόποις. οἷον, γῆ. ὕδωρ. ἀὴρ καὶ πῦρ. καὶ τὰ τοιαῦτα.

Species 3. huius praedicamenti.

N.

ισ. ἀνάκλισιν

τὰ δὲ, κατὰ θέσιν· ὡς τέχνην· ὡς ἀνδριὰς κίων, ὡς τὰ τοιαῦτα· λοιπὸν ἐπὶ διαφορᾶς· ἢ λέγονται ὅτι τῶν κειμένων τὰ μὲν ἑστᾶσιν (ἵσταμαι)· ὡς ἡ γῆ· τὰ δὲ, κινούμενα ὡς τὰ οὐράνια σώματα· ἐπὶ τῶν κειμένων, τὰ μὲν δύναμιν κεῖνται· ἤγουν τὰ δυνάμενα μετέρχεσθαι· τὰ δὲ, ἐνεργείᾳ ὡς ὅπερ κεῖνται: - περὶ τοῦ ποῦ:

λη' Τὸ ποῦ, τόπον σημαίνει· ὅθεν τῷ ἐρομένῳ ποῦ ἐστιν ὁ δεῖνα, φαμὲν, ἐν τῷ οἴκῳ· ἐν τῇ πόλει· ταῦτα δὲ τόπον σημαίνουσιν· εἴδη δὲ τῆς τοῦ ποῦ κατηγορίας, κατὰ τὰς ἓξ διαφορὰς τῶν τόπων· ἄνω· κάτω· δεξιά· ἀριστερά· ἔμπροσθεν· ὄπισθεν: - περὶ τοῦ πότε:

*Species ubi.*

λθ' Τὸ πότε, χρόνον δηλοῖ· ὅθεν τῷ ἐρομένῳ πότε ἐγένετο, τόδε, λέγομεν πέρυσι· προπέρυσι· ἅτινα χρόνον σημαίνουσιν· εἴδη δὲ τῆς πότε κατηγορίας εἰσὶ τοσαῦτα, ὅσαι αἱ τοῦ χρόνου διαφοραί· τρεῖς δὲ εἰσὶν αὗται· ἐνεστὼς παρῳχημένος· μέλλων: - περὶ τοῦ ἔχειν: -

*Tempora 3.*

μ' Τὸ ἔχειν μέν ἐστιν, οὐσία· περὶ οὐσίαν· δηλοῖ δὲ τὸ

περιέχειν, ἢ περιέχεσθαι καὶ μὴ εἶναί τι μέρος
τοῦ πράγματος· καὶ περιέχει μὲν χιτὼν· ὅπλα·
καὶ τὰ τοιαῦτα· περιέχεται δὲ δακτύλιος, καὶ
ἄλλο τι ἕτερον τοιοῦτον σωματικόν· δεῖ δὲ καὶ τὸ πε-
-ριέχον μὲν καὶ τὸ περιεχόμενον οὐσίας εἶναι· ἀλλὰ τὸ μὲν,
οὐσίαν ἄλλην· τὸ δὲ, συμβεβηκὸς ὡς ἐπιστήμων·
καὶ ἐπιστήμη, οὐκέτι ὑπὸ τὸ ἔχειν ἀνάγεται.
διαφοραὶ δὲ τοῦ ἔχειν γίνονται, κατὰ τὴν
διαφορὰν τῶν ὄντων· ἢ γὰρ ἐμψύχου ἐστὶν, ἢ
ἀψύχου· καὶ ἐμψύχου μὲν ἔχειν λέγομεν, ὡς παῖδας.
ἵππον· καὶ τὰ τοιαῦτα· ἀψύχου δὲ, ὡς δακτύ-
-λιον· ὑπόδημα, καὶ τὰ τοιαῦτα· λέγεται δὲ
τὸ ἔχειν, καὶ κατὰ πολλὰ ἕτερα ὧν σημαινομένων,
ὁμωνύμως· περὶ ὧν ὕστερον ἐροῦμεν:—

## + περὶ ἀντικειμένων:— μα'

Πᾶν ἀντικείμενον, ἢ ὡς πρᾶγμα ἀντίκειται,
ἢ ὡς λόγος· καὶ τὸ μὲν ὡς λόγος λόγῳ, ποιεῖ κατά-
-φασιν καὶ ἀπόφασιν· κατάφασις μὲν οὖν ἐστι τὸ
λέγειν τι τινὶ ὑπάρχει· οἷον, καλός ἐστιν· ἀπόφασις
δὲ, τὸ λέγειν τι τινὶ οὐχ ὑπάρχει· οἷον, οὐκ ἔστι

κατάφασις
ἀπόφασις

ἀποφάνσεις qd.

καλός. λέγονται δὲ ἀμφότεραι ἀποφάν-
σεις. τὰ δὲ ὡς πράγματα ἀντικείμενα, ἢ ὡς
πρὸς ἀντιστρέφοντα λέγονται, καὶ ποιεῖται
πρός τι· ἅτινα καὶ συνεισάγουσιν ἄλληλα, καὶ
συνεισφθείρουσιν. ἢ οὐ πρὸς ἀντιστρέφοντα,
καὶ οὐκ ἔχουσι σχέσιν. καὶ ταῦτα μεταβάλλει εἰς
ἄλληλα. ὅμως δὲ ἄμφω κατὰ φύσιν ἐστὶ
καὶ ποιεῖται ἐναντία· ὡς ἡ θερμότης καὶ ἡ
ψῦξις. ἢ τὸ μέν, μεταβάλλει εἰς τὸ ἕτερον·
τὸ δὲ ἕτερον, οὐ μεταβάλλει. καὶ τὸ μέν, αὐτῶν ἐστὶ
κατὰ φύσιν, τὸ δέ, παρὰ φύσιν. καὶ ποιεῖ-
ται κατὰ στέρησιν καὶ καθ᾽ ἕξιν ἀντικείμενα·

ἕξις unde dicta

ὡς ὄψις καὶ τυφλότης. ἕξις μὲν ἐστὶν
ἡ ὄψις· ὡς ἐκ τοῦ ἔχειν. στέρησις δὲ τῆς
ἕξεως ἤγουν τῆς ὁράσεως, ἡ τυφλότης.

Contrariorum quædā mediata, quædā immediata

τῶν δὲ ἐναντίων, τὰ μὲν ἐστὶν ἄμεσα· τὰ
δέ, ἔμμεσα. ἄμεσα μὲν οὖν εἰσίν, ὧν ἀναγ-
καῖον τὸ ἕτερον· ἤγουν τὸ ἓν ὑπάρχειν τοῖς
ὑποκειμένοις αὐτοῖς· ἢ τούτοις, ὧν κατηγο-
ροῦνται. οἷον, νόσος καὶ ὑγίεια ἐν σώματι

ζώου ὑποκειμένω· καὶ ἀνάγκη πάντα ἓν τῷ σώ-
ματι ἢ νόσον εἶναι, ἢ ὑγείαν· νόσον δὲ φαμὲν,
πᾶσαν τὴν παρατροπὴν τῆς φύσεως. ἔμμεσα
δέ, ὧν οὐκ ἀνάγκη τὸ ἕτερον ὑπάρχειν τῷ ὑπο-
κειμένω ἢ τούτοις ὧν κατηγορεῖται. ὡς τὸ
λευκὸν καὶ τὸ μέλαν· ἐναντία γάρ ἐστι· καὶ οὐ πᾶν
ἀνάγκη ἓν ἐξ αὐτῶν ὑπάρχειν τῷ σώματι·
οὐ γὰρ ἀνάγκη πᾶν σῶμα ἢ λευκὸν εἶναι ἢ μέλαν·
ἔστι γὰρ σώματα φαιὰ καὶ πυρρά· καὶ μὴν ἄλλα
τὸ ἓν τῶν ἀντικειμένων, ἀφωρισμένως
φύσει ὑπάρχει τινί· ὡς ἡ θερμότης τῷ πυρί·
καὶ ἡ ψύξις, τῇ χιόνι· τῶν μέσων ἐμμέσων,
ταῦτα μὲν ἔχουσιν ὀνόματα· ὡς τὸ μέσον
τοῦ λευκοῦ καὶ τοῦ μέλανος, λέγεται φαιόν· τὰ δὲ
οὐκ ἔχουσιν ὀνόματα. τὸ μέσον τοῦ δικαίου
καὶ τοῦ ἀδίκου, οὐκ ἔχει ὄνομα· ἀλλὰ τῇ ἀποφάσει
τοῦ ἑκατέρου, τὸ ἀνὰ μέσον γνωρίζεται. οἷον,
οὐδὲ δίκαιον· οὐδὲ ἄδικον· ἀκολουθοῦσι δὲ τοῖς
ἐναντίοις ἰδιώματα τέσσαρα· πρῶτον μὲν ὅτι τῶν
μὲν ἀγαθῶν, ἐξ ἀνάγκης ἐναντίον τὸ κακόν· τῶν δὲ

Proprietates 4 contrariorum.

∴ ff. 7a

A puto desideravi πρὸς

κακῷ, ποτὲ μὲν ἀγαθόν· ποτὲ δὲ ἄλλο
κακόν· τῇ μὲν τῇ σωφροσύνῃ, ἐναντίον
ἡ ἀκολασία· τῇ δὲ ἀκολασίᾳ, ποτὲ μὲν
σωφροσύνη· ποτὲ δὲ ἠλιθιότης. ἠλιθι-
ἠλιθιότης quid? ότης δὲ ἐστί, τὸ μὴ κινεῖσθαι. μηδὲ ἐγείρεσθαι
τὰ πάθη· ἡ μὲν οὖν ἀκολασία, ἔλλειψίς
ἐστι τῆς σωφροσύνης· ἡ δὲ ἠλιθιότης,
ὑπερβολή· ἐναντία δὲ ἡ ὑπερβολὴ τῇ ἐλ-
2 λείψει· δεύτερον ὅτι ἀδύνατον ἅμα τὰ
ἐναντία ἐπὶ τῶν αὐτῶν εἶναι κατὰ τὸ
αὐτό· οὐκ ἐνδέχεται γὰρ Σωκράτην ὑγι-
αίνειν τε νοσεῖν ἢ κατὰ τὸ αὐτὸ μέλαν θερμαί-
νεσθαι ἅμα τε ψύχεσθαι. τρίτον ὅτι τὰ ἐναν-
3 τία ἐν τῷ αὐτῷ ὑποκειμένῳ, ἢ γένει ἢ εἴδει
ἢ ἀριθμῷ. γένει μὲν, ὡς ἁπλῶς σώματι, τὸ
λευκόν τε τὸ μέλαν· εἴδει δέ, ὡς ἐν σώματι
ζώου, ὑγεία τε νόσος· ἀριθμῷ δὲ δῆλον· τὸ
ἐν αὐτῷ σώματι, τῶν ἐναντίων εἶναι δεκ-
τικὸν ἐνδέχεται, κατὰ τὴν ἑαυτοῦ μεταβολήν·
4 τέταρτον, ὅτι τὰ ἐναντία· ἢ ὑπὸ τὸ αὐτὸ

δεκτικὸς ὡς τὸ λευκὸν καὶ τὸ μέλαν· ὑπὸ τὸ
χρῶμα· ἢ ὑπὸ τὰ ἐναντία γένη· ὡς δικαι-
-οσύνη καὶ ἀδικία· ὑπὸ τὸ ἀγαθὸν καὶ τὸ κακόν·
αὐτὰ γὰρ καὶ ἐναντία εἰσίν· ἢ αὐτὰ τὰ ἐναντία
γένη ἐστίν· ὡς τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐναντία
γένη ὄντα:— περὶ ἕξεως καὶ στερήσεως:— ι

Ἕξις λέγεται, ἡ ἐνέργεια τοῦ ἐχομένου καὶ τοῦ ἔχοντος·
ὡς τοῦ ὅπλου καὶ τοῦ ὡπλισμένου· ἢ γοῦν
τοῦ ἐνδύοντος καὶ τοῦ ἐνδυομένου. δεύτερον 2
αἱ ἐπείσακτοι ἐνέργειαι, μόνιμοι οὖσαι· ἤτε
φυσικαί, ἤτε ψυχικαί· φυσικαὶ μέν, ὡς ἡ θερμότης
ἐν τοῖς θερμαινομένοις· ψυχικαὶ δέ, ὡς ἡ ἐπι-
-στήμη. τρίτον, ὃ περιέπωμεν ἔχει· ἔχει δὲ 3
ἐπιτηδειότητα τοῦ δέξασθαι· ὃ παρὰ τοῦ πρώτου
σημαινόμενον τοῦ διὰ ἀμφοῖν. τέταρτον ἡ φυσικὴ 4
ποιότης· ἢ γοῦν φυσικὴ ἕξις· ὡς ἡ θερμότης
τοῦ πυρὸς καὶ τοῦ καθεύδειν τὸ ἡ ὄψις· ὃ παρὰ
τοῦ δευτέρου σημαινόμενον τοῦ διὰ ἀμφοῖν· δύ-
-ναται γὰρ καθ' ἕν· ἐνέργειαν δέ, οὐ καθ' ἕν. προσέτι
δὲ σημαινόμενον, τοῦ ἐνεργείας πέμπτον· 5

ἐπείσακτοι ἐνέργειαι δ.ιη

ὡς ἡ τελικὴ ὠφέλεια· ὡς ἡ ὅρασις· ἡ ἤδη
ὁρῶσα· ἐφαρμότης ἡ ἤδη ἐφαρμοζομένη·
Privatio στέρησις δέ, ἡ τῆς ἕξεως ἀπουσία· ἀντικεῖται
οὖν τῷ μὲν πρώτῳ συνημμένῳ τῆς ἕξεως,
1 ἡ στέρησις τοῦ ὅπλου· ἤγουν τοῦ ὠφελήματος.
2 τῷ δὲ δευτέρῳ, ἡ ἀποβολὴ τῶν ἐπεισα-
κτῶν ἕξεων· ὅτε τὸ θερμανθὲν καταψυ-
3 χρανθῇ· τῷ τρίτῳ ὅπερ οὐδὲ ὅλως πέφυκε
ἔχειν τὸ γένος, ὡς λέγομεν ἔχειν ἐπιτη-
δειότητα, τὸ νέφος πρὸς μουσικήν· τὴν
δὲ μουσικὴν οὐδαμῶς· ἐστέρηται οὖν ἡ μουσικῆς,
ἐπειδὴ τὸ γένος τῶν φυτῶν, οὐκ ἔχει ἐπι-
τηδειότητα δέξασθαι μουσικήν· ὥσπερ
τὸ μὲν γένος, ἔχει ἐπιτηδειότητα· τὸ δὲ
τῶν εἰδῶν, οὐκ ἔχει· τὸ ζῶον ἔχει ἐπιτη-
δειότητα τοῦ ὁρᾶν· ὁ δὲ ἀσπάλαξ εἶδος ὂν
τοῦ ζώου, οὐκ ἔχει ἐπιτηδειότητα τοῦ ὁρᾶν·
4 τῷ δὲ τετάρτῳ, ἡ ἀποβολὴ τῆς ἰδίως ἀμέσου
τῆς καθ᾽ ἕξιν· τῷ δὲ πέμπτῳ, ἡ ἀποβολὴ
5 τῆς τελικῆς ὠφελείας· ὅπερ ἀμφοτέρων.

ἔρηκε· τὴν κατὰ στέρησιν καὶ ἕξιν τῶν ἀντι-
κειμένων, ἀντίθεσιν ἤγουν τῆς δυνάμεως·
ἤτε τῆς ποιητικῆς ἤτε τῆς παθητικῆς·
Ταύτην δὲ χαρακτηρίζεται τοῖς τρισὶ τούτοις· 1
ὃ πέφυκεν ἔχειν· οὐδ' ὅλως δὲ ἔχει·
ἀλλὰ τελείως ἐστέρηται· καὶ ὅτι πέφυκεν ἔχειν
ἕξιν ὁράσεως· οὐδὲ γὰρ ἀρτιγέννητα κυνάρια
λέγομεν τυφλούς· οὐδὲ τὸ ἀρτιγέννητον βρέφος
νωδόν· ἐπειδὴ οὐ πεφύκασι κατ' ἐκεῖνον
τὸν καιρὸν ἔχειν· οὐδὲ γὰρ τὸν πόδα λέγομεν τυφλόν·
οὐ γὰρ πέφυκε τὸ ζῶον ἐν τῷ ποδὶ ἔχειν τὴν
ἕξιν τῆς ὁράσεως· ὁπότε οὖν κατὰ ταῦτα τὰ τρία
ταῦτα πέφυκεν ἔχειν καὶ μὴ ἔχει, λέγεται
στέρησις·—

## Περὶ προτέρου καὶ ὑστέρου·

κγ̃

Τὸ δὲ πρότερον, διαιρεῖται εἰς τέσσαρα σημαι-
νόμενα· καὶ κυριώτατον μέν ἐστι, τὸ τῷ χρόνῳ Prius 4 modis dici
πρότερον. λέγεται δὲ κυριώτατα ἐπὶ μὲν ἐμψύχων,
τὸ πρεσβύτερον· ἐπὶ δὲ τῶν ἀψύχων, τὸ πα- 1
λαιότερον· καταχρηστικῶς δὲ καὶ ἀπὸ τῶν ἄλ-
λων λαμβάνεται. Δεύτερον δὲ, τὸ φύσει πρότερον 2

πρεσβύτερον
παλαιότερον > Dᵃ

g. m.

ὅπερ συνεισφέρεται μὲν, οὐ συνεισφέρει δέ·
καὶ συναναιρεῖ καὶ οὐ συναναιρεῖται· οἷον, τὸ
ζῷον, πρότερον τοῦ ἀνθρώπου· ζῴου γὰρ μὴ ὄντος,
οὐδὲ ἄνθρωπος ἔσται· ζῷον γὰρ ὁ ἄνθρωπος· ἀνθρώπου δὲ μὴ
ὄντος, ἔσται ζῷον· καὶ ὁ ἵππος γὰρ καὶ ὁ κύων, ζῶα
ἐστί· καὶ ἀνθρώπου ὄντος, πάντως ἔσται ζῷον· ζῷον
γὰρ ὁ ἄνθρωπος· ζῴου δὲ ὄντος, οὐ πάντως ἄνθρωπος·
ἀλλ' ἴσως ἵππος· ἢ κύων· καὶ τὰ τοιαῦτα· καὶ
ταῦτα μὲν, περὶ τοῦ δευτέρου· τρίτον, τὸ
3 κατὰ τάξιν· ὅπερ φαμὲν πρῶτον τὸ ἄλφα·
δεύτερον τὸ βῆτα· ἤτοι αἱ συλλαβαὶ ἤτοι τὰ
αὐτὰ ψῆφοι· τέταρτον, τὸ κατὰ ἀξίαν· ὡς
4 φαμὲν πρῶτον τὸν ἐπίσκοπον· εἶτα πρεσβύτερον·
ἐκ καλλονῆς δὲ τοῦτον τὸν τρόπον τιμῶσι·
ὃ δὲ ἔχεται γὰρ τοῦ πέμπτου κατὰ τάξιν, ὕ-
5 στερον εἶναι κατ' ἀξίαν· πέμπτον, ὡς φαμὲν
τὸ αἴτιον· καὶ τὸ αἰτιατόν· ὡς ὁ σωκράτης
πρότερος τῆς ἰδίας εἰκόνος αὐτοῦ· καὶ ὁ πατὴρ
πρότερος καὶ μείζων τοῦ υἱοῦ· ὅτι γὰρ πατήρ ἐστιν
αἴτιος τοῦ υἱοῦ· καὶ ἐκ τοῦ πατρός, υἱὸς γίνεται·

διὸ καὶ ὁ μακάριος Γρηγόριος. κατὰ τοῦτο τὸ Gregori9
σημαινόμενον, ἔλαβε τὸ ὑπὸ τοῦ κυρίου ἡμῶν
ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ῥηθὲν, ὁ πατήρ μου
μείζων μού ἐστιν· ἄλλοι δὲ προστιθέασι τὸ κατ' ἐπί- 6.
νοιαν· ὡς πρότερον ὁ θεμέλιος τοῦ τοίχου·
τοῦτο δὲ ἀνάγεται ὑπὸ τὸν τέταρτον τρόπον
τὸν κατ' ἀξίαν· τὸ δὲ κατ' ἐπίνοιαν πρότερον,
τούτῳ τῷ πράγματι ὕστερον· ὁσαχῶς δὲ
τὸ πρότερον, τοσαυταχῶς καὶ τὸ ὕστερον·
καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐκ εἰσὶ τῶν ὁμω-
νύμων, ἀλλὰ τῶν ἀφ' ἑνός:— περὶ τοῦ ἅμα:·

μα

Τὸ ἅμα δὲ λέγεται, κυρίως μὲν, ὧν ἡ γένεσις ἐν 1
τῷ αὐτῷ αὐτοῦ χρόνῳ· οἷον, δύο τινὲς ἐτέ-
χθησαν ἐν τῇ αὐτῇ ῥοπῇ· οὗτος ὁ τρόπος, ἀντί-
κειται τῷ πρώτῳ τρόπῳ τοῦ σημαινομένου
τοῦ προτέρου· δεύτερον δὲ σημαινόμενον, 2
τοῦ ἅμα, τὰ ἀλλήλοις συνυπάρχοντα· καὶ μηδέτερον
ἑτέρου ἑτέρου ἢ αἴτιον, ἢ αἰτιατόν· ὡς τὸ δι-
πλάσιον, καὶ τὸ ἥμισυ· ἅμα γὰρ συνυπάρχουσι
καὶ συναναιροῦσιν ἀλλήλοις, καὶ συνεισφέρουσιν·

οὗτος δὲ ὁ τρόπος ἀντίκειται τῷ δευτέρῳ,
καὶ πέμπτῳ τρόπῳ τοῦ προτέρου· ἡ μὲν
γὰρ τῷ δευτέρῳ οὐ συνεισάγουσιν· οὐδὲ
συναναιροῦσιν ἀλλήλα· ἡ δὲ τῷ πέμπτῳ,
3 τὸ μὲν, ἦν αἴτιον· τὸ δὲ, αἰτιατόν· τρίτον
σημαινόμενον τῶν ἅμα· τὰ ἀντιδιῃρημένα
ἅμα· ἀντιδιῃρημένα δὲ ἅμα λέγεται· τὰ
ἀντιδιῃρημένα ἅμα· ἐκ τῆς αὐτῆς διαιρέσεως κατενεχθέντα·
οἷον, τὸ λογικὸν καὶ τὸ ἄλογον, ἐκ τοῦ ζώου.
οὗτος δὲ ὁ τρόπος ἀντίκειται, τῷ πρώτῳ,
καὶ τῷ δευτέρῳ· σχεδὸν τοῖς ἄλλοις τρισίν:—

+ περὶ κινήσεως :—

λε Κίνησίς ἐστιν, ἡ ἐντελέχεια τοῦ δυνάμει καθὸ
ἐντελέχεια τοιοῦτόν ἐστιν· οἷον, ὁ χαλκὸς δυνάμει ἐστὶν
ἀνδριάς· δυνάμει γὰρ ὁ χαλκὸς ἀπολαμβάνει
τὸ εἶδος, τοῦ ἀνδριάντος· ἡ δὲ ἐντελέχεια
οὖν ἐστι τοῦ χαλκοῦ τοῦ δυνάμει ὄντος τοῦ
ἀνδριάντος· τὸ διαλύεσθαι· τὸ διαπλάτ-
τεσθαι· τὸ ξέεσθαι· αὗται εἰσὶ κινήσεις.
ἡ ὅσας οὖν κατηγορίας θεωρεῖται τὸ

δύναμις, ἐν τοσαύταις θεωρηθήσεται καὶ ἡ κί-
νησις· ἐν ὅσαις δὲ οὐ θεωρεῖται τὸ δυνάμει, *In quibus categoriis*
οὐδὲ ἡ κίνησις θεωρηθήσεται· θεωρεῖται *consideretur*
οὖν ἐν τῇ οὐσίᾳ, ἐν τῷ ποσῷ, ἐν τῷ ποιῷ, ἐν τῇ *motus*
τοῦ κατηγορίαις· ἐν μὲν τῇ οὐσίᾳ, γένεσις καὶ
φθορά· ἐν δὲ τῷ ποιῷ, ἀλλοίωσις· ἐν δὲ
τῇ ποῦ, τὸ κύκλῳ φερόμενον· ὅπερ καλεῖται
περιφορά· καὶ τὸ ἐπ' εὐθείας κινούμενον,
ὅπερ λέγεται ἐπ' εὐθείας κίνησις· τῆς *ἐπ' εὐθείας*
δὲ ἐπ' εὐθείας κινήσεως, διαφοραί εἰσιν ἕξ· *κίνησις*
τὸ ἄνω· τὸ κάτω· τὸ ἔσω· τὸ ἔξω· τὸ
δεξιά· τὸ ἀριστερά· διὸ μία ἡ τῆς περιφορᾶς,
ἐπεὶ τοπικαὶ κινήσεις εἰσὶ παρὰ τὸ μὴ ἀπαλ- *Differentiae motus*
λόμενον, ἢ καθ' ἑαυτὸ μὴ ἀπαλλάττεται, ἢ κατά τι *localis*
τῶν περὶ αὐτό· καὶ εἰ μὲν καθ' ἑαυτό, ποιεῖ γένεσιν
καὶ φθοράν· εἰ δὲ κατά τι τῶν ἐν αὐτῷ, ἢ κατὰ
τὸ ποσόν, καὶ ποιεῖ αὔξησιν καὶ μείωσιν· ἢ κατὰ
τὸ ποιόν καὶ ποιεῖ ἀλλοίωσιν· εἰ δὲ κατὰ τὸ περὶ
αὐτό, ποιεῖ τὴν κατὰ τόπον μὴ ἀπαλλαγήν· ὅτι τόπος,
ἐν ᾧ αὐτὸ ἐστι τὸ κινούμενον, οὔτε τι τῶν ἐν αὐτῷ,

ἀλλὰ τοῖς κινουμένοις παρέπεται. ἐπεὶ
Generatio τὰ κινούμενα, ἕξ ἐστι· ἀφορίζει δὲ γένεσιν
Corruptio καὶ φθοράν. γένεσις μέν ἐστιν, ἡ ἀπὸ τοῦ μὴ
ὄντος εἰς τὸ εἶναι πρόοδος. ὅπερ γάρ, οὐκ
ἦν πρότερον, τοῦτο γίνεται. ἡ δὲ φθορά, τὸ
ἀνάπαλιν. ἀπὸ τοῦ ὄντος ἐπὶ τὸ μὴ εἶναι με
Augmenta- ταβολήν. αὔξησις καὶ μείωσις. αὔξησις μὲν
tio ἐστίν, ἡ ἐπὶ τὸ μεῖζον κίνησις· μείωσις δέ,
Diminutio ἡ ἐπὶ τὸ ἔλαττον. ἐν δὲ τῇ ἀλλοιώσει πάλιν,
Alteratio τὰ ἀντικείμενα πάθη. θερμότης. ψύξις.
τὸ λευκόν. τὸ μέλαν. ἀντίκειται τοίνυν
τῇ μὲν γενέσει, φθορά. τῇ δὲ αὐξήσει, μείωσις.
τῇ δὲ ἀλλοιώσει, τὸ ἀντικείμενον καὶ ἡ ἠρε
Quies oppo- μία. ἀντικείμενον μέν, θερμάνσει, ψύξις.
nitur ἠρεμία δέ, ὅταν λάβῃ πέρας τὸ θερμαινό
μενον. καὶ ἔλθῃ ἐπὶ τὴν ἄκραν θερμότητα,
ἠρεμᾷ καὶ παύεται τοῦ θερμαίνεσθαι. οὕτω
καὶ τῇ κατὰ τόπον μεταβολῇ, καὶ ἡ ἐναντία κίνησις
ἀντίκειται καὶ ἡ ἠρεμία. ἐναντία μέν, ὥσπερ ἡ ἄνω
κίνησις τῇ κάτω. ἠρεμία δέ, ἐὰν μὲν ἄλλον

ἑστήκει πῶς ἐπὶ τοῦ ἄνω· οὐ πρότερον δὲ ἐπὶ τοῦ
κάτω κινηθήσεται, πρὶν ἠρεμίαν πῶς γένηται. Punctū reflexionis
τῇ δὲ οὐρανίᾳ κινήσει, οὐκ ἔστιν ἐναντία κίνησις.
δοκεῖ δὲ ἡ ἀλλοίωσις, παρέπεσθαι ταῖς λοιπαῖς
κινήσεσι· καὶ γὰρ καὶ τὸ γινόμενον καὶ τὸ φθειρόμενον
καὶ τὸ αὐξανόμενον· καὶ τὸ μειούμενον· καὶ τὸ κινού- De Alteratione pulchre
μενον κατὰ τόπον, πάντως ἀλλοιοῦται· ἐπὶ δὲ
τῶν λοιπῶν φυσικῶν κινήσεων· εἰ καὶ εὑρίσκομεν
παρεπομένην τὴν ἀλλοίωσιν, ταῖς λοιπαῖς
κινήσεσιν, ὅμως ἐνδέχεται ἀλλοιοῦσθαι μέν,
μὴ μέντοι κινεῖσθαι καθ' ἑτέραν κίνησιν,
ὡς ἐπὶ λίθου· οὔτε γὰρ θερμαίνεται καὶ ψύχεται.
καὶ οὔτε αὔξει, οὔτε γίνεται· καὶ ἐπὶ τῶν λοιπῶν
ὁμοίως. ὥσπερ οὖν καὶ παρέπεται ἡ ἀλλοίωσις
ταῖς λοιπαῖς κινήσεσιν, ὅμως ἐνδέχεται αὐτὴν
καθ' ἑαυτὴν θεωρεῖσθαι. ὅθεν καὶ ὁμολογεῖ ταῦτα
τὸ γ΄ ἀφορ· κίνησιν δὲ λέγει ὁ ἀριστοτέλης, Aristoteles
καὶ μεταβολήν· ἐν τῷ πέμπτῳ λόγῳ, τῆς
φυσικῆς ἀκροάσεως ἀπέδειξεν, ὅτι γένεσις καὶ
φθοραί, μεταβολαὶ μὲν εἰσί, κινήσεις δέ, οὐκ εἰσί.

Motus serua-tare fit

διό τι ἡ κίνησις, σωζομένου τοῦ πράγματος γίνεται· ἡ δὲ τῇ ἀλλοιώσει καὶ τῇ κατὰ τόπον μεταβολῇ· ἔοικε μὲν δύο ἐναντία εἶναι· τήν τε ἐναντίαν κίνησιν καὶ τὴν ἠρεμίαν· ἰστέον ὡς οὐ καθ᾽ ἑαυτὸν κατ᾽ ἄλλο καὶ ἄλλο δ᾽ ἴσως εἶναι ἐναντία· ἠρεμία μὲν γάρ, ὡς λῆξις καὶ στέρησις· ἡ δὲ ἀντικειμένη κίνησις ὡς θερμαίνεσθαι ψύξις: —

ἔχ

περὶ τοῦ ἔχειν

Τὸ ἔχειν κατὰ ὀκτὼ τρόπους λέγεται· ἢ γὰρ ὡς ἕξιν καὶ διάθεσιν· ἢ ἄλλην ποιότητα· λεγόμεθα ἔχειν· ἐπιστήμην καὶ ἀρετήν· ἢ ὡς ποσόν· λέγεται γὰρ τρίπηχυ μέγεθος ἔχειν τὸ ξύλον· ἢ ὡς οὐσίαν, περὶ οὐσίαν· ὃ περὶ τὸ γενικώτατον γένος· τοῦτο δέ, ἢ περὶ ὅλον τὸ σῶμα ὡς χιτών, ἢ περὶ τὸ μέρος ὡς δακτύλιος· ἢ ὡς μέρος ἐν ὅλῳ, λεγόμεθα γὰρ ἔχειν χεῖρα· ἢ ὡς ἐν ἀγγείῳ· ὡς λέγομεν οἶνον ἔχειν τὸ κεράμιον· ἢ ὡς κτῆμα· λεγόμεθα γὰρ οἰκίαν ἔχειν ἢ ἀγρόν· λεγόμεθα δὲ καὶ γυναῖκα ἔχειν· καὶ ἡ γυνὴ ἄνδρα ἔχειν· ἔοικε δὲ οὗτος ὁ τρόπος, ἀλλότριος εἶναι τοῦ ἔχειν· ἐπειδὴ ἀντι-

στρέφει· οὐδὲν γὰρ μᾶλλον σημαίνει, ἔχειν τὸν
ἄνδρα γυναῖκα, ἢ τὴν γυναῖκα ἄνδρα· οὐδὲ
τὸ ἕτερον ἑτέρου ἐπικρατεῖ· ἄλλοι ἴσως καὶ ἄλλας
ἀφορῶσι· ἡ δὲ καὶ ὁ κτήτωρ ἔχει κτῆμα· καὶ τὸ
κτῆμα κτήτορα, καὶ ἀντιστρέφει, ἀλλ' οὐχ ὡς ἀνὴρ
γυναῖκα καὶ γυνὴ ἄνδρα· ὁ γὰρ κτήτωρ αὐτοκρατὴς
καὶ κύριος ὢν ταυτόν ἐστι τοῦ κτήματος· καὶ διὰ τοῦτο
μᾶλλον ὁ μὲν κτήτωρ ἔχειν λέγεται· τὸ δὲ κτῆμα,
ἔχεσθαι. δῆλον δὲ ὅτι τὸ ἔχειν, τῶν ὁμωνύμων
ἐστί· τινὲς δὲ τὰς αὐτὰς διαφορὰς λέγουσι τοῦ ἔχειν,
ὅσας καὶ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν· ὥσπερ γὰρ τὰ
ποιοῦντα καὶ τὰ πάσχοντα, ἢ ἔμψυχα ἐστὶν
ἢ ἄψυχα, οὕτω καὶ ἐνταῦθα, ἢ ἐμψύχου ἐστὶ τὸ
ἔχον καὶ τὸ ἐχόμενον, ἢ ἀψύχου· πῶς οὖν τῶν
διαφόρων γενῶν, αἱ αὐταὶ διαφοραὶ ἔσονται,
ἀλλ' ἔστιν εἰπεῖν ὅτι τὸ ἔχον, ἢ περὶ ὅλον τὸ
σῶμά ἐστιν, ἢ περὶ μέρος· καὶ πάλιν τούτου καὶ
ἀμφοτέρου ἐστὶν, ἢ κόσμος :

\+ περὶ ἀποφάσεως καὶ καταφάσεως:- ιζ

Χρὴ γινώσκειν ὅτι ἡ κατάφασις καὶ ἡ ἀπόφασις,

ἀπόφανσις λέγεται. κατάφασις μὲν οὖν
ἐστὶν, ἡ σημαίνουσα τί τινὶ ὑπάρχει. τουτέστι
τί ὑπάρχει τινός. οἷον, σωκράτης φιλοσοφεῖ.
σωκράτης περιπατεῖ. ἀπόφασις δὲ, ἡ δη-
λοῦσα τὸ μὴ ὑπάρχον τινί. ἤγουν τὸ οὐκ ἔστι τι.
οἷον ὁ δεῖνα οὐκ ἔστι σοφός. ὁ δεῖνα οὐ περιπατεῖ.
ἐπειδὴ δὲ πάσῃ καταφάσει ἀντίκειται ἡ ἀ-
πόφασις. καὶ πάσῃ ἀποφάσει κατάφασις.
ἡ ἀπόφασις ἡ ἀντικειμένη τῇ καταφάσει
καὶ ἡ κατάφασις ἡ ἀντικειμένη τῇ ἀποφάσει,
ἀντίφασις λέγεται. ἀνάγκη δὲ, τὴν μὲν ψεύ-
δεσθαι, καὶ τὴν ἄλλην ἀληθεύειν:

+ περὶ ὅρου καὶ προτάσεως καὶ συλλογισμοῦ:

μη' Χρὴ γινώσκειν ὅτι σκοπὸν ἔχει ἡ λογικὴ πραγ-
ματεία περὶ τῆς ἀποδείξεως. ἡ δὲ ἀπόδει-
ξις, συλλογισμός ἐστιν. ὁ δὲ συλλογισμὸς, σύγκειται
ἐκ δύο ἀληθῶν προτάσεων. καὶ τοῦ συμπεράσ-
ματος. οἷον, θέλω ἀποδεῖξαι ὅτι ἡ ψυχὴ ἀ-
θάνατός ἐστι. λέγω, πᾶν ἀεικίνητον, ἀ-
θάνατόν ἐστιν· αὕτη πρότασίς ἐστιν· ἑτέρα λέγω

καὶ δευτέραν πρότασιν· ἡ ψυχὴ ἀεικίνητός ἐστι·
εἶτα τὸ συμπέρασμα· ἡ ψυχὴ ἄρα ἀθάνατός
ἐστι· ἑκάστη δὲ πρότασις, ἐξ ὅρων συγκεῖται·
ἑκάστη γὰρ λέξις, τῆς προτάσεως, ὅρος λέγεται·
ὅρος γάρ ἐστιν, εἰς ὃν ἀναλύεται ἡ πρότασις·
οἷον, ἡ πρότασις λέγει πᾶν ἀεικίνητον ἀθά-
νατόν ἐστι· τὸ πᾶν, ὅρος λέγεται· ὡς μέρος
προτάσεως· καὶ τὸ ἀεικίνητον, ὁμοίως ὅρος λέγεται·
χρὴ γινώσκειν ὅτι δεῖ τὰς προτάσεις, ἀληθεῖς
εἶναι· καὶ τὰ συμπεράσματα, ἀκολουθεῖν
ταῖς προτάσεσιν· εἰ δὲ εὑρεθῇ ἡ μία τῶν
προτάσεων ψευδής, τὸ συμπέρασμα
παραλογισμός ἐστι καὶ οὐ συλλογισμός· ἔστι δὲ ἁπλῆ
φωνή· ὄνομα· ῥῆμα· φάσις· ὅρος· ταῦτα τῇ
πτώσει, κατὰ μὲν τὸ ὑποκείμενον, οὐδ᾽ ἀλλήλων
διαφέρουσι· μόνον δὲ κατὰ τὴν σχέσιν αὐτῶν ἐστιν
ἡ διαφορά· οἷον, ἄνθρωπος· ὡς μὲν ἁπλῶς σημαῖνόν
τι, λέγεται ἁπλῆ φωνή· ὡς δὲ ὑποκείμενον,
λέγεται ὄνομα· ὡς δὲ τάξιν ἐπέχον κατηγο-
ρουμένου, λέγεται ῥῆμα· ὡς δὲ μέρος κατα-

Oportet utraq: ppositionẽ ẽe uerã alias, paralogism) esset.

Cõclusionẽ appellat syllogismũ uel paralogismũ.

ἁπλῆ φωνή
ὄνομα
ῥῆμα
φάσις
ὅρος
Idem

h. 1.

φάσεως ἢ ἀποφάσεως, λέγεται φάσις. ὡς
δὲ μέρος προτάσεως καὶ συλλογισμοῦ, λέγεται
ὅρος. χρὴ δὲ γινώσκειν ὅτι ἐν τῇ προτάσει, ἤτοι
τῇ ἀποφάσει καὶ καταφάσει, τὸ μὲν ὑποκείμενον,
ὄνομα λέγεται. τὸ δὲ κατηγορούμενον, λέγεται
ῥῆμα. οἷον κατάφασίς ἐστιν ἄνθρωπος περιπατεῖ.
τὸ ἄνθρωπος, ὑποκείμενόν ἐστι καὶ λέγεται ὄνομα.
τὸ δὲ περιπατεῖ, τάξιν ἐπέχει κατηγο-
ρουμένου, καὶ λέγεται ῥῆμα. σωκράτης,
καλός ἐστι. τὸ σωκράτης, ὑποκείμενόν ἐστι
καὶ λέγεται ὄνομα. τὸ καλός ἐστι, τάξιν ἐπέχει
κατηγορουμένου, καὶ λέγεται ῥῆμα. ὡς μέρος
καταφάσεως, ἐπεὶ παρὰ τοῖς γραμματικοῖς οἷον
ὄνομα λέγεται τὸ καλός, καὶ ἁπλῶς ᾧ τινι ἀ-
κολουθεῖ τὸ ἐστὶ ῥῆμα, ἐστὶν. ἰστέον ὅτι τὰ
πέντε ταῦτα, οὐ δὴ ἀλλήλων διενήνοχεν,
ἀπόφανσις. πρότασις. πρόβλημα. ἔνστασις.
συμπέρασμα. ὅταν γὰρ τὸ ἁπλῶς ἀποφαινόμεθα
ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι, ἀπόφανσις λέγεται.
ὅτε δὲ ὡς μέρος συλλογισμοῦ ληφθῇ,

Propositio cõ stat ex sub iecto & præ dicato. quorum subiectũ dr nomẽ. prædicatũ autem uerbũ

Pulcher est prædicati uicẽ habet

ἀπόφανσις
πρότασις
πρόβλημα
ἔνστασις
συμπέρασμα
Idẽ

τό τε πρότασίς ἐστι τὸ λέγειν ἡ ψυχὴ ἀθανά-
νατός ἐστι· ἡνίκα δὲ τις ἐνστῇ αὐτῇ πρὸς τὴν γ'
πρότασιν λέγων· πόθεν δῆλον ὅτι ἡ ψυχὴ ενστασις
ἀθάνατός ἐστι· τό τε τὸ τοιοῦτον, ἔνστασις προ- qd?
σαγορεύεται· ἡνίκα δὲ πάλιν προτείνομεν
πρὸς ζήτησιν, ἆρα γε ἡ ψυχὴ ἀθάνατός ἐστι, κα-
λεῖται πρόβλημα· ὅτε δὲ ἐκ προτάσεων συνα- Problema
χθῇ, καλεῖται συμπέρασμα· οἷον ἡ ψυχὴ, ἀει- qd
κίνητός ἐστι· τὸ ἀεικίνητον ἀθάνατον· ἐκ
τῶν προτάσεων τούτων συνάγεται, ἄρα ἡ ψυχὴ
ἀθάνατός ἐστι· τοῦτό ἐστι συμπέρασμα·
πρότασίς ἐστι, λόγος ἀποφαντικὸς, τινὸς Propositio
ἀπό τινος· ὅπερ ἐστὶν ἀπόφασις· ὡς τὸ σω- qd
κράτης οὐ γελᾷ· ἢ τινὸς κατά τινος· ὅπερ ἐστὶ
κατάφασις· ὡς τὸ σωκράτης γελᾷ· ὅρος ἐστὶν η
εἰς ὃν ἀναλύεται ἡ πρότασις· συλλογισμός ἐστι Syllogism
λόγος· ἐν ᾧ τεθέντων τινῶν ἢ γοῦν ὁμολογηθέντων,
ἕτερόν τι ἐξ ἀνάγκης τῶν κειμένων συμβαίνει διὰ
τῶν κειμένων· διὰ τὸ τῶν κειμένων προβάσεως, γίνεται
τὸ συμπέρασμα· μὴ δεόμενον ἔξωθεν ἑτέρου

Problema qd: — τινὸς τῆς ζητήσεως πρόβλημά ἐστι, θεώρημα συντεῖνον εἰς αἵρεσιν καὶ φυγήν· ἤγουν πρὸς ἄρνησιν καὶ κατάφασιν, ἢ πρὸς γνῶσιν καὶ θεωρίαν.

Dᵃ πύσμα ἐρώτημα — πύσμα ἐστὶν ἐρώτημα διεξοδικὴν ἤγουν πλατεῖαν ἀπαιτοῦν ἀπόκρισιν. διαφέρει δὲ ὁ ἐρωτηματικὸς λόγος τοῦ πυσματικοῦ, ὅτι τῶν μὲν ἐρωτηματικῶν, ταχεῖα ἕπεται ἡ ἀπόκρισις. ἤγουν διὰ ὀλίγων· τῶν δὲ πυσματικῶν, χρονία καὶ διὰ πολλῶν λόγων.

Character dialogicos — διαλογικὸς χαρακτὴρ λέγεται, ὁ κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

ἔνστασις — ἔνστασίς ἐστιν ἡ ἐκ προοιμίων ἀνατρεπτικὴ τοῦ λόγου.

ἀντιπαράστασις — ἀντιπαράστασις δέ, ἡ δεχομένη μὲν τὸν λόγον, ὡς ἀληθῆ. δεικνύουσα δέ, ὡς οὐδὲν βλάπτει πρὸς τὸ προκείμενον.

λημμάτιον — λημμάτιόν ἐστιν, ὁ παρ' ἀλλήλων ὡς ὁμολογούμενον, πρὸς κατασκευὴν τινὸς.

αἵρεσις — αἵρεσίς ἐστι, δόξα πλειόνων ἀνδρῶν πρὸς ἀλλήλους μὲν, συμφωνούντων· πρὸς ἄλλους δὲ διαφωνούντων.

κοινὴ ἔννοια — κοινὴ δὲ ἔννοιά ἐστιν ἡ ἐκ παντὸς ὁμολογουμένη· οἷον, ὅτι ἔστιν ἥλιος.

θέσις — θέσις δέ ἐστι παράδοξος ὑπόληψις τινὸς τῶν

ἡ φιλοσοφία, γνωρίμων ἢ γοῦν ξυνήθων ἐννοιῶν·
οἷον, ὡς ὁ Παρμενίδου λόγος· ὅτι ἓν ἔλεγε τὸ Parmeni-
ὄν· καὶ ὡς ὁ Ἡρακλείτου ὅτι πάντα κινεῖται· Heraclit9
κοινὸν ἐστὶ, τὸ ἐν πολλοῖς θεωρούμενον, ἢ τὸ πολλῶν κοινόν
κατηγορούμενον· κοινὸν δὲ τετραχῶς λέγεται· ἢ τὸ quadrifari
εἰς τὰ μέρη διαιρετὸν, ὡς ἡ κληρουχουμένη γῆ· am dici
ἢ τὸ ἀδιαίρετον ἐν χρήσει κοινῇ λαμβανόμενον· tur.
οὐχ ἅμα δὲ, ὡς εἷς δοῦλος ἢ εἷς ἵππος δυοῖν δε- 1
σποτῶν, ποτὲ μὲν τοῦδε, ποτὲ δὲ τοῦδε 2
τῇ χρήσει πληρούμενος· ἢ τὸ ἐν προκαταλήψει ἰδι- 3
οποιούμενον, εἰς δὲ τὸ κοινὸν ἀναπεμπόμενον,
ὡς ὁ ἐν τῷ θεάτρῳ τόπος ἢ ὁ ἐν βαλανείῳ·
ἢ τὸ ἀδιαίρετον ὡς καὶ εἰς κοινὴν καὶ τὴν αὐτὴν ἐννοι-
αν προβαλλόμενον· ὡς ἡ φωνὴ τοῦ κήρυκος· κατὰ
τοῦτο τὸ τέταρτον σημαινόμενον, ληφθὲν ἐπὶ τῶν ὁμω-
νύμων καὶ συνωνύμων· ἓν ὄνομα κοινόν· καθ'
αὑτό ἐστι τὸ πρώτως καὶ καθ' αὑτὸ προσόν τινι,
καὶ οὐ κατὰ συμβεβηκός, ὡς τὸ λογικὸν τῷ ἀνθρώπῳ·
καθόλου ἐστὶ τὸ πολλὰ σημαῖνον· οἷον, ἄνθρωπος· καθόλ8
ζῷον· οὐσία· κατὰ συμβεβηκὸς ἐστὶν, ὃ δύναται

h. m.

Dª τὸ μὴ ὑπάρχειν καὶ μὴ ὑπάρχειν. ὡς τῶν ἀμφῶν,
ποιεῖν τὸ νοσεῖν καὶ τὸ ὑγιαίνειν· ποιεῖν λέγεται,
πράττειν ἐπὶ τῶν ποιητικῶν τεχνῶν, ἐφ' ὧν διαμένει
τὸ γινόμενον· ὡς ἐπὶ τεκτονικῆς καὶ τῶν τοιούτων·
διαμένει γὰρ μετὰ τὴν ποίησιν, ἡ κλίνη· πράτ-
τειν λέγεται, ἐφ' ὧν οὐ διαμένει τὸ ἔργον· ἢ
τὸ ἀποτέλεσμα· ὡς ἐπὶ τῆς αὐλητικῆς καὶ
θεωρεῖν ὀρχηστικῆς· θεωρεῖν λέγεται, τὸ νοεῖν· τὸ ἀ-
στρονομεῖν· τὸ γεωμετρεῖν, καὶ τὰ τοιαῦτα·
ἐπίνοια Τὴν ἐπίνοιαν. ὁ ἀληθὴς λόγος, διττὴν ἀπο-
φαίνεται· ἢ γάρ ἐστιν· οἷον, ἐπίνοιά τις ἐστὶ καὶ
ἐνθύμησις· ἡ ὁλοσχερὴς τῶν πραγμάτων
καὶ ἀδιάρθρωτος οὖσα ἐξ ἁπλουστέραν καὶ ὑπογραφικὴν
θεωρίαν καὶ γνῶσιν ὡς τὸ τῇ αἰσθήσει δόξαν εἶναι
ἁπλοῦν· τῇ πολυπραγμοσύνῃ τοῦ νοῦ, πο-
λυμερές τε καὶ ποικίλον ἀναφαίνεσθαι· οἷον,
ἁπλοῦς ὁ ἄνθρωπος ἁπλοῦς ὤν, τῇ ἐπινοίᾳ διπλοῦς κατα-
νοεῖται· ἐκ ψυχῆς καὶ σώματος συγκείμενος·
ἢ δὲ, ἀναπλασμὸς τῆς διανοίας τυγχάνει· κατὰ
συμπλοκὴν αἰσθήσεώς τε καὶ φαντασίας

∴ π. ἄγνος

ἐκ τῶν οὐκ ὄντων τε καὶ μηδαμῇ ὄντων τε, συντι-
θεῖσα καὶ δοξάζουσα. τοιαύτη δέ ἐστιν ἡ τῶν
ἱπποκενταύρων καὶ σειρήνων καὶ τραγελάφων — Hippocetauri Sirenes Tragelaphi .i. hircocervi
μυθολογία. ἤτοι μυθοπλαστία· τῶν γὰρ ὅλων,
τὰ μέρη λαμβάνουσα καὶ ἐκ μερῶν ἄλλο τι
συντιθεῖσα κατὰ πολλὴν ἐξουσίαν τε καὶ
εὐκολίαν τὰ μηδαμῶς ἐν ὑποστάσει τε καὶ οὐσίᾳ θεω-
ρούμενα, ἐν τῇ διανοίᾳ καὶ τοῖς λόγοις ἀναπλάττουσα.
εἶτα καὶ ταῖς ὕλαις διαμορφουμένη, εἰδωλο-
ποίησιν. αὕτη δὲ λέγεται, ψιλὴ ἐπίνοια. ἕνω- — ψιλὴ ἐπίνοια
σις γίνεται κατὰ διαφόρους τρόπους. ἢ γὰρ κατὰ — ἕνωσις
φυρμὸν γίνεται, ὡς ἐπὶ διαφόρων ἀλεύρων
ἀναφυρομένων καὶ μιγνυμένων, ἢ κατὰ κόλλησιν,
ὡς ἐπὶ χαλκοῦ καὶ μολίβδου. ἢ κατὰ ἁρμονίαν, ὡς
ἐπὶ λίθων καὶ ξύλων. ἢ κατὰ σύγχυσιν, ὡς ἐπὶ
τῶν τηκτῶν καὶ τῶν μὴ ἀλλήλοις τηκτῶν μετάλλων, κηροῦ
καὶ πίσσης καὶ τῶν τοιούτων. ἢ κατὰ ἀνάκρασιν, ὡς
ἐπὶ τῶν ὑγρῶν. οἷον, οἴνου φημὶ καὶ ὕδατος. οἴνου — ἡ ἕνωσις κατὰ σύνθεσιν
καὶ μέλιτος. ἡ δὲ κατὰ σύνθεσιν ἕνωσίς ἐστιν, ἡ ἐκ
ἀλλήλων τῶν μερῶν χωρὶς ἀφανισμοῦ, περιχώρη-σις.

h. m

ἕνωσις
σύγκρα-
σις
συμφυΐα



Mysterium christi incarnationis est ἕνωσις κατὰ σύνθεσιν ἢ καθ' ὑπόστασιν

ὡς ἐπὶ ψυχῆς ἔχει καὶ σώματος· καί τινες αὐ ἕ-
νωσιν τινὰ, καὶ σύγκρασιν ἐκάλεσαν καὶ συμ-
φυΐαν· ἰστέον δὲ, ὡς τινὲς τῶν πατέρων τὸ
τῆς κράσεως ὄνομα, ἐπὶ τοῦ κατὰ Χριστὸν μυ-
στηρίου οὐκ ἐδέξαντο· τὴν δὲ κατὰ σύνθεσιν
ἕνωσιν, ἀσπάζονται· αὕτη δέ ἐστιν ἡ καθ' ὑπόστασιν
ἕνωσις, ἡ κατὰ σύνθεσιν· καθ' ὑπόστασιν
μὲν οὖν ἐστι, τὸ ἐκ διαφόρων φύσεων ὑφεστὸς
πρᾶγμα· καὶ πάλιν καθ' ὑπόστασίν ἐστι, τὸ
ἐκ δύο μὲν πραγμάτων, ἓν δὲ προσώπου.
καὶ ἔτι καθ' ὑπόστασιν ἕνωσίς ἐστιν ἡ ἐν ταῖς ὑπο-
στάσει συντρέχουσα φύσις. κρᾶσις δέ ἐστι
σωμάτων παράθεσις ποιοτήτων ἀν-
τέμβασις· καὶ πάλιν κρᾶσίς ἐστι, σύζευξις
σωμάτων ἀντικρινομένων ἀλλήλοις, τὰς
ἐν αὐτοῖς ποιότητας· κρᾶσις ἐστὶν οὐσιῶν
ἀλλήλαις ἑτέρων, συνδρομή. καὶ τῶν περὶ
αὐτὰς ποιοτήτων ἀντεμβολή· ἐστιν ἕνωσις,
καὶ ἡ κατὰ παράθεσιν· ἔοικε δὲ τῇ κατὰ ἁρμο-
νίαν· πάλιν ἕνωσις λέγεται προσωπική·

ἀντικρινομένων ἀλλήλοις

κρᾶσις multa significat

ἀντεμβολή

ἕνωσις προ-
σωπική

ὅταν τις τὸ ἑτέρου ὑποδύῃ ὄνομα καὶ πρόσωπον
ἀνθ᾽ ἑαυτοῦ, τοὺς ὑπὲρ αὐτοῦ ποιεῖ τοὺς λόγους·
ἕνωσις σχετική, ὡς φίλου πρὸς φίλον· ὅθεν Νε- ἕνωσις σχετική.
στόριοι ἄλλην ἐπινοοῦσι ἕνωσιν· κατὰ ἀξίαν
φασὶ καὶ ὁμοτιμίαν· καὶ ταυτοβουλίαν· καὶ εὐδοκίαν· Nestorii
καὶ ὁμωνυμίαν· δεῖ δὲ γινώσκειν· ὅτι ἐπὶ τῆς
καθ᾽ ὑπόστασιν ἑνώσει τῆς νοητῆς· καὶ ἑνοῦται
τοῖς δυναμένοις αὐτὰ δέξασθαι· ὡς τὰ
συνεφθαρμένα· καὶ ἑνούμενα μένει ἀσύγχυτα
καὶ ἀδιάφθορα καὶ ἀναλλοίωτα· ὡς τὰ παρα-
κείμενα· τοιαύτην δὲ ἔχει φύσιν τὰ νοητά:–

+ ὁρισμοὶ τῆς φιλοσοφίας εἰσὶν, ἕξ:–

Φιλοσοφία ἐστὶ, γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστί·
ἤγουν τῆς φύσεως αὐτῶν· φιλοσοφία ἐστὶ, γνῶσις
θείων τε καὶ ἀνθρωπίνων πραγμάτων·
φιλοσοφία ἐστὶ, μελέτη θανάτου· τοῦ τε
προαιρετικοῦ, τοῦ τε φυσικοῦ· φιλοσοφία
ἐστὶν, ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ·
ὁμοιούμεθα δὲ θεῷ, κατὰ τὸ δίκαιον·
καὶ ὅσιον καὶ ἀγαθόν· δίκαιον μὲν οὖν ἐστι, τὸ

Iustitia qd — τοῦ ἴσου δι' ἀμεμπτικοῦ· ἡ ποιοῦσα τὸ ἀδικεῖν μὴ
τὸ ἀδικεῖσθαι· μὴ τὸ λαμβάνειν πλέον τοῦ
ἐκ χρείας· ἀλλ' ἀποδιδόναι ἑκάστῳ κατὰ τὴν
ὅσιον — ἀξίαν αὐτοῦ· ὅσιον δὲ, τὸ ὑπὲρ τὸ δίκαιον ἢ τὸ
τὸ ἀγαθόν· τὸ ἀδικούμενον ἀνέχεσθαι καὶ τοὺς χα-
-ρεῖν τοῖς ἀδικοῦσι· καὶ μᾶλλον εὐεργετεῖν αὐτούς.

Philosophia est ars artium. Scientia scientiarum — φιλοσοφία ἐστὶ, τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν·
ἡ φιλοσοφία, ἀρχή ἐστι πάσης τέχνης· δι' αὐτῆς καὶ
ἡ πᾶσα τέχνη εὑρέθη· φιλοσοφία ἐστὶ φι-
-λία σοφίας· σοφία δὲ, ἀληθὴς, ὁ θεός ἐστιν· ἡ
οὖν ἀγάπη πρὸς τὸν θεόν, αὕτη ἐστὶν ἡ ἀληθὴς σοφία·

Philosophiae divisio. — διαιρεῖται δὲ ἡ φιλοσοφία, εἰς θεωρητικὸν
καὶ πρακτικόν· τὸ θεωρητικὸν, εἰς θεολογικόν·
μαθηματικόν· φυσιολογικόν· τὸ μαθηματικὸν πάλιν,
εἰς ἀριθμητικόν· μουσικόν· γεωμετρικόν· ἀστρο-
θεωρητικόν — -νομικόν· ~~[illegible]~~ θεωρητικὸν μὲν οὖν ἐστι,
τὸ κατανοεῖν τά τε ἀσώματα, καὶ τὰ ἄυλα·
ἤγουν περὶ θεοῦ· ὅπερ ἐστὶ κυρίως ἀσώ-
-ματον καὶ ἄυλον· ἔπειτα καὶ περὶ ἀγγέλων· καὶ
δαιμόνων καὶ ψυχῶν· αἳ καὶ αὐταὶ ὅσον πρὸς τὸ σῶμα,

ἄϋλα λέγονται. ὁ δὲ περὶ τὸ κυρίως ἄϋλον, ἤγουν τὸ
θεῖον, ὑλικὰ εἰσί. τοῦτο τοίνυν ἐστὶ τὸ θεολογικόν.
θεωρεῖν δὲ, καὶ τὰ τῶν ὑλικῶν φύσιν· ἤγουν ζώων,
καὶ φυτῶν· καὶ λίθων καὶ τῶν τοιούτων, ὅπερ ἐστὶ τὸ φυ- Physiologicum
σιολογικόν. θεωρεῖ δὲ καὶ τὰ μέσα τούτων. ἅτινα
ποτὲ μὲν ἐν ὕλῃ θεωρεῖται. ποτὲ δὲ, ἐκτὸς
ὕλης. καὶ μέσα εἰσὶ τῶν ἀΰλων καὶ τῶν ὑλικῶν.
ὅπερ ἐστὶ τὸ μαθηματικόν. ὁ γὰρ ἀριθμὸς, ἄϋλος
ἐστὶ καθ᾽ ἑαυτόν. θεωρεῖται δὲ καὶ ἐν ὕλῃ. οἷον τῷ,
σίτῳ ἢ οἴνῳ, λέγομεν γὰρ, δέκα μόδιοι σίτου. καὶ
δέκα ξέσται οἴνου. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν εἰδῶν
τοῦ μαθηματικοῦ. τὸ δὲ πρακτικὸν, ἦθος Practicum
κοσμεῖ καὶ τὸ πῶς δεῖ πολιτεύεσθαι διδάσκει.
καὶ εἰ μὲν ἕνα ἄνθρωπον παιδεύει, λέγεται ἠθικόν. + εἰ δὲ οἶκον ὅλον λέγεται οἰκονομικόν.
δὲ πόλιν ὁλόκληρον, λέγεται πολιτικόν. ἰστέον δὲ,
ὡς τέσσαρές εἰσι διαλεκτικαὶ μέθοδοι, ἤγουν
λογικαί. διαιρετικὴ ἡ τὸ διαιρεῖ τὸ γένος εἰς εἴδη Methodi
διὰ μέσων τῶν διαφορῶν. ὁριστικὴ ἡ τὸ αὐτὸ τὸ dialecticae
γένος καὶ τὰς διαφορὰς ὧν διεῖλεν ἡ διαιρετική, ὁ- ·4· Diuisiua
ρίζει τὸ ὑποκείμενον. ἀναλυτικὴ, ἡ τὸ σύν- Diffinitiua

Analytica

De Resolutiua notandum

θετικῶν τρόπον ἀναλύουσαι εἰς τὰ ἁπλούστερα·
τουτέστι τὰ σώματα· εἰς χυμούς· τοὺς χυμούς,
εἰς τοὺς καρπούς· τοὺς καρποὺς εἰς τὰ στοιχεῖα·
τὰ στοιχεῖα, εἰς ὕλην καὶ εἶδος. ἀποδεικτική,

Demóstratiua

ἡ διὰ μέσου τινὸς ἀποδεικνῦσα τὸ προκεί-
μενον. οἷον, πρόκειται γάρ μοι δεῖξαι ὅτι ἡ ψυχή,
ἀθάνατός ἐστι· λαμβάνω τι μέσον τὸ ἀεικίνητον
καὶ συλλογίζομαι οὕτως· ἡ ψυχὴ ἀεικίνητός ἐστι·
τὸ ἀεικίνητον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος.
ἰστέον δὲ ὡς οἱ συλλογισμοὶ τῆς ἀποδεικτικῆς
εἰσί. δεῖ δὲ γινώσκειν ὅτι ἡ ἀναλυτική, τριτ-

Analytica triplex

τή ἐστιν· ἔστι φυσική ὡς ἡ προλεχθεῖσα· ἔστι δὲ

Physica

καὶ λογικὴ ἀναλυτική· ὅταν γὰρ τὸν προτεθέντα

Logica

συλλογισμὸν ἀναλύσωμεν εἰς τὰ οἰκεῖα σχήματα·
ἔστι καὶ μαθηματική· ὅταν γὰρ λάβωμεν τὸ ζητού-

Mathematica

μενον, ὡς ὁμολογούμενον. καὶ καταντήσωμεν
εἴς τι ὁμολογούμενον· ὅθεν ἀρξάμενοι εὑρίσκεται τὸ προκεί-
μενον. οἷον, ἔστω τὸ ζητούμενον· εἰ ἀθάνατος
ἡ ψυχή. τοῦτο τὸ ζητούμενον, λαμβάνω ὡς
ὁμολογούμενον, καὶ λέγω· ἐπειδὴ ἀθάνατος

ἡ ψυχή, ᾗ εἰσὶν ἀμοιβαὶ τῶν φαύλων καὶ ἀγαθῶν
πράξεων· ᾗ δὲ εἰσὶν ἀμοιβαί, ἔστι τὸ διχαζόμενον
καὶ διχάζον· ᾗ δὲ ἔστι τὸ διχαζόμενον καὶ διχάζον,
ἔστι προθυμοκτῆς καὶ πρόθυμος· καταμηνύσωμεν
τοίνυν ὡς εἰς τὸ τῆς πρόθυμον, ἢ τὸ πρόδηλον πᾶσιν ὁ-
μολογεῖται· ὅθεν λοιπὸν καταστήσωμεν λέξω·
ἐπειδὴ ἔστι πρόθυμος καὶ διχαστής, ᾗ ἀμοιβαί·
ἐπειδὴ εἰσὶν ἀμοιβαί, ἔστι τὸ κρινόμενον· ᾗ δὲ
ἔστι τὸ κρινόμενον, ἀθάνατος ἄρα ἡ ψυχή:—

## + ξ΄ περὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως:— μθ

Χρὴ γινώσκειν ὅτι ἡ καθ' ὑπόστασιν ἕνωσις, μίαν
ὑπόστασιν τῶν ἑνουμένων ἀποτελεῖ σύνθετον·
σώζουσα τὰς συνελθούσας πρὸς ἕνωσιν φύσεις
καὶ τὴν τούτων διαφοράν· καὶ τὰ τούτων φυσικὰ
ἰδιώματα, ἀσυγχύτους τε καὶ ἀμεταβλήτους
ἐν ἑαυτῇ· αὐτὴ δὲ πρὸς ἑαυτὴν οὐδεμίαν ὑπο-
στατικὴν ἔχει διαφοράν· αὐτῆς γὰρ γίνονται αἱ ἑκατέρου
τῶν συνελθόντων πρὸς ἕνωσιν χαρακτηριστικαὶ καὶ
διαφοραί· αἷς ἑκάτερον ἐκ τῶν ὁμοειδῶν χωρί-
ζονται· ὡς ἐπὶ ψυχῆς ἔχει καὶ σώματος· μία αὐτῶν

ἐξ ἀμφοτέρων, ἀποτελεῖται· ἡ τοῦ πέτρου
ἢ τοῦ παύλου, ὑπόστασις σύνθετος. σώ-
ζει δὲ ἐν ἑαυτῇ τὰς δύο τελείας φύσεις τήν τε τῆς
ψυχῆς καὶ τὴν τοῦ σώματος. καὶ τὴν τούτων διαφοράν,
ἀσύγχυτον. καὶ τὰ τούτων ἰδιώματα, ἀσύγχυτα.
ἔχει δὲ ἐν ἑαυτῇ, τὰ ἑκατέρου χαρακτηριστικὰ
ἰδιώματα. τά τε τῆς ψυχῆς τὰ χωρίζοντα
αὐτὴν ἐκ τῶν λοιπῶν ψυχῶν, καὶ τὰ τοῦ σώματος
τὰ χωρίζοντα αὐτό, ἐκ τῶν λοιπῶν σωμάτων.
μηδαμῶς χωρίζοντα τὴν ψυχὴν ἐκ τοῦ σώματος.
ἀλλ᾽ ἑνοῦντα καὶ συνάπτοντα. ἅμα δὲ τὴν ἐξ αὐτῶν
συντεθεῖσαν μίαν ὑπόστασιν, χωρίζοντα τῶν
λοιπῶν ὁμοειδῶν ὑποστάσεων. ἐπειδὰν ἅπαξ
αἱ φύσεις τὴν πρὸς ἀλλήλας καθ᾽ ὑπόστασιν δέξωνται
ἕνωσιν, ἀδιαίρετοι μένουσιν εἰς τὸ παντελές. εἰ
γὰρ καὶ χωρίζεται ἡ ψυχὴ τοῦ σώματος ἐν τῷ θανάτῳ,
ἀλλ᾽ ἡ ὑπόστασις ἀμφοτέρων, μία καὶ ἡ αὐτή ἐστιν·

Hypostasis quid?

ὑπόστασις γάρ ἐστιν, ἡ ἐν τῇ ἀρχῇ τῆς ἑκάστου ὑπάρ-
ξεως, καθ᾽ αὑτὸ σύμπηξις. μένει οὖν τό, τε
σῶμα καὶ ἡ ψυχή, ἀεὶ μίαν τὴν ἀρχὴν τῆς ἑαυτῶν

ἔχοντα ὑπάρξεως τε καὶ ὑποστάσεως, εἰ καὶ
χωρισθῶσιν ἀλλήλων. δεῖ δὲ γινώσκειν ὅτι φύσεις
μὲν ἑνωθῆναι ἀλλήλαις καθ' ὑπόστασιν ἐνδέχεται,
ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου καὶ φύσιν προσληφθῆναι ὑποστάσει
καὶ ἐν αὐτῇ ὑποστῆναι δυνατόν· ἅπερ ἀμφότερα
ἐπὶ Χριστοῦ θεωροῦνται. καὶ γὰρ ἐν αὐτῷ καὶ αἱ φύσεις Christo
ἡ θεία τε καὶ ἀνθρωπίνη ἡνώθησαν καὶ ἐν τῇ προϋπάρ-
– χούσῃ τοῦ θεοῦ λόγου ὑποστάσει ὑπέστη ἡ ἔμψυχος
αὐτοῦ σάρξ. καὶ αὐτὴν ἔσχεν ὑπόστασιν. ἐκ δὲ δύο
φύσεων μίαν ἀποτελεσθῆναι σύνθετον, ἢ ἐκ δύο
ὑποστάσεων μίαν ὑπόστασιν, πάντη τελείως ἀδύνατον.
διότι ἀδύνατόν ἐστιν ἐναντίας οὐσιώδεις διαφοράς
ἐν μιᾷ φύσει συνυπάρξαι ἀλλήλαις· τοῦτο γὰρ
ἔργον ἐστὶν ἀποδιιστᾶν ἀλλήλων τὰς φύσεις ἐν αἷς
ὑπάρχουσι. καὶ πάλιν ἀδύνατόν ἐστι τὰ ἅπαξ καθ' αὑτὰ
ὑποστάντα, ἑτέραν ἀρχὴν ὑποστάσεως ἔχειν. ἡ γὰρ
ὑπόστασις, καθ' αὑτὸ γὰρ ὕπαρξίς ἐστιν. ἱστέον δὲ ὡς
ἐπὶ τῆς ἁγίας τριάδος ὑπόστασις ἐστὶν ὁ ἄναρχος τρόπος
τῆς ἑκάστου ἀιδίου ὑπάρξεως. χρὴ δὲ εἰδέναι ὅτι ἡ ψυχὴ
σύνθετος γεννητῆς φύσεως, δεῖ ὁμολογοῦνται μορφῇ

εἶναι καὶ δὲ ἐξ ἑτέρων ἕτερον ἀποτελεῖται· μὴ φυ-
λάττον· ἀλλὰ τρέπον καὶ ἀλλοιοῦν ταῦτα δὲ ἐξ
ὧν συνετέθη· ὥσπερ ἐκ τῶν στοιχείων ἀπο-
τελουμένου τοῦ σώματος, ἄλλο δὲ ἐξ ἄλλων γένους·
καὶ οὔτε τούτου τελεῖται· οὐδὲ τὸ τὰ ἄλλα ἐξ ὧν λέ-
γεται· καὶ ὥσπερ δὲ ἐπὶ τοῦ κόσμου, ἡλίου· οὔτε οὐ-
ἐπὶ τούτου, οὔτε ὄνος ἐστὶν ἢ λέγεται· ἀλλὰ δὲ ἐξ ἑτέρων
ἕτερον· μὴ διὰ τὸ ἕτερον τῶν δὲ ἐξ ὧν συνετε- θη
φυλάττον ἀσύγχυτον τε καὶ ἄτρεπτον:

μ Τὸ γένος διαιρεῖται εἰς εἴδη· + ἕτερον κεφάλαιον:
τὸ γένος ἐπάνω ἐστί· τὰ δὲ εἴδη, ὑποκάτω. ἀ-
δύνατον γένος μὲν ἔχειν ὑποκάτω αὐτοῦ εἴδη.
ἀδύνατον τὰ εἴδη μὴ ἔχειν ἐπάνω αὐτῶν
γένος· ὥσπερ ἀδύνατον πατέρα μὴ ἔχειν υἱόν.
καὶ ἀδύνατον υἱὸν μὴ ἔχειν πατέρα. τὸ γένος τάξιν
πατρὸς ἐπέχει· τὸ δὲ εἶδος, υἱοῦ. ὅτε τὸ γένος
διαιρεθῇ εἰς εἴδη, ἀνάγκη τὰ εἴδη δέξασθαι
καὶ τὸ ὄνομα καὶ τελείως τὸν ὅρον τοῦ γένους αὐτῶν.
τὸ δὲ γένος, οὐ πάντως ἐπιδέχεται τὸν
ὅρον τῶν εἰδῶν· οὐδὲ τὰ εἴδη τὸ ὄνομα ἀλλ᾽

κοινὸν ὄνομα πάντων τῶν ὄντων, ἐστὶ τὸ ὄν· — *τὸ ὄν*
τὸ δὲ ὄν, πρᾶγμα ἐστὶν αὐθύπαρκτον· μὴ δεό-
μενον ἑτέρου πρὸς σύστασιν· ἀλλ' ἐν ἑαυτῷ ἔχον τὴν
ὕπαρξιν· οἷον, χρῶμα· τὸ ὄν, διαιρεῖται εἰς — *Divisio ὄντος*
οὐσίαν καὶ συμβεβηκός· οὐσία ἐστὶ, πρᾶγμα αὐθύ-
παρκτον· μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν· ἀλλ' ἐν — *Substa.*
ἑαυτῷ ἔχον τὸ εἶναι· οἷον τὸ σῶμα· συμβεβηκὸς — *Accidés*
ἐστὶ, πρᾶγμα μὴ δυνάμενον ἐν ἑαυτῷ ἔχειν τὸ εἶναι,
ἀλλ' ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν· οἷον, τὸ χρῶμα·
οὐ γάρ ἐστι τὸ σῶμα, ἐν τῷ χρώματι· ἀλλὰ τὸ χρῶμα
ἐν τῷ σώματι· οὐδὲ λέγεται τὸ σῶμα τοῦ χρώ-
ματος· ἀλλὰ τὸ χρῶμα τοῦ σώματος· ἡ οὐσία — *Substa. nó*
οὐ μεταβάλλεται· τὸ δὲ συμβεβηκὸς, μεταβάλ- — *mutatur*
λεται· τὸ μὲν γὰρ σῶμα, οὐ μεταβάλλεται·
τὸ δὲ χρῶμα, μεταβάλλεται· οὔτε οὖν ἡ οὐσία,
οὔτε τὸ συμβεβηκός, δέχεται τέλειον τὸν ὅρον
τοῦ ὄντος· ἀλλ' ἡ οὐσία, τὸ ἥμισυ· καὶ τὸ συμβεβηκός,
τὸ ἥμισυ· διὸ οὔτε τὸ ὂν ἐστὶ γένος, οὔτε ἡ οὐσία καὶ
τὸ συμβεβηκός, ἀλλ' ἤδη γενικώτατον γένος ἐστὶ, τὸ — *Genus generalissimu.*
πρῶτον γένος· ὃ πρὸ γένους ὄν, οὐκ ἐστὶν εἶδος· διὰ

τὸ μὴ ἔχειν ἐπάνω αὐτοῦ, ἄλλο γένος· εἰδι-

*Species specialissima*

κώτατον εἶδος ἐστί, τὸ ἔσχατον εἶδος ὃ πρὸσ

εἶδος ὄν, οὐκέτι γένος· διὰ τὸ μὴ ἔχειν ὑποκάτω

αὐτοῦ ἄλλα εἴδη· τὰ δὲ μεταξὺ τοῦ γενικωτάτου

γένους καὶ τοῦ εἰδικωτάτου εἴδους, λέγονται γένη

*Genera & species subalternae*

καὶ εἴδη ὑπάλληλα· διὸ ὅτι ἔχουσιν ἐπάνω αὐτῶν

γένη καὶ ὑποκάτω αὐτῶν εἴδη. τὰ ὑπάλληλα

γένη καὶ εἴδη, ἔστιν ἃ συστατικὰς καὶ οὐσιώδεις

καὶ φυσικὰς διαφορὰς, καὶ ποιότητας. αὗται γὰρ

*Constitutivae diff[erenti]ae*

συνιστῶσι τὰ εἰδικώτατα εἴδη. ἐκ γὰρ τοῦ

γένους καὶ αὐτῶν, συνίστανται τὰ εἰδικώτατα

εἴδη. ταῦτα τὰ ὑποκάτω, δέχονται τὰς ὅλας

τῶν ἐπάνω αὐτῶν, οὐ πάντα δὲ δέχονται τὰ τῶν

ὑποκάτω αὐτῶν. οἱ περὶ τὸ εἰδικώτατον

εἶδος, ἐκάλεσαν οὐσίαν καὶ φύσιν καὶ μορφήν.

τὰ δὲ ἐκ τοῦ εἰδικωτάτου εἴδους διαιρούμενα

ἤγουν τὰ ὑποκάτω αὐτοῦ, ἄτομον καὶ ὑπόστασιν·

καὶ πρόσωπον. τὸ μὲν γένος, ὅλον ἐστί· καθ᾽ ὃ δὲ

γένος, δύο εἴδη ἀντιδιαιρούμενα. οἷον, οὐσία

*ἀντιδιαιρούμενα*

γένος αὕτη διαιρεῖται, εἰς δύο εἴδη· ζῷον σῶμα

Οἱ ἔξω ματαιόσοφοι

καὶ ἀσώματον· ταῦτα λέγουσι τῶν ἁγίων πατέρων [illegible]· οἱ ἔξω ματαιόσοφοι, πρώτην οὐσίαν μερικὴν λέγουσι τὴν ὑπόστασιν· δευτέραν οὐσίαν κοινήν, τὸ εἰδικώτατον εἶδος ἤγουν τὴν φύσιν· τρίτην οὐσίαν καθολικωτέραν, τὸ γενικώτατον γένος· οἱ οὖν τούτοις ἑπόμενοι, ἀναγκάζονται ἐπὶ τῆς ἁγίας τριάδος, τέσσαρας οὐσίας λέγειν· τρεῖς μερικὰς καὶ μίαν κοινήν· ὅπερ ἐν τῇ αὐτῇ φύσει θεωρεῖται πρᾶγμα καὶ τὸ ἐναντίον αὐτοῦ, ταῦτα συμβεβηκότα ἐστί· οἷον, ἐν τῇ φύσει τοῦ ἀνθρώπου, λευκότης καὶ μελανότης· γλαυκόφθαλμον καὶ μελανόφθαλμον· μακρὸν καὶ κολοβόν· νόσος καὶ ὑγεία, καὶ τὰ τοιαῦτα· ὅπερ δὲ θεωρεῖται πρᾶγμα· καὶ ἀδύνατον τὸ ἐναντίον αὐτοῦ θεωρεῖσθαι, τοῦτο φυσικόν ἐστιν· οἷον, τὸ λογικόν, θεωρεῖται ἐν τῷ ἀνθρώπῳ· τὸ δὲ ἄλογον, οὐκ ἐνδέχεται θεωρηθῆναι ἐν τῷ ἀνθρώπῳ· τὸ φυσικὸν λέγεται οὐσιῶδες ἰδίωμα· τὸ συμβεβηκὸς λέγεται ἐπουσιῶδες ἰδίωμα· τὰ φυσικὰ ἰδιώματα, οὐσιαστικὰ λέγονται· τὰ ὑποστατικὰ ἰδιώματα

Substae diuisio secundum mataeosophos pulchru

Τὸ φυσικόν· οὐσιῶδες

Τὸ συμβεβηκὸς ἐπουσιῶδες

χαρακτηρι- ἤγουν τὰ συμβεβηκότα· χαρακτηριστικὰ
στικὰ ἰδιώματα λέγονται· κατὰ τὰ φυσικὰ ἰδι-
ώματα ὤματα, φύσις φύσεως διαφέρει· καὶ εἶδος
εἴδους· κατὰ δὲ τὰ συμβεβηκότα, ὑπόστασις
τῆς ὁμοειδοῦς καὶ ὁμοουσίου ὑποστάσεως· οἷον, ἄνθρωπος
ἵππου διαφέρει κατὰ τὸ λογικὸν καὶ τὸ ἄλογον·
φυσικὴ ἡ διαφορὰ ἐστί· Πέτρος Παύλου διαφέρει·
Diff.a natu- καθὸ ὁ μὲν, φαλακρός ἐστιν· ὁ δὲ, δασύθριξ· ἰδοὺ
ralis & ac- τὸ φαλακρὸν καὶ τὸ δασὺ, συμβεβηκότα
cidentalis ἐστίν· ἡ οὐσία δεύτερον καὶ γενικώτατον γένος· τὸ
ὄν, διαιρεῖται εἰς οὐσίαν καὶ συμβεβηκός· ἡ οὐσία,
εἰς σῶμα καὶ ἀσώματον· τὸ σῶμα, εἰς ἔμψυχον
καὶ ἄψυχον· τὸ ἔμψυχον, εἰς αἰσθητικὸν καὶ ἀναίσ-
θητον· καὶ ζωόφυτον· τὸ αἰσθητικὸν εἰς λογικὸν
καὶ ἄλογον· τὸ λογικὸν εἰς θνητὸν καὶ ἀθάνατον·
ὃ περιέχει ὁ ἄνθρωπος· καὶ τὰ μεταξὺ τῆς οὐσίας
καὶ τοῦ ἀνθρώπου, λέγονται γένη καὶ εἴδη ὑπάλληλα·
καὶ ταῦτα εἰσὶν οὐσιώδεις καὶ φυσικαὶ διαφοραί·
Diff.ae consti- καὶ συστατικαὶ καὶ εἰδοποιοὶ διαφοραὶ καὶ ποιότητες·
tutivae & divi- διαιρετικαὶ μὲν, τῶν ἐπάνω· συστατικαὶ
sivae.

δὲ τῶν ὑποκάτω, εἴδη μὲν, τῶν ἐπάνω· γένη
δὲ τῶν ὑποκάτω. εἰδοποιοὶ δὲ, ὅτι αὗται συνι-
-στῶσι τὰ εἰδικώτατα εἴδη. ὁ ἄνθρωπος, εἰδικώ-
-τατον εἶδός ἐστιν· εἰς Πέτρον· Παῦλον· Ἰω(άννην)· Hypostases
καὶ τοὺς λοιποὺς ἀνθρώπους. ὁ Πέτρος, καὶ Παῦλος καὶ
Ἰω(άννης) καὶ οἱ λοιποὶ ἄνθρωποι ὑποστάσεις καὶ πρόσωπα
καὶ ἄτομα λέγονται. οὐσία ἐστὶ, πρᾶγμα αὐθύπαρκτον Subst^a
μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν. οὐσία ἐστὶ, πᾶν
ὅπερ αὐθυπόστατόν ἐστι καὶ μὴ ἐν ἑτέρῳ ἔχον
τὴν ὕπαρξιν· ἐν τῇ οὐσίᾳ ἐστὶ, τὸ συμβεβηκός.
οὐσία λέγεται, παρὰ τὸ κυρίως εἶναι· συμβεβηκὸς Subst^a & accidens unde dicantur
λέγεται, παρὰ τὸ συμβαίνειν. καὶ ποτὲ μὲν εἶναι
ποτὲ δὲ μὴ εἶναι. καὶ παρὰ τὸ ἐνδέχεσθαι ἐν τῷ
αὐτῷ πράγματι καὶ εἶναι τὸ αὐτὸ συμβεβηκὸς, καὶ
μὴ εἶναι ἀλλὰ τὸ ἐναντίον αὐτοῦ. φύσις ἐστὶν, ἡ ἀρχὴ Natura quid?
τῆς ἑκάστου τῶν ὄντων κινήσεώς τε καὶ ἠρεμί-
ας· ἤγουν ἣ κινεῖται μὲν, κατὰ τὸ βλαστάνειν· ἠρεμεῖ
δὲ, κατὰ τὴν ἐκ τόπου εἰς τόπον μετάβασιν·
οὐ γὰρ κινεῖται ἀπὸ τόπου εἰς τόπον. ἢ οὕτως· ἀρχὴ
τῆς κινήσεως καὶ αἰτία τῆς ἠρεμίας αὐτῆς καθ' ἣν

οὐσιωδῶς πέφυκε κινεῖσθαι καὶ ἠρεμεῖν·

φύσις unde φύσις λέγεται παρὰ τὸ πεφυκέναι. ὁ πρῶτος
δηλοῖ τὴν οὐσίαν. ἡ φύσις ἐστὶν ἀρχὴ καὶ αἰτία τῆς κινή-
σεως καὶ αὐτῆς καὶ τῆς ἠρεμίας. ταὐτὸν οὖν ἐστι
φύσις καὶ οὐσία. λέγεται φύσις, παρὰ τὸ πεφυ-
κέναι. μορφή μορφή ἐστιν, ὑπὸ τῶν οὐσιωδῶν διαφορῶν
μορφωθεῖσα καὶ εἰδοποιηθεῖσα οὐσία. ἥτις
σημαίνει τὸ εἰδικώτατον εἶδος· οἷον, ἡ οὐσία
μορφωθεῖσα ὑπὸ τοῦ σώματος τοῦ ἐμψύχου
καὶ τοῦ αἰσθητικοῦ καὶ ἀποτελέσασα τὸ ζῶον.
πάλιν τε ἐκλαμβάνουσα τὸ λογικὸν καὶ τὸ θνητόν,
ἀποτελεῖ τὸ τοῦ ἀνθρώπου εἶδος· ὅπερ εἰδικώ-
τατον εἶδος μορφὴ λέγεται· οἷον, οὐσία με-
μορφωμένη. ταὐτὸν οὖν ἐστιν οὐσία. φύσις καὶ
μορφή. ὁμοούσια οὖν καὶ ὁμοφυῆ καὶ ὁμοειδῆ.
καὶ τῆς αὐτῆς μορφῆς τὰ ὑπὸ τὸ αὐτὸ εἰδικώ-
τατον εἶδος ἄτομα ἐστίν. ἑτεροούσια δὲ καὶ
ἑτεροφυῆ καὶ ἑτεροειδῆ καὶ ἑτερόμορφα
τὰ εἰδικώτατα ἤδη λέγονται. καὶ τὰ ὑπὸ ἄλλο
καὶ ἄλλο εἶδος, ἄτομα· ὁμογενῆ ἐστί, τὰ ὑπὸ

τὸ αὐτὸ γένος· ἑτερογενῆ δὲ, τὰ ὑπὸ ἄλλο καὶ
ἄλλο γένος· ἀδύνατον ἐστὶν ἐκ δύο φύσεων,
μίαν φύσιν συντεθῆναι· τὸ τῆς ὑποστάσεως
ὄνομα σημαίνει ποτὲ μὲν, τὴν ἁπλῶς ὕπαρξιν· Hypostasis
ἤγουν τὴν οὐσίαν· ποτὲ δὲ, τὴν καθ' αὑτὸ καὶ ἰδιοσύ- qd & unde dicitur
στατον ὕπαρξιν· ἤγουν τὸ ἄτομον· οἷον, πέτρον·
παῦλον· οἱ δὲ ἅγιοι πατέρες, ὑπόστασιν καὶ ἄτομον·
καὶ πρόσωπον τὸ αὐτὸ ἐκάλεσαν· ὑπόστασίς ἐστι
τὸ ἐξ οὐσίας καὶ συμβεβηκότων καθ' αὑτὸ ἰδι-
-οσύστατον ὑφιστάμενον· καὶ ἀριθμῷ διάφορον· οὐ
γάρ ἐστιν ὁ πέτρος καὶ ὁ παῦλος εἷς, ἀλλὰ δύο· εἴρηται
δὲ ὑπόστασις, παρὰ τὸ ὑφεστάναι· ἓν λέγεται Unum
ἐπὶ τῆς μιᾶς φύσεως· οἷον, πέτρος καὶ παῦλος
εἷς οὐ λέγονται, ἀλλὰ δύο· ἐπεὶ ἄλλη καὶ ἄλλη ὑπό-
-στασίς ἐστιν· ἓν δὲ λέγονται, ἐπειδὴ μιᾶς φύσεώς
ἐστιν· ἄλλο λέγεται ἐπὶ τῆς διαφορᾶς τῆς ἄλλο a
φύσεως· ἄλλος ἐπὶ τῆς ὑποστάσεως· οἷον, οὐ δυνά- ἄλλος D
-μεθα εἰπεῖν ἄλλο ἐστὶν ὁ πέτρος καὶ ἄλλο ὁ παῦλος·
ἐπειδὴ ἕν εἰσι κατὰ φύσιν· λέγομεν δὲ, ἄλλος
ἐστὶν ὁ πέτρος καὶ ἄλλος ὁ παῦλος· ἐπειδὴ οὐκ εἰσὶν

ἐνυπόστατ εἷς ἄνθρωπος, ἀλλὰ δύο· τὸ ἐνυπόστατον ποτὲ
μὲν, τὸ ὂν σημαίνει· ποτὲ δὲ τὸ αὐτὸ μον·
κυρίως γὰρ ἐνυπόστατόν ἐστιν· ἢ τὸ ἰδιοχώριστον
[illegible]· διὰ τὸ μὴ καθ' αὑτὸ θεωρεῖσθαι, ἀλλ'
ἐν ταῖς ὑποστάσεσιν· ἢ τὸ συν ἀλλήλων διαφόρων
κατὰ τὴν οὐσίαν· ἐξ ὅλου τινὸς ἐν ὑποστάσει συντι-
θέμενον· οἷον, ὁ ἄνθρωπος, ἐκ ψυχῆς δηλαδὴ καὶ σώματος·
οὔτε ἡ ψυχὴ λέγεται ὑπόστασις, οὔτε τὸ σῶμα·
ἀλλ' ἐνυπόστατα· ὅτι οὐδέποτε ὑπέστη τὸ
ἓν πρὸ τοῦ ἑτέρου· οὐδὲ τὸ ἓν ἐκτὸς τοῦ ἑτέρου·
τὸ δὲ ἐξ ἀμφοτέρων ἀποτελούμενον, ὑπό-
στασις ἀμφοτέρων ἐστίν· ὅθεν καὶ ἡ τοῦ Χριστοῦ σάρξ,
Caro xpi no dicitur hy postasis sed ἐνυπόστατ
οὐχ ὑπόστασις λέγεται, ἀλλ' ἐνυπόστατον· ἐ-
πειδὴ οὐδέποτε καθ' ἑαυτὴν ὑπέστη· ἀλλ'
ἐν τῇ τοῦ λόγου ὑποστάσει καὶ αὐτὴν ἔσχε· καὶ
ἔχει ὑπόστασιν· καὶ τὸ ἀνυπόστατον ποτὲ μὲν,
τὸ ἀνύπαρκτον δηλοῖ· ποτὲ δὲ, τὸ συμβε-
βηκός:~


τὸ ποσὸν
τὸ πρός τι
σχῆμα καὶ
μορφή

[illegible] Νπε̄ιρος.

Τοῦ μακαρίου ἰωάννου τοῦ δαμα-
σκηνοῦ· ἔκδοσις ἀκριβὴς τῆς ὀρθο-
δόξου πίστεως· ὅτι ἀκατάληπτον τὸ
θεῖον· καὶ ὅτι οὐ δεῖ ζητεῖν καὶ περιεργάζεσθαι
τὰ μὴ παραδεδομένα ἡμῖν ὑπὸ τῶν
ἁγίων προφητῶν καὶ ἀποστόλων καὶ εὐαγγελιστῶν:— αʹ

Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς
υἱός· ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός, αὐτὸς
ἐξηγήσατο· ἄρρητον οὖν τὸ θεῖον καὶ ἀκατά-
ληπτον· οὐδεὶς γὰρ ἐπιγινώσκει τὸν πατέρα, εἰ
μὴ ὁ υἱός· οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατήρ· καὶ τὸ
πνεῦμα δὲ τὸ ἅγιον, οὕτως οἶδε τὰ τοῦ θεοῦ,
ὡς τὸ πνεῦμα τοῦ ἀνθρώπου τὰ ἐν αὐτῷ· μετὰ δὲ
τὴν μακαρίαν φύσιν, οὐδεὶς ἔγνω ποτὲ
τὸν θεόν· εἰ μὴ ᾧ αὐτὸς ἀπεκάλυψεν· οὐκ
ἀνθρώπων μόνον· ἀλλ' οὐδὲ τῶν ὑπερκοσμίων
δυνάμεων καὶ αὐτῶν φημὶ τῶν χερουβὶμ καὶ
τῶν σεραφίμ· οὐκ ἀφῆκε μέντοι ἡμᾶς
ὁ θεὸς ἐν παντελεῖ ἀγνωσίᾳ· πᾶσι γὰρ ἡ γνῶσις

A-1

τοῦ εἶναι θεὸν ὑπ' αὐτοῦ φυσικῶς ἐγκατέσπαρται. καὶ αὐτὴ δὲ ἡ κτίσις καὶ ἡ ταύτης συνοχή τε καὶ κυβέρνησις, τὸ μεγαλεῖον τῆς θείας ἀνακηρύττει φύσεως. καὶ διὰ νόμου δὲ καὶ προφητῶν πρότερον· ἔπειτα δέ, καὶ διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ· κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· κατὰ τὸ ἐφικτὸν ἡμῖν τὴν ἑαυτοῦ ἐφανέρωσε γνῶσιν· πάντα τοίνυν τὰ παραδεδομένα ἡμῖν διά τε νόμου καὶ προφητῶν καὶ ἀποστόλων καὶ εὐαγγελιστῶν δεχόμεθα· καὶ γινώσκομεν καὶ σέβομεν· οὐδὲν περαιτέρω τούτων ἐπιζητοῦντες· ἀγαθὸς γὰρ ὢν ὁ θεός, παντὸς ἀγαθοῦ παρεκτικός ἐστιν· οὐ φθόνῳ οὐδὲ πάθει τινὶ ὑποκείμενος· μακρὰν γὰρ τῆς θείας φύσεως ὁ φθόνος· τῆς γε τε ἀπαθοῦς καὶ μόνης ἀγαθῆς· ὡς οὖν πάντ' εἰδὼς καὶ τὸ συμφέρον ἑκάστῳ προμηθούμενος, ὅπερ συνέφερεν ἡμῖν γνῶναι ἀπεκάλυψεν· ὅπερ δὲ οὐκ ἐδυνάμεθα φέρειν, ἀπεσιώπησε· ταῦτα ἡμεῖς στέρξωμεν· καὶ ἐν αὐτοῖς

μείνωμεν ἐν τούτοις μὴ μεταίροντες ὅρια αἰώνια· μὴ
δὲ ὑπερβαίνοντες τὴν θείαν παράδοσιν· —

+ περὶ ῥητῶν καὶ ἀρρήτων καὶ γνωστῶν καὶ ἀγνώστων· — β

Χρὴ τοίνυν τὸν περὶ θεοῦ λέγειν ἢ ἀκούειν βουλό-
μενον, σαφῶς εἰδέναι, ὡς οὐδὲ πάντα
ἄρρητα, οὐδὲ πάντα ῥητά· τά τε τῆς
θεολογίας· τά τε τῆς οἰκονομίας· οὐδὲ
μὴν πάντα ἄγνωστα· ἕτερον δέ ἐστι τὸ
γνωστόν, καὶ ἕτερον τὸ ῥητόν· ὥσπερ ἄλλο
τὸ λαλεῖν, καὶ ἄλλο τὸ γινώσκειν· πολλὰ
τοίνυν τῶν περὶ θεοῦ ἀμυδρῶς νοούμενα,
οὐκ ἀξίως ἐκφρασθῆναι δύναται· ἀλλὰ
καθ' ἡμᾶς ἀναγκαζόμεθα ἐπὶ τῶν ὑπὲρ
ἡμᾶς λέγειν· ὥσπερ ἐπὶ θεοῦ λέγομεν ὕπνον
καὶ ὀργὴν καὶ ἀμέλειαν· χεῖράς τε καὶ πόδας καὶ τὰ
τοιαῦτα· ὅτι μὲν οὖν ἐστι θεὸς ἄναρχός τε καὶ
ἀτελεύτητος· αἰώνιός τε καὶ ἀΐδιος· ἄκτιστος·
ἄτρεπτος· ἀναλλοίωτος· ἁπλοῦς· ἀσύνθετος·
ἀσώματος· ἀθεώρητος· ἀναφής· ἀπερίγραπτος·
ἄπειρος· ἀπερίληπτος· ἀκατάληπτος· ἀπερί

νόητος· ἀγαθός· ἀρχαῖος· παντοδύναμος·
πάντων κτισμάτων δημιουργός· παντο-
κράτωρ· παντεπόπτης· πάντων προ-
νοητής· ἐξουσιαστής· κριτής· καὶ γινώσκο-
μεν καὶ ὁμολογοῦμεν· καὶ ὅτι εἷς ἐστι θεός· ἤγουν
μία οὐσία· καὶ ὅτι ἐν τρισὶν ὑποστάσεσι γνω-
ρίζεται· καὶ ἔστι πατὴρ φημὶ καὶ υἱῷ καὶ ἁγίῳ
πνι· καὶ ὅτι πατὴρ καὶ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον,
κατὰ πάντα ἕν εἰσι· πλὴν τῆς ἀγεννησίας
καὶ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως· καὶ ὅτι
ὁ μονογενὴς υἱός, καὶ λόγος τοῦ θεοῦ καὶ θεός, διὰ
σπλάγχνα ἐλέους αὐτοῦ, διὰ τὴν ἡμετέραν
σωτηρίαν· εὐδοκίᾳ τοῦ πατρὸς καὶ συνεργίᾳ τοῦ
ἁγίου πνς· ἀσπόρως συλληφθεὶς ἀφθόρως
ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου μαρίας,
γεγέννηται διὰ πνς ἁγίου· καὶ ἄνθρωπος τέλειος
ἐξ αὐτῆς γέγονε· καὶ ὅτι ὁ αὐτὸς θεός, τέλειος ἐστὶ
ὁμοῦ καὶ ἄνθρωπος· τέλειος ἐκ δύο φύσεων. θεότη-
τός τε καὶ ἀνθρωπότητος· καὶ ἐν δυσὶ φύσεσι
νοεραῖς καὶ αὐτεξουσίοις· καὶ ἁπλῶς εἰπεῖν

τελείως ἐχούσαις, κατὰ τὸν ἑκάστης
πρέποντα ὅρον τε καὶ λόγον· θεότητι τελείᾳ καὶ
ἀνθρωπότητι ψυχικῇ καὶ μιᾷ αἰδεσίμῳ θεότητι, ὑπο-
στάσει· ὅτι τε ἐπείνησε· καὶ ἐδίψησε· καὶ ἐκοπί-
ασε· καὶ ἐσταυρώθη· καὶ θανάτου καὶ ταφῆς πεῖραν
ἐδέξατο· καὶ ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ· καὶ εἰς οὐρανοὺς ἀνε-
φοίτησε· ὅθεν καὶ πρὸς ἡμᾶς παραγέγονε· καὶ παρα-
γενήσεται πάλιν ἐξ οὐρανοῦ· καὶ ἡ θεία γραφὴ μαρ-
τυρεῖ· καὶ πᾶς ὁ τῶν ἁγίων χορός· τί ἐστι θεοῦ
οὐσία· ἢ πῶς ἐστὶν ἐν πᾶσιν· ἢ πῶς ἐκ θεοῦ θεὸς γεγέν-
νηται· ἢ ἐκπεπόρευται· ἢ πῶς ἑαυτὸν κενώσας,
ὁ μονογενὴς υἱὸς καὶ θεὸς ἄνθρωπος γέγονεν· ἐκ παρθε-
νικῶν αἱμάτων· ἑτέρῳ παρὰ τὴν φύσιν θεσμῷ
πλασθεὶς γεννηθείς, ἢ πῶς ἀβρόχοις ποσὶν ὕ-
δασιν ἐπεπόρευτο, καὶ ἀγνοοῦμεν καὶ λέγειν οὐ
δυνάμεθα· οὐ δυνατὸν οὖν τι παρὰ τὰ θειωδῶς
ὑπὸ τῶν θείων λογίων τῆς τε παλαιᾶς καὶ καινῆς
διαθήκης, ἡμῖν ἐκπεφασμένα, ἤτοι ἐρρη-
μένα καὶ πεφανερωμένα εἰπεῖν τι περὶ θεοῦ
ἢ ὅλως ἐννοῆσαι: ——

A. m.

γ + ἀπόδειξις ὅτι ἔστι θεός· –

Ὅτι μὲν οὖν ἔστι θεὸς τοῖς μὲν τὰς θείας γραφὰς δεχομένοις, τήν τε παλαιὰν καὶ καινὴν διαθήκην φημί, οὐκ ἀμφιβάλλεται· οὔτε δὲ τοῖς τῶν ἑλλήνων πλείστοις· ὡς γὰρ ἔφημεν, ἡ γνῶσις τοῦ εἶναι θεόν, φυσικῶς ἡμῖν ἐγκατέσπαρται· ἐπειδὴ δὲ τοσοῦτον ἴσχυσεν ἡ τοῦ πονηροῦ κακία, τῆς τῶν ἀνθρώπων φύσεως, ὥστε καί τινας εἰς τὸ ἀλογώτατον καὶ πάντων κακῶν κάκιστον καταγαγεῖν τῆς ἀπωλείας βάραθρον, τὸ λέγειν μὴ εἶναι θεόν· ὧν τὴν ἀφροσύνην ἐμφαίνων, ὁ ἱεροφάντης ἔφη Δαβίδ· εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι θεός· οἱ μὲν οὖν τοῦ κυρίου μαθηταὶ καὶ ἀπόστολοι, τῷ παναγίῳ σοφισθέντες πνεύματι, καὶ τῇ αὐτοῦ δυνάμει καὶ χάριτι τὰς θεοσημείας ἐργαζόμενοι· τῇ τῶν θαυμάτων σαγήνῃ πρὸς τὸ φῶς τῆς θεογνωσίας· ἐκ τοῦ βυθοῦ τῆς ἀγνωσίας αὐτοὺς ζωγροῦντες ἀνῆγον· ὁμοίως καὶ οἱ τούτων τῆς τε χάριτος καὶ τῆς ἀξίας διάδοχοι,

ποιμένες τε καὶ διδάσκαλοι τὴν φωτιστικὴν τοῦ
πνεύματος χάριν δεξάμενοι· τῇ τε τῶν θαυμάτων
δυνάμει, τῷ τε λόγῳ τῆς χάριτος τὸν σκοτισμὸν
ἐφώτισε. καὶ τοὺς τε πλανωμένους ἐπέστρεφον.
ἡμεῖς δὲ οἱ μήτε τὸ τῶν θαυμάτων μήτε
τὸ τῆς διδασκαλίας δεξάμενοι χάρισμα, ἀνα-
ξίους τε ἑαυτοὺς τῇ πρὸς τὰς ἡδονὰς προσπαθεί-
ᾳ πεποιήκαμεν, φ[illegible] τὴν παραδεδομένην
ἡμῖν ὑπὸ τῶν ὑποφητῶν τῆς χάριτος περὶ
τούτου διαλεξώμεθα τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ
ἅγιον πνεῦμα ἐπικαλεσάμενοι· πᾶν τὸ ταὐτὸν τῷ,
ἢ κτιστὸν ἢ ἄκτιστον· εἰ μὲν οὖν κτιστόν, πάντως
καὶ τρεπτόν· ὧν γὰρ τὸ εἶναι ἀπὸ τροπῆς ἤρξατο,
ταῦτα τῇ τροπῇ ὑποκείσεται, πάντως ἢ φθει-
ρόμενα, ἢ κατὰ προαίρεσιν ἀλλοιούμενα· εἰ δὲ ἄ-
κτιστον κατὰ τὸν τῆς ἀκολουθίας λόγον, πάντως
καὶ ἄτρεπτα· ὧν γὰρ τὸ εἶναι ἐναντίον, τούτων καὶ
ὁ τοῦ πῶς εἶναι λόγος ἐναντίος, ἤγουν αἱ ἰδιότητες·
τίς οὖν οὐσίαν θήσεται πάντα τρεπτὰ τὰ ὄντα
ὑπὸ τὴν κτιστὴν φύσιν ἀγαθῶν· ἀλλὰ μὴν καὶ

A·m·

ἀγγέλοις τρέπεσθαι καὶ ἀλλοιοῦσθαι. καὶ πολυτρόπως κινεῖσθαι καὶ μεταβάλλεσθαι. τὰ μὲν νοητά, ἀγγέλους φημὶ καὶ ψυχὰς καὶ δαίμονας κατὰ προαίρεσιν· τήν τε ἐν τῷ καλῷ προκοπήν, καὶ τὴν ἐκ τοῦ καλοῦ ἀποφοίτησιν. ἐπιτεινομένην τε καὶ ὑφιεμένην. τὰ δὲ λοιπὰ κατά τε γένεσιν καὶ φθορὰν αὔξησίν τε καὶ μείωσιν, καὶ τὴν κατὰ ποιότητα μεταβολήν. καὶ τὴν τοπικὴν κίνησιν. τρεπτὰ τοίνυν ὄντα καὶ κτιστά. κτιστὰ δὲ ὄντα, πάντως ὑπό τινος ἐδημιουργήθησαν. δεῖ δὲ τὸν δημιουργὸν ἄκτιστον εἶναι. εἰ γὰρ κἀκεῖνος ἐκτίσθη, πάντως ὑπό τινος ἐκτίσθη. ἕως ἂν ἔλθωμεν εἴς τι ἄκτιστον. ἄκτιστος οὖν ὢν ὁ δημιουργός, πάντως καὶ ἄτρεπτός ἐστι. τοῦτο δὲ τί ἄλλο εἴη, ἢ θεός. καὶ αὐτὴ δὲ ἡ τῆς κτίσεως συνοχὴ καὶ συντήρησις καὶ κυβέρνησις διδάσκει ἡμᾶς ὅτι ἐστὶ θεός, ὁ τόδε τὸ πᾶν συστησάμενος καὶ συνέχων καὶ συντηρῶν, καὶ ἀεὶ προνοούμενος. πῶς γὰρ ἂν ἐναντίαι φύσεις, πυρὸς λέγω καὶ ὕδατος.

ἀέρος καὶ γῆς εἰς ἑνὸς κόσμου συμπλήρωσιν
ἀλλήλοις καὶ συνεληλύθασι καὶ ἀδιάλυτοι μέ-
-νουσιν· εἰ μή τις παντοδύναμος δύναμις ταῦ-
τα συνεβίβασε καὶ ἀεὶ τηρεῖ ἀδιάλυτα· τί τὸ
τάξαν τὰ ἐν οὐρανῷ καὶ τὰ ἐπίγεια· ὅσα τε ἐν ἀέρι,
καὶ ὅσα καθ' ὑδάτων· μᾶλλον δὲ τὰ πρὸ τούτων
οὐρανὸν καὶ γῆν καὶ ἀέρα καὶ φύσιν πυρός τε καὶ ὑδάτων,
τίς ταῦτα ἔμιξε καὶ ἐμέρισε· τί τὸ ταῦτα
κινῆσαν· καὶ ἄγον τὴν ἄληκτον φορὰν καὶ ἀκώ-
-λυτον· ἆρα οὐχ ὁ τεχνίτης τούτων καὶ ὁ λόγον
ἐνθεὶς πᾶσι καθ' ὃν τὸ πᾶν φέρεταί τε καὶ
διεξάγεται· τίς δὲ ὁ τεχνίτης τούτων; ἆρ' οὐχ
ὁ πεποιηκὼς ταῦτα καὶ εἰς τὸ εἶναι παραγαγών;
οὐ γὰρ τῷ αὐτομάτῳ δώσομεν τοιαύτην δύναμιν·
ἔστω γὰρ τὸ γενέσθαι τοῦ αὐτομάτου, τίνος τὸ τάξαι·
καὶ τοῦτο εἰ δοκεῖ, δῶμεν· τίνος τὸ τηρῆσαι καὶ
φυλάξαι· καθ' οὓς πρῶτον ὑπέστη λόγους· ἑτέρου
δηλαδὴ παρὰ τὸ αὐτόματον· τοῦτο δὲ τί ἄλλο ἐστίν, εἰ
μὴ θεός:—

## Περὶ τοῦ τί ἐστι θεός· ὅτι ἀκατάληπτον:—

Ὅτι μὲν οὖν ἔστι θεός, δῆλον· τί δέ ἐστι κατ' οὐσίαν

καὶ ἐφετὸν ἀκαταλήπτου τοῦτο παντελῶς καὶ ἄγνω-
στον· ὅτι μὲν τὸ ἀσώματον, δῆλον· πῶς δὲ γὰρ
σῶμα τὸ ἄπειρον καὶ ἀόριστον· καὶ ἀσχημάτιστον·
καὶ ἀναφὲς καὶ ἀόρατον· καὶ ἁπλοῦν· καὶ ἀσύνθετον·
ἐπεὶ τὸ σεπτὸν ἢ περίγραπτον καὶ παθητόν· καὶ ἐπεὶ
ἀπαθὲς τὸ ἐκ στοιχείων συγκείμενον, καὶ ἐξ
αὐτῶν πάλιν ἀναλυόμενον· σύνθεσις γὰρ ἀρχὴ
μάχης· μάχη δὲ διαστάσεως· διάστασις δὲ, ἀλλό-
τριον θεοῦ παντελῶς· τὸ δὲ καὶ σύνθεσιν εἶναι· καὶ
διὰ πάντων ἥκειν· καὶ πληροῦν τὰ πάντα τα-
θῦν· ὡς φησὶν ἡ γραφή· οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν
ἐγὼ πληρῶ λέγει κύριος; ἀδύνατον τὸ σῶμα διὰ
διήκειν· μὴ τέμνον καὶ τεμνόμενον καὶ πλεκόμενον·
καὶ ἀντιπαρατιθέμενον· ὥσπερ ὅσα τῶν
ὑγρῶν μίγνυται καὶ συγκίρναται. εἰ δὲ καὶ τινὲς
φασὶν ἄϋλον σῶμα καὶ ὥσπερ τοῖς τῶν ἑλ-
λήνων σοφοῖς πέμπτον σῶμα λεγόμενον·
ὅπερ ἀδύνατον, κινούμενον ἔσται πάντως,
ὥσπερ ὁ οὐρανός· τοῦτον γὰρ πέμπτον σῶμα
θήσει· τίς οὖν ὁ τούτου κινῶν· πᾶν γὰρ τὸ κινούμενον

ὑφ' ἑτέρου κινεῖται· κἀκεῖνο ὑπὸ τίνος· καὶ τοῦτο
ἐπ' ἄπειρον ἔρχεται ἕως ἂν καταντήσωμεν εἴς τι
ἀκίνητον· τὸ γὰρ πρῶτον κινοῦν ἀκίνητον·
ὅπερ ἐστὶ τὸ θεῖον· πῶς δ' οὐχὶ καὶ τόπῳ περιγραφήσεται
τὸ κινούμενον· μόνον οὖν τὸ θεῖον ἀκίνητον·
δι' ἀκινησίας τὰ πάντα κινοῦν· ἀσώματον τοί-
νυν ὑποληπτέον τὸ θεῖον· ἀλλ' οὐδὲ τοῦτο τῆς
οὐσίας παραστατικόν ἐστιν· ὥσπερ οὐδὲ τὸ ἀ-
γέννητον καὶ τὸ ἄναρχον· καὶ τὸ ἀναλλοίωτον·
καὶ τὸ ἄφθαρτον· καὶ ὅσα περὶ θεοῦ ἢ περὶ θεὸν
εἶναι λέγεται· ταῦτα γὰρ αὐτῷ οὐ τὸ τί ἐστι ση-
μαίνει. ἀλλὰ τί οὐκ ἔστι· χρὴ δὲ τὸν βουλόμενον
τὴν τινὸς οὐσίαν εἰπεῖν, τί ἐστι φράσαι· οὐ τί
οὐκ ἔστιν· ὅμως ἐπὶ θεοῦ τί ἐστιν εἰπεῖν ἀδύνατον
κατ' οὐσίαν, οἰκειότερον δὲ μᾶλλον ἐκ τῆς πάντων
ἀφαιρέσεως ποιεῖσθαι τὸν λόγον· οὐδὲν γὰρ τῶν
ὄντων ἐστίν· οὐχ ὡς μὴ ὤν, ἀλλ' ὡς ὑπὲρ πάντα ὄντα,
καὶ ὑπὲρ αὐτὸ δὲ τὸ εἶναι ὤν· εἰ γὰρ τῶν ὄντων αἱ γνώσεις,
τὸ ὑπὲρ γνῶσιν πάντως καὶ ὑπὲρ οὐσίαν ἐστί· καὶ τὸ
ἀνάπαλιν· τὸ ὑπὲρ οὐσίαν καὶ ὑπὲρ γνῶσιν ἐστί.

ἄπειρον οὖν τὸ θεῖον καὶ ἀκατάληπτον· καὶ τοῦ
μόνον αὐτοῦ καταληπτόν, ἡ ἀπειρία καὶ ἡ ἀ-
καταληψία· ὅσα δὲ λέγομεν ἐπὶ θεοῦ κατα-
φατικῶς, οὐ τὴν φύσιν ἀλλὰ τὰ περὶ τὴν φύσιν
δηλοῖ· κἂν τὸ ἀγαθόν· κἂν δίκαιον· κἂν σοφόν·
κἂν ὅ τι ἂν εἴπῃς, οὐ φύσιν λέγεις θεοῦ, ἀλλὰ
τὰ περὶ τὴν φύσιν· εἰσὶ δὲ καί τινα καταφα-
τικῶς ἐπὶ θεοῦ λεγόμενα· δύναμιν ὑπεροχι-
κῆς ἀποφάσεως ἔχοντα· οἷον, σκότος λέ-
γοντες ἐπὶ θεοῦ, οὐ σκότος νοοῦμεν, ἀλλ' ὅτι
οὐκ ἔστι φῶς, ἀλλ' ὑπὲρ τὸ φῶς· —

ε

+ Ἀπόδειξις ὅτι εἷς θεὸς καὶ οὐ πολλοί· —

Ὅτι μὲν οὖν ἔστι θεός, ἱκανῶς ἀποδέδεικται·
καὶ ὅτι ἀκατάληπτός ἐστιν ἡ αὐτοῦ οὐσία·
ὅτι δὲ εἷς ἐστι θεὸς καὶ οὐ πολλοί, τοῖς μὲν τῇ
θείᾳ πειθομένοις γραφῇ, οὐκ ἀμφίβολον. λέγει
γὰρ ὁ κύριος ἐν τῇ ἀρχῇ τῆς νομοθεσίας·
ἐγὼ κύριος ὁ θεός σου ὁ ἐξαγαγών σε ἐκ γῆς αἰγύπτου·
οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. καὶ
πάλιν ἄκουε ἰσραήλ· κύριος ὁ θεός σου, κύριος εἷς ἐστι·

καὶ διὰ ἠσαΐου τοῦ προφήτου· ἐγὼ φησὶ θεὸς
πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα· καὶ πάλιν ἐμοῦ
οὐκ ἔστι θεὸς ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος
θεὸς καὶ μετ᾽ ἐμοῦ οὐκ ἔσται· καὶ πλὴν ἐμοῦ οὐκ ἔστιν.
καὶ ὁ χριστὸς ἐν τοῖς θείοις εὐαγγελίοις οὕτω φησὶ
πρὸς τὸν πατέρα· αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα
γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν· τοῖς δὲ
τῇ θείᾳ γραφῇ μὴ πειθομένοις, οὕτω διαλεξώ-
μεθα· τὸ θεῖον τέλειόν ἐστι καὶ ἀνελλιπές· κα-
τά τε ἀγαθότητα· κατά τε σοφίαν· κατά
τε δύναμιν· ἄναρχον· ἀτελεύτητον· ἀΐδιον·
ἀπερίγραπτον· καὶ ἁπλῶς εἰπεῖν κατὰ πάντα
τέλειον· εἰ οὖν πολλοὺς ἐροῦμεν θεούς, ἀνάγκη
διαφορὰν ἐν τοῖς πολλοῖς θεωρεῖσθαι· εἰ γὰρ
οὐδεμία διαφορὰ ἐν αὐτοῖς, εἷς μᾶλλόν ἐστι
καὶ οὐ πολλοί· εἰ δὲ διαφορὰ ἐν αὐτοῖς, ποῦ ἡ τε-
λειότης· εἴτε γὰρ κατὰ ἀγαθότητα εἴτε κατὰ
δύναμιν· εἴτε κατὰ σοφίαν· εἴτε κατὰ χρόνον·
εἴτε κατὰ τόπον ὑστερήσει τοῦ τελείου, οὐκ ἂν
εἴη θεός· ἡ δὲ διὰ πάντων ταυτότης, ἕνα μᾶλλον

δείκνυσιν ὅτι εἷς καὶ οὐ πολλοί· πῶς δὲ καὶ πολλοὶ
ὄντες τὸ ἀπερίγραπτον φυλαχθήσεται· ἔνθα
γὰρ ἂν εἴη ὁ εἷς, οὐκ ἂν εἴη ὁ ἕτερος· πῶς δὲ
καὶ ὑπὸ πολλῶν κυβερνηθήσεται ὁ κόσμος, καὶ
οὐ διαλυθήσεται καὶ διαφθαρήσεται, μάχης ἐν τοῖς
κυβερνῶσι θεωρουμένης· ἡ γὰρ διαφορὰ,
ἐναντίωσιν εἰσάγει· εἰ δὲ εἴποι τις ὅτι ἕκαστος
μέρους ἄρχει, τί τὸ τάξαν· καὶ τὴν διανομὴν
αὐτοῖς ποιησάμενον· ἐκεῖνος γὰρ ἂν εἴη μᾶλλον
θεός. εἷς τοίνυν ἐστὶ θεὸς τέλειος· ἀπερίγραπτος·
τοῦ παντὸς ποιητής· συνοχεύς τε καὶ κυ-
βερνήτης· ὑπερτελὴς καὶ προτέλειος. —

## + περὶ λόγου θεοῦ καὶ πνεύματος· —

θ' Οὗτος τοίνυν ὁ εἷς καὶ μόνος θεὸς, οὐκ ἄλογός ἐστι·
λόγον δὲ ἔχων οὐκ ἀνυπόστατον ἕξει· οὐκ
ἀρξάμενον τοῦ εἶναι· οὐδὲ παυσόμενον· οὐ γὰρ
ἦν ποτε ὅτε ἦν ὁ θεὸς ἄλογος· ἀεὶ δὲ ἔχει τὸν
ἑαυτοῦ λόγον, ἐξ αὐτοῦ γεννώμενον· οὐ κατὰ
τὸν ἡμέτερον λόγον ἀνυπόστατον καὶ εἰς ἀέρα
χεόμενον, ἀλλ᾽ ἐνυπόστατον ζῶντα τέλειον·

οὐχ ἔξω αὐτοῦ χωροῦντα· ἀλλ' ἐν αὐτῷ,
ἀνιόντα· τοῦ γὰρ εἶναι ἔξω αὐτοῦ γινόμενος·
ἐπειδὴ τὸ ἡ ἡμετέρα φύσις ἐπίκηρος καὶ
εὐδιάλυτος· διὰ τοῦτο καὶ ὁ λόγος ἡμῶν, ἐστὶν
ἀνυπόστατος· ὁ δὲ θεὸς ἀΐδιος ὤν. καὶ τέλειος ὤν,
τέλειον καὶ ἐνυπόστατον ἔχει τὸν ἑαυτοῦ λόγον·
καὶ ἀεὶ ὄντα καὶ ζῶντα καὶ πάντα ἔχοντα, ὅσα
ὁ γεννήτωρ ἔχει· ὥσπερ γὰρ ὁ ἡμέτερος λόγος
ἐκ τοῦ νοῦ προερχόμενος οὔτε δι' ὅλου ὁ αὐτὸς
ἐστὶ τῷ νῷ· οὔτε παντάπασιν ἕτερος· ἐκ τοῦ νοῦ
μὲν ὤν, ἄλλος ἐστὶ παρ' αὐτόν· αὐτὸν δὲ τὸν νοῦν
εἰς τοὐμφανὲς ἄγων οὐκέτι παντάπασιν,
ἕτερός ἐστι παρὰ τὸν νοῦν· ἀλλὰ κατὰ τὴν φύσιν
ἓν ὤν, ἕτερός ἐστι τῷ ὑποκειμένῳ, οὕτω καὶ ὁ τοῦ
θεοῦ λόγος· τῷ μὲν ὑφεστάναι καθ' ἑαυτὸν, διή-
ρηται πρὸς ἐκεῖνον παρ' οὗ τὴν ὑπόστασιν ἔχει·
τῷ δὲ ταῦτα δεικνύειν ἐν ἑαυτῷ ἃ περὶ τὸν
θεὸν καθορᾶται, ὁ αὐτός ἐστι κατὰ τὴν φύσιν ἐκείνου·
ὥσπερ γὰρ τὸ ἐν ἅπασι τέλειον ὑπὸ τοῦ πατρὸς
θεωρεῖται, οὕτω καὶ ἐπὶ τοῦ ἐξ αὐτοῦ θεω

+ περὶ τοῦ πνεύματος ἁγίου:—

ξ — ρηθήσεται ἐξ ἡγουμένου λόγου θεοῦ:—

Δεῖ δὲ τὸν λόγον καὶ πνεῦμα ἔχειν· καὶ γὰρ καὶ ὁ ἡμέτερος λόγος, οὐκ ἄμοιρός ἐστι πνεύματος· ἀλλ' ἐφ' ἡμῶν μὲν τὸ πνεῦμα ἀλλότριον τῆς ἡμετέρας ἐστὶν οὐσίας· τοῦ γὰρ ἀέρος ἐστὶν ὁλκὴ καὶ φορὰ· εἰσελκομένου καὶ προχεομένου πρὸς τὴν τοῦ σώματος σύστασιν· ὃ παρὰ τὸν καιρὸν τῆς ἐκφωνήσεως, φωνὴ τοῦ λόγου γίνεται, τὴν τοῦ λόγου δύναμιν ἐν ἑαυτῇ φανεροῦσα· ἐπὶ δὲ τῆς θείας φύσεως τῆς ἁπλῆς καὶ ἀσυνθέτου· τὸ μὲν εἶναι πνεῦμα θεοῦ, εὐσεβῶς ὁμολογητέον· διὰ τὸ μὴ εἶναι τὸν τοῦ θεοῦ λόγον ἐλλιπέστερον τοῦ ἡμετέρου λόγου· οὐκ εὐαγὲς δὲ εἰς ἀλλότριόν τι ἔξωθεν ἐπεισαγόμενον τῷ θεῷ τὸ πνεῦμα λογίζεσθαι· ὥσπερ καὶ ἐφ' ἡμῶν τῶν συνθέτων· ἀλλ' ὥσπερ θεοῦ λόγον ἀκούοντες, οὐκ ἀνυπόστατον οὐδὲ ἐκ μαθήσεως περιγινόμενον· οὐδὲ διὰ φωνῆς προφερόμενον· οὐδὲ εἰς ἀέρα χεόμενον καὶ λυόμενον ἐν ἡμῖν· ἀλλ' οὐσιωδῶς ὑφεστῶτα, προαιρετικόν τε καὶ ἐνεργὸν καὶ παντοδύναμον

οὕτως καὶ τὸ πνεῦμα μεμαθηκότες θεοῦ τὸ συμπαρομαρτοῦν τῷ λόγῳ καὶ φανεροῦν αὐτοῦ τὴν ἐνέργειαν, οὐ πνοὴν ἀνυπόστατον ἐννοοῦμεν· οὕτω γὰρ ἂν καθαιρεθείη πρὸς ταπεινότητα τὸ μεγαλεῖον τῆς θείας φύσεως, εἰ καθ᾽ ὁμοιότητα τοῦ ἡμετέρου πνεύματος, καὶ τὸ ἐν αὐτῷ πνεῦμα ὑπονοεῖται· ἀλλὰ δύναμιν οὐσιώδη αὐτὴν ἐφ᾽ ἑαυτῆς ἐν ἰδιαζούσῃ ὑποστάσει θεωρουμένην ἐκ τοῦ πατρὸς προερχομένην· καὶ ἐν τῷ λόγῳ ἀναπαυομένην· καὶ αὐτοῦ οὖσαν ἐκφαντικήν· οὔτε χωρισθῆναι τοῦ θεοῦ ἐν ᾧ ἐστὶ καὶ τοῦ λόγου· ᾧ συμπαρομαρτεῖ δυναμένην· οὔτε πρὸς τὸ ἀνύπαρκτον ἀναχεομένην· ἀλλὰ καθ᾽ ὁμοιότητα τοῦ λόγου καθ᾽ ὑπόστασιν οὖσαν· ζῶσαν· προαιρετικήν· αὐτοκίνητον· ἐνεργόν· πάντοτε τὸ ἀγαθὸν θέλουσαν· καὶ πρὸς πᾶσαν πρόθεσιν, σύνδρομον ἔχουσαν τῇ βουλήσει καὶ τὴν δύναμιν· μήτε ἀρχὴν ἔχουσαν, μήτε τέλος· οὐ γὰρ ἐπέλειψέ ποτε τῷ πατρὶ λόγος· οὔτε τῷ λόγῳ πνεῦμα· οὕτω διὰ μὲν τῆς κατὰ

φύσεως ἑνότητος, ἡ πολύθεος τῶν ἑλλήνων
ἐξαφανίζεται πλάνη· διὰ δὲ τῆς τοῦ
παραδοχῆς λόγου καὶ τοῦ πνεύματος, τῶν ἰουδαίων
καθαιρεῖται τὸ δόγμα· ἐξ ἑκατέρας τε αἱ-
ρέσεως, παραμένει τὸ χρήσιμον· ἐκ μὲν
τῆς ἰουδαϊκῆς ὑπολήψεως, ἡ τῆς φύσεως ἑ-
νότητος· ἐκ δὲ τοῦ ἑλληνισμοῦ, ἡ κατὰ τὰς
ὑποστάσεις διάκρισις μόνη· εἰ δὲ ἀντιλέγει ὁ
ἰουδαῖος πρὸς τὴν τοῦ λόγου παραδοχὴν
καὶ τοῦ πνεύματος, ὑπὸ τῆς θείας γραφῆς ἐλεγχέ-
σθω τε καὶ ἐπιστομιζέσθω· περὶ μὲν
τοῦ λόγου, φησὶν ὁ δαβίδ· εἰς τὸν αἰῶνα κύριε
ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ· καὶ πάλιν·
ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς·
λόγος δὲ προφορικὸς, οὐκ ἀποστέλλεται·
οὐδὲ εἰς τὸν αἰῶνα διαμένει· περὶ δὲ τοῦ
πνεύματος, ὁ αὐτὸς δαβίδ· ἐξαποστελεῖς τὸ
πνεῦμά σου καὶ κτισθήσονται· καὶ πάλιν· τῷ
λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν· καὶ τῷ πνεύ-
ματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις

αὐτῶν· καὶ ὁ ἰώβ· πνεῦμα θεῖον τὸ ποιῆσάν με·
πνοὴ δὲ παντοκράτορος ἡ συνέχουσά με·
πνεύματος δὲ ἀποστελλομένου καὶ ποιοῦντος καὶ στε-
ρεοῦντος καὶ συνέχοντος· οὐ καθάπερ ἐστὶ λυόμενον
ὥσπερ οὐδὲ σωματικοῦ μέλους τὸ τοῦ θεοῦ
στόμα· ἀμφότερα τῷ θεοπρεπῶς νοητέον:—

## + περὶ τῆς ἁγίας τριάδος:—

Πιστεύομεν τοιγαροῦν εἰς ἕνα θεόν· μίαν ἀρχήν, η:
ἄναρχον· ἄκτιστον· ἀγέννητον· ἀνώλεθρόν
τε καὶ ἀθάνατον· αἰώνιον· ἄπειρον· ἀπε-
ρίγραπτον· ἀπεριόριστον· ἀπειροδύναμον·
ἁπλῆν· ἀσύνθετον· ἀσώματον· ἄρρευστον·
ἀπαθῆ· ἄτρεπτον· ἀναλλοίωτον· ἀόρατον·
πηγὴν ἀγαθότητος καὶ δικαιοσύνης· φῶς
νοερόν· ἀπρόσιτον· δύναμιν οὐδενὶ μέτρῳ
γνωριζομένην· μόνῳ τῷ οἰκείῳ βουλήματι
μετρουμένην· πάντα τε ὅσα θέλει, δύναται·
πάντων κτισμάτων ὁρατῶν τε καὶ ἀοράτων
ποιητήν· πάντων συνεκτικὴν καὶ συντηρητικήν·
πάντων προνοητικήν· πάντων κρατοῦσαν

καὶ ἀρχούσας· καὶ βασιλευούσας ἀτελευτή-
τους καὶ ἀθανάτους βασιλείας· μηδὲν ἐν αὐ-
τοῖς ἐχούσας· πάντα πληρούσας· ὑπ' οὐδενὸς
περιεχομένας· αὐτὰς δὲ μᾶλλον περιεχούσας τὰ
σύμπαντα· καὶ συνεχούσας· καὶ προσεχούσας·
ἀλλ' ἀπαντῶς τε ὅλας οὐσίας ἐπιμματεύουσας
καὶ πάντων ἐπέκεινα· καὶ πάσης οὐσίας ἐξηρη-
μένας, ὡς ὑπερουσίου, καὶ ὑπὲρ τὰ ὄντα οὔσας,
ὑπερθέου· ὑπεραγάθου· ὑπερπληρεῖς· τὰς
ὅλας ἀρχὰς καὶ τάξεις ἀφορίζουσας· καὶ πάσης
ἀρχῆς καὶ τάξεως ὑπεριδρυμένην ὑπὲρ
οὐσίαν καὶ ζωὴν καὶ λόγον καὶ ἔννοιαν· αὐτοφῶς·
αὐτοαγαθότητα· αὐτοζωήν· αὐτοουσίαν·
ὡς μὴ παρ' ἑτέρου τὸ εἶναι ἔχουσαν· ἢ τι τῶν
ὅσα ἐστίν· αὐτὴν δὲ πηγὴν οὖσαν τοῦ εἶναι τοῖς
οὖσι· τοῖς ζῶσι τῆς ζωῆς· τοῖς λόγου με-
τέχουσι· τοῖς πᾶσι πάντων ἀγαθῶν αἰτίαν·
πάντα δὲ δύνασθαι εἰς γνῶσιν αὐτῶν· μίαν οὐσίαν·
μίαν θεότητα· μίαν δύναμιν· μίαν θέλησιν·
μίαν ἐνέργειαν· μίαν ἀρχήν· καὶ μίαν ἐξουσίαν·

καὶ τὰς κυριότητας· καὶ τὰς βασιλείας· ἐν
τρισὶ τελείαις ὑποστάσεσι· γνωριζομένην
τε καὶ προσκυνουμένην· καὶ αὖ προσκυνοῦσας·
πιστευομένην τε καὶ λατρευομένην ὑπὸ πάσης
λογικῆς κτίσεως ἀσυγχύτως ἡνωμένας καὶ
ἀδιαιρέτως διαιρουμένας· ὃ καὶ παράδοξον, εἰς
πατέρα υἱὸν καὶ ἅγιον πνεῦμα· εἰς ἃ καὶ βεβαπτίσμε-
θα· οὕτως ὁ Χριστὸς τοῖς ἀποστόλοις βαπτίζειν
ἐνετείλατο· βαπτίζοντες αὐτοὺς φάσκων,
εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου
πνεύματος· εἰς ἕνα πατέρα· τὴν πάντων ἀρχὴν καὶ
αἰτίαν· οὐκ ἔκ τινος γεννηθέντα· ἀναίτιον δὲ
καὶ ἀγέννητον μόνον ὑπάρχοντα· πάντων μὲν
ποιητήν· ἑνὸς δὲ μόνου πατέρα, φύσει τοῦ
μονογενοῦς αὐτοῦ· κυρίου δὲ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·
καὶ προβολέα τοῦ παναγίου πνεύματος· καὶ εἰς ἕνα
υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· τὸν
ἐκ τοῦ πατρὸς γεννηθέντα· ὁμοούσιον τῷ πατρί· δι' οὗ
τὰ πάντα ἐγένετο· πρὸ πάντων τῶν αἰώνων·
λέγοντες δεικνῦμεν ὅτι ἄχρονος καὶ ἄναρχος

αὐτοῦ ἡ γέννησις· οὔτε δὲ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ
εἶναι παρήχθη· ὁ υἱὸς τοῦ θεοῦ· τὸ ἀπαύγασμα
τῆς δόξης· ὁ χαρακτὴρ τῆς τοῦ πατρὸς ὑποστάσεως·
ἡ ζῶσα σοφία καὶ δύναμις· ὁ λόγος ὁ ἐνυπόστατος·
ἡ οὐσιώδης καὶ ζῶσα καὶ τελεία εἰκὼν τοῦ ἀοράτου
θεοῦ· ἀλλὰ ἀεὶ ἦν σὺν τῷ πατρὶ καὶ ἐν αὐτῷ ἀϊδίως
καὶ ἀνάρχως ἐξ αὐτοῦ γεγεννημένος· οὐ γὰρ ἦν ποτε
ὁ πατήρ, ὅτε οὐκ ἦν ὁ υἱός· ἀλλ' ἅμα πατήρ· ἅμα
υἱὸς ἐξ αὐτοῦ γεγεννημένος· πατὴρ γὰρ ἄνευ τοῦ
υἱοῦ, οὐκ ἂν κληθείη· εἰ δὲ ἦν μὴ ἔχων υἱόν,
οὐκ ἦν πατήρ· καὶ εἰ μετὰ ταῦτα ἔσχεν υἱόν, μετὰ ταῦτα
ἐγένετο πατήρ· μὴ ὢν πρὸ τούτου πατὴρ καὶ ἐτράπη
ἐκ τοῦ μὴ εἶναι πατήρ, εἰς τὸ γενέσθαι πατήρ· ὅ-
περ πάσης βλασφημίας ἐστὶ χαλεπώτερον· ἀ-
δύνατον γὰρ τὸν θεὸν εἰπεῖν ἔρημον τῆς φυσικῆς
γονιμότητος· ἡ δὲ γονιμότης, τὸ ἐξ αὐτοῦ·
ἤγουν ἐκ τῆς ἰδίας οὐσίας ὅμοιον κατὰ φύσιν
γεννᾶν· ἐπὶ μὲν τῆς τοῦ υἱοῦ γεννήσεως ἀ-
σεβὲς λέγειν χρόνον μεσιτεῦσαι· ἢ μετὰ
τὸν πατέρα τὴν τοῦ υἱοῦ γενέσθαι ὕπαρξιν·

ἐξ αὐτοῦ τὸ ἴδιον τῆς τοῦ πατρὸς φύσεως φαμὲν
τὴν τοῦ υἱοῦ γέννησιν. καὶ εἰ μὴ ἐξ ἀρχῆς δῶμεν
τὸν υἱὸν συνυπάρχειν τῷ πατρὶ ἐξ αὐτοῦ γεγεννη-
μένον, τροπὴν τῆς τοῦ πατρὸς ὑποστάσει παρει-
σάγομεν· ὅτι μὴ ὢν πατήρ, ὕστερον ἐγένετο πατήρ·
ἡ δὲ κτίσις, εἰ καὶ μετὰ ταῦτα γέγονεν, ἀλλ' οὐκ ἐκ
τῆς τοῦ θεοῦ οὐσίας· ἐκ δὲ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι
βουλήσει καὶ δυνάμει αὐτοῦ παρήχθη· καὶ οὐχ
ἅπτεται τροπὴ τῆς τοῦ θεοῦ φύσεως. γέννησις
μὲν γάρ ἐστι, τὸ ἐκ τῆς οὐσίας τοῦ γεννῶντος προά-
γεσθαι τὸ γεννώμενον, ὅμοιον κατ' οὐσίαν· κτίσις
δὲ καὶ ποίησις τὸ ἔξωθεν καὶ οὐκ ἐκ τῆς οὐσίας, τοῦ
κτίζοντος καὶ ποιοῦντος γίνεσθαι τὸ κτιζόμενον.
καὶ ποιούμενον ἀνόμοιον· παντελῶς ἐπὶ μὲν
τοῦ μόνου ἀπαθοῦς καὶ ἀναλλοιώτου καὶ ἀτρέπτου.
καὶ ἀεὶ ὡσαύτως ἔχοντος θεοῦ, καὶ τὸ γεννᾶν καὶ τὸ
κτίζειν ἀπαθές. φύσει γὰρ ὢν ἀπαθὴς, καὶ ἄρ-
ρευστος, ὡς ἁπλοῦς καὶ ἀσύνθετος, οὐ πέφυκεν
ὑπομένειν πάθος ἢ ῥεῦσιν, οὔτε ἐν τῷ γεννᾶν, οὔτε
ἐν τῷ κτίζειν· οὐδὲ τινὸς συνεργίας δεῖται·

ἀλλ' ἡ μὲν γέννησις ἄναρχος καὶ ἀΐδιος· φύσεως ἔργον οὖσα· καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προάγουσα· ἵνα μὴ τροπὴν ὁ γεννῶν ὑπομείνῃ· καὶ ἵνα μὴ θεὸς πρῶτος καὶ θεὸς ὕστερος ᾖ· καὶ προσθήκην δέξηται· ἡ δὲ κτίσις ἐπὶ θεοῦ θελήσεως ἔργον οὖσα· οὐ συναΐδιός ἐστι τῷ θεῷ· ἐπειδὴ οὐ πέφυκε τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγινόμενον· συναΐδιον εἶναι τῷ ἀνάρχως καὶ ἀεὶ ὄντι· ὥσπερ τοίνυν οὐχ ὁμοίως ποιεῖ ἄνθρωπος καὶ θεός· ὁ μὲν ἄνθρωπος οὐδὲν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγει· ἀλλ' ὅπερ ποιεῖ ἐκ προϋποκειμένης ὕλης ποιεῖ· οὐ θελήσας μόνον, ἀλλὰ προεπινοήσας καὶ ἐν τῷ νῷ ἀνατυπώσας τὸ γενησόμενον· εἶτα καὶ χερσὶν ἐργασάμενος· καὶ κόπον ὑπομείνας· καὶ κάματον· πολλάκις δὲ καὶ ἀστοχήσας μὴ ἀποβάντος καθὰ βούλεται τοῦ ἐπιτηδεύματος· ὁ δὲ θεὸς θελήσας μόνον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παρήγαγεν, οὕτως οὐδὲ ὁμοίως γεννᾷ θεὸς καὶ ἄνθρωπος· ὁ μὲν γὰρ θεὸς ἄχρονος ὢν καὶ ἄναρχος· καὶ ἀπαθής·

καὶ ἀρρεύστως· καὶ ἀσωμάτως· καὶ μόνος καὶ ἀτελευτήτως·
ἀχρόνως καὶ ἀνάρχως καὶ ἀπαθῶς καὶ ἀρρεύστως
γεννᾷ· ἐκτὸς συνδυασμοῦ· καὶ οὔτε ἀρχὴν ἔχει
ἡ ἀκατάληπτος αὐτοῦ γέννησις, οὐδὲ τέλος·
ἀνάρχως μὲν, διὰ τὸ ἄτρεπτον· ἀρρεύστως δὲ, διὰ
τὸ ἀπαθὲς καὶ ἀσώματον· ἐκτὸς δὲ συνδυ-
-ασμοῦ διὰ τὸ ἀσώματον· πάλιν καὶ ἕνα μόνον
θεὸν ἀπροσδεῆ ἑτέρου· ἀτελευτήτως δὲ
καὶ ἀκαταπαύστως, διά τε τὸ ἄναρχον· καὶ
ἄχρονον· καὶ ἀτελεύτητον· καὶ ἀεὶ ὡσαύτως ἔχειν·
τὸ γὰρ ἄναρχον ἀτελεύτητον· τὸ δὲ χάριτι
τελεύτητον, οὐ πάντως ἄναρχον· ὥσπερ οἱ
ἄγγελοι· γεννᾷ τοίνυν ὁ ἀεὶ ὢν θεὸς, τὸν ἑαυτοῦ
λόγον τέλειον ὄντα, ἀνάρχως καὶ ἀτελευτήτως·
ἵνα μὴ ἐν χρόνῳ γεννήσῃ ὁ χρόνου ἀνωτέραν
τὴν φύσιν ἔχων καὶ τὴν ὕπαρξιν· ὁ δὲ ἄνθρωπος
δῆλον, ὡς ἐναντίως γεννᾷ· ὑπὸ γένεσιν τελῶν
καὶ φθορὰν καὶ ῥεῦσιν καὶ πληθυσμόν· καὶ σῶμα περι-
κείμενος· ὧδε ἔχει τὸ ἄρρεν τῆς τοῦ θήλεος
βοηθείας· ἀλλ' ἵλεως εἴη ὁ πάντων ἐπέκεινα·

καὶ πᾶσαν ἀμυγόησιν καὶ κατάληψιν ὑπερκείμενος.
διδάσκει οὖν ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ
ἐκκλησία, ἅμα πατέρα· καὶ ἅμα τὸν μονογενῆ αὐτοῦ
υἱὸν ἐξ αὐτοῦ γεγεννημένον ἀχρόνως καὶ ἀρρεύστως
καὶ ἀπαθῶς καὶ ἀκαταλήπτως· ὡς μόνος ὁ τῶν
ὅλων οἶδε θεός. ὥσπερ τὸ ἅμα τὸ πῦρ καὶ ἅμα
τὸ ἐξ αὐτοῦ φῶς. καὶ οὐ πρῶτον τὸ πῦρ καὶ μετα-
ταῦτα τὸ φῶς, ἀλλ' ἅμα. καὶ ὥσπερ τὸ φῶς
ἐκ τοῦ πυρὸς γεννώμενον ἀεὶ ἐν αὐτῷ ἐστὶ μη-
δαμῶς αὐτοῦ χωριζόμενον, οὕτω καὶ ὁ υἱὸς ἐκ
τοῦ πατρὸς γεννᾶται· μηδαμῶς αὐτοῦ χω-
ριζόμενος, ἀλλ' ἀεὶ ἐν αὐτῷ ἐστίν. ἀλλὰ τὸ μὲν
φῶς ἐκ τοῦ πυρὸς γεννώμενον ἀχωρίστως.
καὶ ἐν αὐτῷ ἀεὶ μένον, οὐκ ἔχει ἰδίαν ὑπόστασιν
παρὰ τὸ πῦρ· ποιότης γάρ ἐστι φυσικὴ τοῦ
πυρός. ὁ δὲ υἱὸς τοῦ θεοῦ ὁ μονογενὴς ἐκ τοῦ πατρὸς
γεννηθεὶς ἀχωρίστως καὶ ἀδιαστάτως· καὶ ἐν αὐτῷ
μένων ἀεὶ ἔχει ἰδίαν ὑπόστασιν παρὰ τὴν τοῦ
πατρός. λόγος μὲν οὖν καὶ ἀπαύγασμα λέγεται.
διὰ τοῦ ἄνευ συνδυασμοῦ καὶ ἀπαθῶς

καὶ ἀχρόνως· καὶ ἀρρεύστως· καὶ ἀχωρίστως γε-
γεννῆσθαι ἐκ τοῦ πατρός· υἱὸς δὲ καὶ χαρακτὴρ
ὑποστάσεως, διὰ τὸ τέλειον καὶ ἐνυπόστατον·
καὶ κατὰ πάντα ὅμοιον τῷ πατρὶ εἶναι· πλὴν
τῆς ἀγεννησίας· μονογενὴς δέ, ὅτι μόνος ἐκ
μόνου τοῦ πατρός, μόνως ἐγεννήθη· οὐδὲ γὰρ ὁμοία
οὐδὲ ἑτέρα γέννησις τῇ τοῦ υἱοῦ τοῦ θεοῦ γεννήσει· καὶ
οὐδὲ γάρ ἐστιν ἄλλος υἱὸς τοῦ θεοῦ· καὶ γὰρ καὶ τὸ πνεῦμα τὸ
ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορεύεται, ἀλλ' οὐ γεννητῶς·
ἀλλ' ἐκπορευτῶς· ἄλλος τρόπος ὑπάρξεως οὗτος,
ἀκατάληπτος καὶ ἄγνωστος· ὥσπερ καὶ ἡ τοῦ υἱοῦ
γέννησις· διὸ καὶ πάντα ὅσα ἔχει ὁ πατήρ, αὐτοῦ
εἰσι· πλὴν τῆς ἀγεννησίας· ἥτις οὐ σημαίνει
οὐσίας διαφοράν· οὐδὲ ἀξίωμα· ἀλλὰ τρόπον
ὑπάρξεως· ὥσπερ καὶ ὁ Ἀδὰμ ἀγέννητος ὤν,
πλάσμα γάρ ἐστι τοῦ θεοῦ· καὶ ὁ Σὴθ, γεννητός· υἱὸς
γάρ ἐστι τοῦ Ἀδάμ· καὶ ἡ Εὔα ἐκ τῆς τοῦ Ἀδὰμ
πλευρᾶς ἐκπορευθεῖσα· οὐ γὰρ ἐγεννήθη
αὕτη, οὐ φύσει διαφέρουσιν ἀλλήλων· ἄνθρωποι
γάρ εἰσιν· ἀλλὰ τῷ τῆς ὑπάρξεως τρόπῳ·

χρὴ γὰρ εἰδέναι ὅτι ἀγένητον διὰ τοῦ ἑνὸς ν̄
γραφόμενον, τὸ ἄκτιστον ἤτοι τὸ μὴ γενό-
μενον σημαίνει· τὸ δὲ ἀγέννητον διὰ τῶν
δύο νν γραφομένων, δηλοῖ τὸ μὴ γεννηθέν·
κατὰ μὲν οὖν τὸ πρῶτον σημαινόμενον
διαφέρει οὐσία οὐσίας· ἄλλη γὰρ οὐσία ἡ ἄκτιστος
ἤτοι ἀγένητος δι᾽ ἑνὸς τοῦ ν̄· καὶ ἄλλη ἡ γενητή,
ἤτοι κτιστή· κατὰ δὲ τὸ δεύτερον σημαινό-
μενον, οὐ διαφέρει οὐσία, οὐσίας· πάντων
γὰρ εἰδῶν ζώων ἡ πρώτη ὑπόστασις, ἀγέν-
νητος ἐστὶν, ἀλλ᾽ οὐκ ἀγένητος· ἐκτίσθησαν μὲν
γὰρ ὑπὸ τοῦ δημιουργοῦ τῷ λόγῳ αὐτοῦ παρα-
χθέντα εἰς γένεσιν· οὐ μὴν ἐγεννήθησαν μὴ
προϋπάρχοντος ἑτέρου ὁμοειδοῦς ἐξ οὗ
γεννηθῶσι· κατὰ μὲν οὖν τὸ πρῶτον ση-
μαινόμενον κοινωνοῦσιν αἱ τρεῖς τῆς ἁγίας
θεότητος ὑπέρθεοι ὑποστάσεις· ὁμοούσιοι
γὰρ καὶ ἄκτιστοι ὑπάρχουσι· κατὰ δὲ τὸ δεύτερον
σημαινόμενον οὐδαμῶς· μόνος γὰρ ὁ πατὴρ
ἀγέννητος· οὐ γὰρ ἐξ ἑτέρας ἐστὶν αὐτῷ ὑπο-

-στάσεως τὸ εἶναι· καὶ μόνος ὁ υἱὸς γεννητός,
ἐκ τῆς τοῦ πατρὸς οὐσίας ἀνάρχως· καὶ
ἀχρόνως γεγέννηται· καὶ μόνον τὸ πνεῦμα τὸ
ἅγιον ἐκπορευτὸν ἐκ τῆς οὐσίας τοῦ πατρός·
οὐ γεννώμενον, ἀλλ' ἐκπορευόμενον· οὕτω
μανθάνων τῆς θείας διδασκούσης γραφῆς·
ὁ δὲ τρόπος τῆς γεννήσεως καὶ τῆς ἐκπο-
-ρεύσεως ἀκατάληπτος ὑπάρχει· καὶ τοῦτο
δὲ ἰστέον ὡς οὐκ ἐξ ἡμῶν μετηνέχθη ἐπὶ τὴν
μακαρίαν θεότητα, τὸ τῆς πατρότητος
καὶ υἱότητος καὶ ἐκπορεύσεως ὄνομα· τοὐναντίον
δὲ ἐκεῖθεν ἡμῖν μετεδόθη, ὥς φησιν ὁ θεῖος
ἀπόστολος· διὰ τοῦτο κάμπτω τὰ γόνατά μου
πρὸς τὸν πατέρα· ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς,
καὶ ἐπὶ γῆς· εἰ δὲ λέγομεν τὸν πατέρα ἀρχὴν εἶναι
τοῦ υἱοῦ καὶ μείζονα· οὐ προτερεύειν αὐτὸν τοῦ
υἱοῦ ἢ χρόνῳ ἢ φύσει ὑποφαίνομεν· δι' αὐτοῦ γὰρ
τοὺς αἰῶνας ἐποίησεν· οὐδὲ καθ' ἕτερόν τι,
εἰ μὴ κατὰ τὸ αἴτιον· τουτέστιν ὁ υἱὸς ἐκ τοῦ
πατρὸς ἐγεννήθη· καὶ οὐχ ὁ πατὴρ ἐκ τοῦ υἱοῦ· καὶ ὅτι

ὁ πατὴρ, αὐτὸς ἐστὶ τοῦ υἱοῦ φυσικῶς. ὥσπερ
οὐκ ἐκ τοῦ φωτὸς τὸ πῦρ φαμὲν προέρ-
χεσθαι, ἀλλὰ τὸ φῶς μᾶλλον ἐκ τοῦ πυρός.
ὅτε δ' ἀκούωμεν ἀρχὴν καὶ μείζονα τοῦ υἱοῦ
τὸν πατέρα, τὸ αἴτιον νοήσωμεν. καὶ ὥσπερ
οὐ λέγομεν ἑτέρας οὐσίας τὸ πῦρ καὶ ἑτέρας
τὸ φῶς, οὕτως οὐχ οἷόν τε φάναι ἑτέρας
οὐσίας τὸν πατέρα καὶ τὸν υἱὸν ἑτέρας. ἀλλὰ
μιᾶς καὶ τῆς αὐτῆς. καθάπερ φαμὲν διὰ
τοῦ ἐξ αὐτοῦ προερχομένου φωτὸς φαίνειν
τὸ πῦρ. καὶ οὐ τιθέμεθα ὄργανον ὑπουρ-
γικὸν εἶναι τοῦ πυρὸς τὸ ἐξ αὐτοῦ φῶς.
δύναμιν δὲ μᾶλλον φυσικήν, οὕτω λέγομεν
τὸν πατέρα, πάντα ὅσα ποιεῖ διὰ τοῦ
μονογενοῦς υἱοῦ αὐτοῦ ποιεῖ. οὐχ ὡς δι' ὀρ-
γάνου λειτουργικοῦ, ἀλλὰ φυσικῆς καὶ
ἐνυποστάτου δυνάμεως. καὶ ὥσπερ λέγομεν
τὸ πῦρ φωτίζειν. καὶ πάλιν φαμὲν τὸ φῶς
τοῦ πυρὸς φωτίζειν, οὕτω πάντα ὅσα
ποιεῖ ὁ πατήρ, ὁμοίως καὶ ὁ υἱὸς ποιεῖ. ἀλλὰ

τὸ μὲν φῶς, οὐκ ἰδίαν ὑπόστασιν παρὰ
τὸ πῦρ κέκτηται· ὁ δὲ υἱός, τελεία ὑπό-
στασίς ἐστι τῆς πατρικῆς ἀχωρίστως ὑποστάσε-
ως ἅμα τῷ βίῳ προσθήσομεν· ἀδύνατον
δὲ εὑρεθῆναι ἐν τῇ κτίσει εἰκόνα ἀπαρ-
άλλακτον ἐν αὐτῇ τοῦ τρόπου τῆς ἁγίας
τριάδος, παραδεικνύουσαν αὐτήν· τὸ δὲ κτι-
στὸν καὶ σύνθετον καὶ ῥευστὸν καὶ τρεπτὸν καὶ περι-
γραπτόν· καὶ σχῆμα ἔχον καὶ φθαρτόν, πῶς
σαφῶς δηλώσει τὴν πάντων τούτων ἀπηλ-
λαγμένην ἑτεροούσιον θείαν οὐσίαν· πᾶσα
δὲ ἡ κτίσις ὅτι δῆλον ὡς τοῖς πλείοσι τούτων
ἐνέχεται· καὶ πᾶσα κατὰ τὴν ἑαυτῆς φύσιν,
τῇ φθορᾷ ὑπόκειται· ὁμοίως πιστεύομεν καὶ
εἰς ἓν πνεῦμα ἅγιον· τὸ κύριον καὶ ζωοποιόν·
τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον· καὶ ἐν υἱῷ
ἀναπαυόμενον· τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσ-
κυνούμενον καὶ συνδοξαζόμενον· ὡς ὁμοού-
σιόν τε καὶ συναΐδιον· τὸ τοῦ θεοῦ πνεῦμα· τὸ
εὐθές· τὸ ἡγεμονικόν· τὴν πηγὴν τῆς ζωῆς

καὶ τοῦ ἁγιασμοῦ· θεὸν σὺν πατρὶ καὶ υἱῷ, ὑπάρχον
καὶ προσαγορευόμενον· ἄκτιστον· πλῆρες·
δημιουργόν· παντοκρατορικόν· παντουρ-
γόν· παντοδύναμον· ἀπειροδύναμον· δε-
σπόζον πάσης κτίσεως· οὐ δεσποζόμενον·
θεοῦν, οὐ θεούμενον· πληροῦν, οὐ πληρού-
μενον· μετεχόμενον, οὐ μετέχον· ἁγιάζον,
οὐχ ἁγιαζόμενον· + κατὰ πάντα ὅμοιον,

+ παράκλητον, ὡς τὰς πάντων παρακλήσεις δεχόμενον·

τῷ πατρὶ καὶ τῷ υἱῷ· ἐκ τοῦ πατρὸς ἐκπορευόμενον,
καὶ δι' υἱοῦ μεταδιδόμενον· καὶ μεταλαμβανό-
μενον ὑπὸ πάσης κτίσεως· καὶ δι' ἑαυτοῦ κτί-
ζον· καὶ οὐσιοῦν τὰ πάντα· καὶ ἁγιάζον καὶ συνέ-
χον ἐνυπόστατον· ἤτοι ἐν ἰδίᾳ ὑποστάσει ὑπάρχον·
ἀχώριστον καὶ ἀνεκφοίτητον πατρὸς καὶ υἱοῦ· καὶ
πάντα ἔχον, ὅσα ἔχει ὁ πατὴρ καὶ ὁ υἱός· πλὴν
τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως· ὁ
γὰρ πατὴρ, ἀναίτιος καὶ ἀγέννητος· οὐ γὰρ ἔκ τινος·
ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχει· οὐδέ τι τῶν ὅσα
ἔχει· αὐτὸς δὲ μᾶλλον ἐστὶν ἀρχὴ καὶ αἰτία
τοῦ εἶναι· καὶ τοῦ πῶς εἶναι φυσικῶς τοῖς

πατήρ· ὁ δὲ υἱός, ἐκ τοῦ πατρὸς γεννητῶς·
τὸ δὲ πνεῦμα τὸ ἅγιον, καὶ αὐτὸ μὲν ἐκ τοῦ πατρός,
ἀλλ' οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς. καὶ ὅτι
μὲν ἐστι διαφορὰ γεννήσεως καὶ ἐκπορεύσεως,
μεμαθήκαμεν· τίς δὲ ὁ τρόπος τῆς δια-
φορᾶς, οὐδαμῶς. ἅμα δὲ καὶ ἡ τοῦ υἱοῦ ἐκ τοῦ
πατρὸς γέννησις· καὶ ἡ τοῦ ἁγίου πνεύματος ἐκπο-
ρευσις. πάντα τοίνυν ὅσα ἔχει ὁ υἱὸς καὶ τὸ
πνεῦμα, ἐκ τοῦ πατρὸς ἔχει· καὶ αὐτὸ τὸ εἶναι. καὶ
εἰ μὴ ὁ πατήρ ἐστιν, οὐδὲ υἱός ἐστιν, οὐδὲ τὸ πνεῦμα.
καὶ εἰ μὴ ὁ πατὴρ ἔχει τι, οὐδὲ ὁ υἱὸς ἔχει, οὐδὲ
τὸ πνεῦμα. καὶ διὰ τὸν πατέρα· τουτέστι διὰ τὸ
εἶναι τὸν πατέρα, ἔστι καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα. καὶ
διὰ τὸν πατέρα ἔχει ὁ υἱὸς καὶ τὸ πνεῦμα πάντα
ἃ ἔχει· τουτέστι διὰ τὸ τὸν πατέρα ἔχειν αὐτά.
πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως,
καὶ τῆς ἐκπορεύσεως. ἐν ταύταις γὰρ μόναις
ταῖς ὑποστατικαῖς ἰδιότησι διαφέρουσιν
ἀλλήλων, αἱ ἅγιαι τρεῖς ὑποστάσεις, οὐ κατ' οὐσίαν·
τῷ δὲ χαρακτηριστικῷ τῆς οἰκείας ὑποστάσεως

ἀδιαιρέτως διαιρουμένας· φαμὲν δὲ ἕκαστον
τῶν τριῶν, τελείαν ἔχειν ὑπόστασιν· ἵνα
μὴ ἐκ τριῶν ἀτελῶν, μίαν σύνθετον φύσιν
τελείαν γνωρίσωμεν· ἀλλ' ἐν τρισὶ τελείαις ὑπο-
στάσεσι, μίαν ἁπλῆν οὐσίαν ὑπερτελῆ καὶ
προτέλειον· πᾶν γὰρ τὸ ἐξ ἀτελῶν συγκείμενον,
σύνθετον πάντως ἐστίν· ἐκ δὲ τελείων ὑπο-
στάσεων, ἀδύνατον σύνθετον γενέσθαι· ὅθεν
οὐδὲ λέγομεν τὸ εἶδος ἐξ ὑποστάσεων· ἀλλ'
ἐν ὑποστάσεσιν· ἀτελῶν δὲ εἴπομεν τῶν μὴ
σωζόντων τὸ εἶδος τοῦ ἐξ αὐτῶν ἀποτε-
λουμένου πράγματος· λίθος μὲν γὰρ καὶ ξύλον
καὶ σίδηρος· ἕκαστον καθ' ἑαυτό, τέλειόν ἐστι
κατὰ τὴν ἰδίαν φύσιν· πρὸς δὲ τὸ ἐξ αὐτῶν ἀ-
ποτελούμενον οἴκημα, ἀτελὲς ἕκαστον
αὐτῶν ὑπάρχει· οὐδὲ γὰρ ἕκαστον αὐτῶν
καθ' ἑαυτό, οἶκος. τελείας μὲν οὖν τὰς ὑποστάσεις
φαμὲν, ἵνα μὴ σύνθεσιν ἐπὶ τῆς θείας νοήσωμεν
φύσεως· σύνθεσις γὰρ ἀρχὴ διαστάσεως· καὶ πάλιν ἐν
ἀλλήλαις τὰς τρεῖς ὑποστάσεις λέγομεν·

ἵνα μὴ πλῆθος καὶ δῆμον θεῶν εἰσαγάγωμεν·
διὰ μὲν τῶν τριῶν ὑποστάσεων, τὸ ἀσύνθετον
καὶ ἀσύγχυτον· διὰ δὲ τοῦ ὁμοουσίου καὶ ἐν ἀλλήλαις
εἶναι τὰς ὑποστάσεις καὶ τῆς ταυτότητος, τοῦ
θελήματός τε καὶ τῆς ἐνεργείας καὶ τῆς δυνάμεως·
καὶ τῆς ἐξουσίας καὶ τῆς κινήσεως· ἵν' οὕτως
εἴπω τὸ ἀδιαίρετον· καὶ τὸ εἶναι ἕνα θεὸν γνωρί-
ζομεν· εἷς γὰρ ὄντως θεὸς ὁ θεὸς καὶ ὁ λόγος καὶ τὸ
πνεῦμα αὐτοῦ· χρὴ δὲ εἰδέναι ὅτι ἕτερόν ἐστι τὸ
πράγματι θεωρεῖσθαι· καὶ ἄλλο τὸ λόγῳ καὶ ἐπι-
νοίᾳ· ἐπὶ μὲν οὖν τῶν κτισμάτων πάντων·
ἡ μὲν τῶν ὑποστάσεων διαίρεσις, πράγματι
θεωρεῖται· πράγματι γὰρ ὁ Πέτρος τοῦ Παύλου
κεχωρισμένος θεωρεῖται· ἡ δὲ κοινότης καὶ ἡ
συνάφεια, καὶ τὸ ἕν, λόγῳ καὶ ἐπινοίᾳ θεωρεῖται·
νοοῦμεν γὰρ τῷ νῷ, ὅτι ὁ Πέτρος καὶ ὁ Παῦλος
τῆς αὐτῆς εἰσὶ φύσεως· καὶ κοινὴν μίαν ἔχουσι φύσιν·
ἕκαστος γὰρ αὐτῶν ζῷόν ἐστι λογικὸν θνητόν· καὶ ἕκαστος,
σάρξ ἐστιν ἐμψυχωμένη ψυχῇ λογικῇ τε καὶ νοερᾷ·
αὕτη οὖν ἡ κοινὴ φύσις, τῷ λόγῳ ἐστὶ θεωρητή·

οὐδὲ τὰς ὑποστάσεις ἐν ἀλλήλαις εἶναι· ἰδίᾳ
δὲ ἑκάστην καὶ ἀνὰ μέρος ἤγουν καθ' ἑαυτὴν κε-
χωρίσθαι· πλεῖστα δὲ τὰ διαιροῦντα αὐτὴν
ἐκ τῆς ἑτέρας ἔχουσαν· καὶ γὰρ τόπῳ διεστήκασι·
καὶ χρόνῳ διαφέρουσι· καὶ γνώμῃ μερίζονται· καὶ
ἰσχύϊ καὶ μορφῇ· ἤγουν σχήματι καὶ ἕξει· καὶ κράσει
καὶ ἀξίᾳ, καὶ ἐπιτηδεύματι· καὶ πᾶσι τοῖς χα-
ρακτηριστικοῖς ἰδιώμασι· πλέον δὲ πάντων
τῷ μὴ ἐν ἀλλήλαις ἀλλὰ κεχωρισμένως
εἶναι· ὅθεν καὶ δύο καὶ τρεῖς ἄνθρωποι λέγονται, καὶ πολλοί·
τοῦτο δὲ καὶ ἐπὶ πάσης ἔστιν ἰδεῖν τῆς κτίσεως·
ἐπὶ δὲ τῆς ἁγίας καὶ ὑπερουσίου καὶ πάντων
ἐπέκεινα· καὶ ἀλήπτου τριάδος, τὸ [illegible]
ἐκεῖνο τὸ μὲν κοινὸν καὶ ἓν πράγματι θεωρεῖται·
διά τε τὸ συναΐδιον, καὶ τὸ ταὐτὸν τῆς οὐσίας
καὶ τῆς ἐνεργείας, καὶ τοῦ θελήματος καὶ τὴν τῆς
γνώμης σύμπνοιαν τήν τε τῆς ἐξουσίας καὶ
τῆς δυνάμεως καὶ τῆς ἀγαθότητος τὴν
ταυτότητα· οὐκ εἶπον ὁμοιότητα, ἀλλὰ
ταυτότητα· καὶ τὸ ἓν ἔξαλμα τῆς κινήσεως·

μία ἀϊδιότης· μία ἀγαθότης· μία δύναμις·
μία θέλησις· μία ἐνέργεια· μία ἐξουσία·
μία καὶ ἡ αὐτή· οὐ τρεῖς ὅμοιαι ἀλλήλαις· ἀλλὰ
μία καὶ ἡ αὐτὴ κίνησις τῶν τριῶν ὑποστάσεων·
ἓν γὰρ ἕκαστον αὐτῶν ἔχει πρὸς τὸ ἕτερον· οὐχ ἧττον
ἢ πρὸς ἑαυτό· τουτέστιν ὅτι κατὰ πάντα ταὐτόν ἐστιν
ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα· πλὴν τῆς ἀγεννη-
σίας καὶ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως·
ἐπινοίᾳ δὲ, τὸ διῃρημένον· ἕνα γὰρ θεὸν γινώ-
σκομεν· ἐν μόναις δὲ ταῖς ἰδιότησι τῆς τε
πατρότητος καὶ τῆς υἱότητος καὶ τῆς ἐκπορεύσεως·
κατά τε αἴτιον καὶ αἰτιατὸν, καὶ τὸ τέλειον τῆς
ὑποστάσεως· ἤτοι τὸν τῆς ὑπάρξεως τρόπον,
τὴν διαφορὰν ἐννοοῦμεν· οὔτε γὰρ τοπικὴν διάστασιν
ὥσπερ ἐφ' ἡμῶν δυνάμεθα ἐπὶ τῆς ἀπεριγράπτου
λέγειν θεότητος· ἐν ἀλλήλαις γὰρ αἱ ὑποστάσεις
εἰσίν, οὐχ ὥστε συγχεῖσθαι· ἀλλ' ὥστε ἔχεσθαι
κατὰ τὸν τοῦ κυρίου λόγον· ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ
ἐν ἐμοὶ φήσαντος· οὔτε θελήματος διαφορὰν
ἢ γνώμης· ἢ ἐνεργείας· ἢ δυνάμεως· ἢ τινος

ἑτέρου. ἀπείμαι τὴν πρακτικὴν καὶ ἐξ ὅλου
ἐν ὑμῖν γιγνώσκειν διαίρεσιν· διὸ οὐδὲ τρεῖς
θεοὺς λέγομεν τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον
πνεῦμα· ἕνα δὲ μᾶλλον θεὸν τὴν ἁγίαν τριάδα·
εἰς ἓν αἴτιον υἱοῦ καὶ πνεύματος ἀναφερομένων·
οὐ συντιθεμένων· οὐδὲ συναλειφομένων,
κατὰ τὴν σαβελλίου συναίρεσιν· ἑνοῦνται
γὰρ ὡς ἔφημεν, οὐκ εἰς σύγχυσιν· ἀλλ'
ὥστε ἔχεσθαι ἀλλήλων· καὶ τὴν ἐν ἀλλήλαις
περιχώρησιν ἔχουσι, δίχα πάσης συνα-
λοιφῆς καὶ συμφύρσεως· οὐδὲ ἐξαλλάσσονται
ἢ κατ' οὐσίαν τέμνονται, κατὰ τὴν ἀρείου
διαίρεσιν· ἀμέριστος γὰρ ἐν μεμερισμένοις
εἰ δεῖ συντόμως εἰπεῖν, ἡ θεότης· καὶ οἷον,
ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων καὶ ἀδι-
αστάτοις οὖσι· μία τοῦ φωτὸς σύγκρασίς τε
καὶ συνάφεια· ὅταν μὲν οὖν πρὸς τὴν θεότητα
βλέψωμεν· καὶ τὴν πρώτην αἰτίαν καὶ
τὴν μοναρχίαν· καὶ τὸ ἓν καὶ ταὐτὸν τῆς θεό-
τητος, ἵν' οὕτως εἴπω κίνημά τε καὶ

βούλημα· καὶ τὴν τῆς οὐσίας καὶ δυνάμεως ἀμετ-
καὶ ἐνεργείας καὶ κινήσεως ταυτότητα, ὡς
ἡ μὲν τὸ φανταζόμενον· ὅταν δὲ πρὸς τὴν
ἔννοιαν ἡ θεότης· ἢ τὸ ἐξ ἀρχῆς κατὰ δρόμον ἀπείρων
αὐ ἡ θεότητος· καὶ τὰ ἐκ τῆς πρώτης αἰτίας
ἀχρόνως ἐκεῖθεν ὄντα· καὶ ὁμοδόξως· καὶ αὐ
διαστατά· τουτέστι τῶν ὑποστάσεων, τρεῖς τὰ
προσκυνούμενα· ὁ μὲν πατὴρ ὁ πατὴρ, καὶ ἄναρχος·
τουτέστιν ἀναίτιος· οὐ γὰρ ἔκ τινος· ὁ δὲ υἱὸς
ὁ υἱός, καὶ οὐκ ἄναρχος· τουτέστιν οὐκ ἀναίτιος·
ἐκ τοῦ πατρὸς γάρ· εἰ δὲ τὴν ἀπὸ χρόνου λάβοις
ἀρχὴν, καὶ ἄναρχος· ποιητὴς γὰρ χρόνων οὐχ ὑπὸ
χρόνων· ὡς πνεῦμα ἅγιον, τὸ πνεῦμα· προϊὸν μὲν
ἐκ τοῦ πατρός, οὐχ υἱικῶς δέ, ἀλλ' ἐκπορευτῶς·
οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας, διότι
γεγέννηκεν, οὔτε τοῦ υἱοῦ τῆς γεννήσεως,
ὅτι ἐκ τοῦ ἀγεννήτου· ἀλλὰ γὰρ οὔτε τοῦ πνεύματος,
ἢ εἰς πατέρα μεταπίπτοντος, ἢ εἰς υἱὸν ὅτι ἐκπε-
πόρευται· καὶ ὅτι θεός· ἢ τὰ ἰδιότητος ἀκίνητα·
ἢ πῶς ἂν ἰδιότης μένοι κινουμένη καὶ μετα-

C. iii.

πέπονθεν· ἔστιν υἱὸς ὁ πατήρ, οὐ πατὴρ κυρίως·
ἔστι κυρίως πατήρ· καὶ εἰ πατὴρ οὐχ υἱός, οὐχ υἱός·
υἱός· ἔστι κυρίως υἱός· καὶ τὸ πνεῦμα ἅγιον·
χρὴ γινώσκειν ὅτι τὸν πατέρα, οὐ λέγομεν ἔκ τινος·
λέγομεν δὲ αὐτὸν τοῦ υἱοῦ πατέρα· τὸν δὲ υἱόν, οὐ
λέγομεν αἴτιον, οὐδὲ πατέρα· λέγομεν δὲ αὐτόν,
καὶ ἐκ τοῦ πατρὸς καὶ υἱὸν τοῦ πατρός· τὸ δὲ πνεῦμα τὸ
ἅγιον, καὶ ἐκ τοῦ πατρὸς λέγομεν καὶ πνεῦμα πατρὸς ὀ-
νομάζομεν· ἐκ τοῦ υἱοῦ δὲ τὸ πνεῦμα τὸ ἅγιον,
οὐ λέγομεν· πνεῦμα δὲ υἱοῦ ὀνομάζομεν· εἴ τις τὸ
πνεῦμα χριστοῦ οὐκ ἔχει φησὶν ὁ θεῖος ἀπόστολος.
καὶ δι' υἱοῦ πεφανερῶσθαι καὶ μεταδίδοσθαι ἡμῖν
ὁμολογοῦμεν· ἐνεφύσησε γὰρ καὶ εἶπε τοῖς μα-
θηταῖς αὐτοῦ· λάβετε πνεῦμα ἅγιον· ὥσπερ
ἐκ τοῦ ἡλίου μὲν ἡ ἀκτὶς καὶ ἡ ἔλλαμψις·
αὐτὸς γάρ ἐστιν ἡ πηγὴ τῆς ἀκτῖνος καὶ τῆς ἐλ-
λάμψεως· διὰ δὲ τῆς ἀκτῖνος ἡμῖν καὶ
ἔλλαμψις μεταδίδοται· καὶ αὐτή ἐστιν ἡ φω-
τίζουσα ἡμᾶς καὶ μετεχομένη ὑφ' ἡμῶν·
τὸν δὲ υἱόν, οὔτε τοῦ πνεύματος λέγομεν, οὔτε μὴν

## [illegible]:- περὶ τῶν ἐπὶ θεοῦ λεγομένων:- θ

Τὸ θεῖον, ἁπλοῦν ἐστὶ καὶ ἀσύνθετον· τὸ δὲ ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον, σύνθετον. εἰ οὖν τὸ ἄκτιστον, καὶ ἄναρχον, καὶ ἀσώματον, καὶ ἀθάνατον, καὶ αἰώνιον, καὶ ἀγαθὸν, καὶ δημιουργικὸν, καὶ τὰ τοιαῦτα, οὐσιώδεις διαφορὰς εἴπομεν ἐπὶ θεοῦ· ἐκ τοσούτων συγκείμενον, οὐχ ἁπλοῦν ἔσται, ἀλλὰ σύνθετον· ὅπερ ἐσχάτης ἀσεβείας ἐστί. χρὴ τοίνυν ἕκαστον τῶν ἐπὶ θεοῦ λεγομένων, οὐ τί κατ' οὐσίαν ἐστὶ σημαίνειν οἴεσθαι· ἀλλ' ἢ τί οὐκ ἔστι δηλοῦν· ἢ σχέσιν τινὰ πρός τι τῶν ἀντιδιαστελλομένων· ἢ τι τῶν παρεπομένων τῇ φύσει· ἢ ἐνέργειαν. δοκεῖ μὲν οὖν κυριώτερον πάντων τῶν ἐπὶ θεοῦ λεγομένων ὀνομάτων εἶναι, ὁ ὤν· καθὼς αὐτὸς χρηματίζων τῷ Μωϋσῇ ἐπὶ τοῦ ὄρους φησίν· εἰπὲ τοῖς υἱοῖς Ἰσραήλ, ὁ ὢν ἀπέσταλκέ με. ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι· οἷόν τι πέλαγος,

οὐσίας ἄπειρον καὶ ἀόριστον· ὡς δὲ ὁ ἅγιος
φησὶ Διονύσιος, ὁ ἀγαθός· οὐ γὰρ ἔστιν εἰπεῖν
περὶ θεοῦ πρότερον τὸ εἶναι, καὶ τότε τὸ ἀγαθόν.
δεύτερον δέ, τὸ θεὸς ὄνομα, ὃ λέγεται ἢ ἐκ τοῦ
θέειν καὶ περιέπειν τὰ πάντα· ἢ ἐκ τοῦ αἴ-
θειν ὅ ἐστι καίειν· ὁ γὰρ θεὸς πῦρ καταναλίσκον
πᾶσαν κακίαν ἐστίν· ἢ ἀπὸ τοῦ θεᾶσθαι τὰ
πάντα· ἀλάθητος γὰρ ἐστὶ καὶ πάντων ἐπόπτης.
ἐθεάσατο γὰρ τὰ πάντα, πρὶν γενέσεως
αὐτῶν· ἀχρόνως ἐννοήσας, καὶ ἕκαστον, κατὰ
τὴν θελητικὴν αὐτοῦ ἄχρονον ἔννοιαν· ἥτις ἐστὶ
προορισμὸς καὶ εἰκὼν καὶ παράδειγμα ἐν
τῷ προορισθέντι καιρῷ γίνεται. τὸ μὲν οὖν
πρότερον, αὐτοῦ τοῦ εἶναι παραστατικόν ἐστι
καὶ οὐ τοῦ τί εἶναι· τὸ δὲ δεύτερον, ἐνεργείας.
τὸ δὲ ἄναρχον, καὶ ἄφθαρτον· καὶ ἀγέννητον.
ἤτοι ἄκτιστον· καὶ ἀσώματον· καὶ ἀόρατον·
καὶ τὰ τοιαῦτα, τί οὐκ ἔστι δηλοῖ· τουτέστιν
ὅτι οὐκ ἤρξατο τοῦ εἶναι· οὐδὲ φθείρεται.

οὐδὲ ἐκτίσθαι· οὐδὲ ἐξίσωμαι· οὐδὲ ὁρᾶσθαι. τὸ δὲ ἀγαθὸν, καὶ δίκαιον, καὶ ὅσιον, καὶ τὰ τοιαῦτα, παρέπονται τῇ φύσει· οὐκ αὐτὴν δὲ τὴν οὐσίαν δηλοῖ. τὸ δὲ κύριος, καὶ βασιλεὺς καὶ τὰ τοιαῦτα, σχέσιν πρὸς τὰ ἀντιδιαστελλόμενα δηλοῖ· τῶν γὰρ κυριευομένων, λέγεται κύριος· τῶν δὲ βασιλευομένων, βασιλεύς· καὶ τῶν δημιουργουμένων, δημιουργός· καὶ τῶν ποιμαινομένων, ποιμήν. Πάντα μὲν οὖν ταῦτα, κοινῶς ἐπὶ πάσης τῆς θεότητος ἐκληπτέον καὶ ταυτῶς καὶ ἁπλῶς καὶ ἀμερίστως καὶ ἡνωμένως: —

## περὶ θείων ὀνομάτων διακεκριμένων: —

Διακεκριμένως δὲ, τὸ πατὴρ καὶ τὸ υἱὸς καὶ τὸ πνεῦμα. καὶ τὸ ἀναίτιον. καὶ αἰτιατόν. καὶ τὸ ἀγέννητον. καὶ τὸ γεννητόν. καὶ ἐκπορευτόν· ἅπερ οὐκ οὐσίας δηλωτικὰ, ἀλλὰ τῆς πρὸς ἄλληλα σχέσεως, καὶ τοῦ τῆς ὑπάρξεως τρόπου. ταῦτα οὖν εἰδότες. καὶ ἐκ τούτων ἐπὶ τὴν θείαν οὐσίαν χειραγωγούμενοι, οὐκ αὐτὴν τὴν οὐσίαν καταλαμβάνομεν· ἀλλὰ τὰ περὶ τὴν οὐσίαν.

ὥσπερ οὐδὲ ἐὰν ἔγνωμεν ὅτι ἡ ψυχὴ ἀσώ-
ματός ἐστι· καὶ ἄποσος· καὶ ἀσχημάτιστος, ἤδη
καὶ τὴν οὐσίαν αὐτῆς κατειλήφαμεν· οὐδὲ τοῦ
σώματος ἐὰν γνῶμεν, ὅτι λευκὸν ἢ μέ-
λαν ἐστίν, ἀλλὰ τὰ περὶ τὴν οὐσίαν· ὁ δὲ ἀλη-
θὴς λόγος διδάσκει, ἁπλοῦν εἶναι τὸ θεῖον·
καὶ μίαν ἁπλῆν ἔχειν ἐνέργειαν ἀγαθήν· πᾶσι
πάντα ἐνεργοῦσαν κατὰ τὴν τοῦ ἡλίου ἀ-
κτῖνα· ἥτις πάντα θάλπει, καὶ ἐν ἑκάστῳ
κατὰ τὴν φυσικὴν ἐπιτηδειότητα, καὶ
δεκτικὴν δύναμιν, ἐνεργεῖ· ἐκ τοῦ δημιουρ-
γήσαντος θεοῦ τὴν τοιαύτην εἰληφυῖα ἐνέργειαν·
διακέκριται δὲ καὶ ὅσα τῆς θείας καὶ φιλανθρώπου
τοῦ θεοῦ λόγου σαρκώσεως· ἐν τούτοις
γὰρ οὔτε ὁ πατήρ, οὔτε τὸ πνεῦμα κατ' οὐδένα
λόγον κεκοινωνήκασιν, εἰ μὴ κατ' εὐδοκίαν, καὶ
κατὰ τὴν ἄρρητον θαυματουργίαν· ἣν καθ'
ἡμᾶς ἄνθρωπος ὁ θεὸς λόγος γενόμενος, εἰργάζετο
ὡς ἀναλλοίωτος θεός· καὶ θεοῦ υἱός: —

+ Περὶ τῶν σωματικῶς ἐπὶ θεοῦ λεγομένων:

Ἐπειδὴ πλεῖστα περὶ θεοῦ σωματικῶν ὅρων ια
ἐν τῇ θείᾳ γραφῇ, συμβολικῶς εἰρημένα
εὑρίσκομεν, εἰδέναι χρή· ὡς ἀνθρώπους ὄντας
ἡμᾶς. καὶ τὸ παχὺ τοῦτο σαρκίον περικει-
μένους, τὰς θείας καὶ ὑψηλὰς καὶ ἀΰλους τῆς
θεότητος τῆς ὑπερ ἐνεργείας νοεῖν ἢ λέγειν ἀδύνατον,
εἰ μὴ εἰκόσι καὶ τύποις καὶ συμβόλοις τοῖς
καθ' ἡμᾶς χρησόμεθα· ὅσα τοίνυν περὶ
θεοῦ σωματικῶν ὅρων εἴρηται, συμβολικῶς
ἐστὶ λελεγμένα· ἔχει δέ τινα ὑψηλοτέραν
διάνοιαν· ἁπλοῦν γὰρ τὸ θεῖον καὶ ἀσχημάτιστον.
ὀφθαλμοὺς μὲν οὖν θεοῦ καὶ βλέφαρα καὶ ὅρασιν,
τὴν τῶν ἁπάντων ἐποπτικὴν δύναμιν
αὐτοῦ, καὶ τὸ ἀλάθητον τῆς αὐτοῦ γνώσεως
ἐννοήσωμεν· ἀπὸ τοῦ παρ' ἡμῖν διὰ ταύτης
τῆς αἰσθήσεως τελειοτέραν γνῶσιν τε καὶ
πληροφορίαν ἐγγίνεσθαι. ὦτα δὲ καὶ ἀκοὴν
τὸ ἐξίλεων τὸ εὐήκοον αὐτοῦ καὶ τῆς ἡμετέρας δε-
ήσεως δεκτικόν· καὶ γὰρ ἡμεῖς τοῖς τὰς ἱκε-
σίας ποιουμένοις, διὰ ταύτης τῆς ἀγαθ...

εὐμενεῖς γινόμεθα γνησίῳ τρόπῳ αὐτοῖς
τὸ οὖς ἐπικλίνουσι· στόμα δὲ καὶ λαλιὰν,
τὸ ἐνδεικτικὸν τῆς βουλήσεως αὐτοῦ·
ἐκ τοῦ παρ' ἡμῖν διὰ στόματος καὶ λαλιᾶς ση-
-μαίνεσθαι τὰ ἐγκάρδια νοήματα· βρῶσιν
τε καὶ πόσιν, τὴν ἡμετέραν πρὸς τὸ αὐτοῦ θέ-
-λημα συνδρομήν· καὶ ἡμεῖς διὰ τῆς
γευστικῆς αἰσθήσεως, τὴν τῆς φύσεως
ἀναπληροῦμεν ἀναγκαίαν ὄρεξιν· ὄσφρησιν
δὲ, τὸ ἀποδεκτικὸν τῆς πρὸς αὐτὸν ἡμῶν
ἐννοίας τε καὶ εὐνοίας· καὶ ἐκ τοῦ παρ' ἡμῖν διὰ
τῆς αἰσθήσεως, τὴν τῆς εὐωδίας ἀπο-
δοχὴν ἐπιγίνεσθαι· πρόσωπον δὲ, τὴν δι' ἔργων
αὐτοῦ ἔνδειξίν τε καὶ ἐμφάνειαν· ἐκ τοῦ τὴν
ἡμετέραν ἐμφάνειαν διὰ προσώπου
γίνεσθαι· χεῖρας δὲ, τὸ ἀνυστικὸν τῆς ἐνερ-
-γείας αὐτοῦ· καὶ ἐπειδὴ ἡμεῖς τὰ χρειώδη καὶ
μάλιστα τὰ τιμιώτερα, διὰ τῶν οἰκεί-
ων κατορθοῦμεν χειρῶν· δεξιὰν δὲ, τὴν ἐπὶ
τοῖς ἁγίοις αὐτοῦ βοήθειαν· ἐκ τοῦ καὶ

ἡμᾶς μᾶλλον ἐπὶ τῶν εὐσχημονεστέρων·
καὶ τιμιωτέρων καὶ πλείστης ἰσχύος δεομένων,
τῇ δεξιᾷ κεχρῆσθαι. ψηλάφησιν δὲ, τὴν
ἄχρι περιστέρων αὐτῶν καὶ τῶν λίαν λεπτῶν τε
καὶ κρυπτῶν, διάγνωσίν τε καὶ εἰς πρᾶξιν ἐκ
τῶν παρ᾽ ἡμῖν μηνύεσθαι τοῖς ψηλαφω-
-μένοις ὑφ᾽ ἑαυτοῖς τι κρυπτόν. πόδας δὲ καὶ
περιπάτησιν, τὴν πρὸς ἐπικουρίαν τῶν δεο-
-μένων ἢ ἐχθρῶν ἄμυναν. ἢ ἄλλην τινὰ πρᾶξιν
ἔλευσίν τε καὶ πορείαν ἐκ τοῦ παρ᾽ ἡμῖν μὲν διὰ τῆς
τῶν ποδῶν χρήσεως ἀποτελεῖσθαι τὴν ἄφιξιν.
ὅρκον δὲ, τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ.
ἐκ τοῦ παρ᾽ ἡμῖν δι᾽ ὅρκου τὰς πρὸς ἀλλήλους
βεβαιοῦσθαι συνθήκας. ὀργὴν δὲ καὶ θυμὸν, τὴν
πρὸς τὴν κακίαν ἀπέχθειάν τε καὶ ἀποστροφήν.
καὶ ἐπεὶ καὶ ἡμεῖς τοῖς ἐναντίοις τῆς γνώμης
μισοῦντας, ὀργιζόμεθα. λήθην δὲ καὶ ὕπνον
καὶ νυσταγμὸν, τὴν ὑπέρθεσιν τῆς κατὰ τῶν
ἐχθρῶν ἀμύνης. καὶ τὴν τῆς συνήθους πρὸς
τοὺς οἰκείους βοήθειαν καὶ ἀμέλειαν. καὶ αὐτῶν

εἰπεῖν πάντα ταῦτα τὰ σωματικῶς ἀρχὴν μὴ
ἐπὶ θεοῦ, κεχρημένων ἔχει τὴν αὐτὴν ἔννοιαν,
ἐκ τῶν καθ' ἡμᾶς τὰ ὑπὲρ ἡμᾶς ἐκδιδά-
σκουσιν· ἡ μέντοι ἐπὶ τῆς σωματικῆς τοῦ
θεοῦ λόγου ἐπιδημίας εἰρημένη· αὐτὸς γὰρ πάντα τὰ
τοῦ ἀνθρώπου διὰ τὴν ἡμετέραν σωτηρίαν ἐδέξατο·
ψυχὴν νοερὰν καὶ σῶμα· καὶ τὰ τῆς ἀνθρωπίνης
φύσεως ἰδιώματα· τά τε φυσικὰ καὶ ἀδι-
άβλητα πάθη:— ἔτι περὶ τῶν αὐτῶν:—

ιβ Ταῦτα μὲν οὖν ἐκ τῶν ἱερῶν μεμυήμεθα λογί-
ων, ὡς ὁ θεῖος ἔφη Διονύσιος ὁ Ἀρεοπαγίτης·
ὅτι ὁ θεὸς, πάντων τῶν ὄντων αἰτία καὶ ἀρχή· τῶν
ὄντων, οὐσία· τῶν ζώντων, ζωή· τῶν
λογικῶν ὄντων, λόγος· τῶν νοερῶν ὄντων,
νοῦς· καὶ τῶν μὲν ἀποπιπτόντων αὐτῆς,
ἀνάκλησίς τε καὶ ἀνάστασις· τῶν δὲ κατα-
φθειρόντων, τὸ κατὰ φύσιν, ἀνακαινισμὸς
καὶ ἀναμόρφωσις· τῶν κινουμένων κατά
τινα ἀνίερον σάλον, ἵδρυσις ἱερά· καὶ τῶν
ἑστηκότων ἀσφάλεια· καὶ τῶν ἐπ' αὐτὴν

ἀνισταμένων, ὁ διδοὺς καὶ ἀναστατικὴν χειρα-
γωγίαν· προσθήσω δὲ ὅτι καὶ τῶν ὑπ' αὐτοῦ
πεποιημένων, πατήρ· κυρίως τῶν ὄντων ὁ θεὸς
ἡμῶν ἐστὶ πατήρ· ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι
παραγαγὼν, ἢ οἱ γεννήσαντες· οἳ ἐξ αὐτοῦ
καὶ τὸ εἶναι καὶ τὸ γεννᾶν εἰληφότες· τῶν ἑπο-
μένων καὶ ὑπ' αὐτοῦ ποιμαινομένων, ποιμήν·
τῶν φωτιζομένων, ἔλλαμψις· τῶν τελου-
μένων τελεταρχία· τῶν θεουμένων,
θεαρχία· τῶν διεστώτων εἰρήνη· καὶ τῶν
ἁπλουμένων, ἁπλότης· καὶ τῶν ἑνιζομένων
ἑνότης· ἀρχῆς ἁπάσης ὑπερούσιος καὶ ὑπε-
ράρχιος ἀρχή· καὶ τοῦ κρυφίου ἤτοι τῆς αὐτοῦ
γνώσεως κατὰ τὸ θεμιτὸν καὶ ἐφικτὸν ἑκάστῳ,
ἀγαθὴ μετάδοσις:— Περὶ τόπου θεοῦ· καὶ
ὅτι μόνον τὸ θεῖον ἀπερίγραπτον:— ιγ

Τόπος ἐστὶ σωματικὸς πέρας τοῦ περιέχοντος
καθὸ περιέχεται, τὸ περιεχόμενον· οἷον,
ὁ ἀὴρ, περιέχει· τὸ δὲ σῶμα περιέχεται·
οὐχ ὅλος δὲ, ὁ περιέχων ἀὴρ τόπος ἐστὶ τοῦ

περιεχομένου σώματος, ἀλλὰ τὸ πέρας
τοῦ περιέχοντος ἀέρος, τὸ ἐφαπτόμενον
τοῦ περιεχομένου σώματος· πάντως δὲ
ὅτι τὸ περιέχον, οὐκ ἔστιν ἐν τῷ περιεχομένῳ·
ἔστι δὲ καὶ νοητὸς τόπος, ἔνθα νοεῖται· καὶ ἔστιν
ἡ νοητὴ καὶ ἀσώματος φύσις· ἔνθα πάρεστι
καὶ ἐνεργεῖ, καὶ οὐ σωματικῶς περιέχεται,
ἀλλὰ νοητῶς· οὐ γὰρ ἔχει σχῆμα ἵνα σωματικῶς
περισχεθῇ· ὁ μὲν οὖν θεὸς ἄϋλος ὢν καὶ ἀπερί-
γραπτος, ἐν τόπῳ οὐκ ἔστιν· αὐτὸς γὰρ ἑαυτοῦ
τόπος ἐστὶ· τὰ πάντα πληρῶν, καὶ ὑπὲρ τὰ
πάντα ὢν, καὶ αὐτὸς συνέχων τὰ πάντα·
λέγεται δὲ ἐν τόπῳ εἶναι, καὶ λέγεται τόπος
θεοῦ, ἔνθα ἔκδηλος ἡ ἐνέργεια αὐτοῦ γίνεται·
αὐτὸς μὲν γὰρ διὰ πάντων, ἀμιγῶς διήκει·
καὶ πᾶσι μεταδίδωσι τῆς ἑαυτοῦ ἐνεργείας,
κατὰ τὴν ἑκάστου ἐπιτηδειότητα, καὶ δεκτι-
κὴν δύναμιν· φημὶ δὴ τήν τε φυσικὴν καὶ
προαιρετικὴν καθαρότητα· καθαρώ-
τερα γὰρ τὰ ἄϋλα τῶν ὑλικῶν· καὶ τὰ ἐνά-

-ρεται τῶν κακίαις συνεζευγμένων. λέγεται
τοιγαροῦν θεοῦ τόπος, ὁ πλέον μετέχων
τῆς ὠφελείας καὶ τῆς χάριτος αὐτοῦ. διὰ-
τοῦτο ὁ οὐρανὸς αὐτοῦ, θρόνος. ἐν αὐτῷ γάρ εἰσιν
οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ ἄγγελοι.
καὶ ἀεὶ δοξάζοντες αὐτόν. αὕτη γὰρ αὐτῶν ἀνά-
παυσις. καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν
αὐτοῦ. ἐν αὐτῇ γὰρ διὰ σαρκὸς τοῖς ἀνθρώποις συνα-
νεστράφη. πόδας δὲ θεοῦ, καὶ ἁγίαν σάρκα αὐτοῦ
διαφόρως ὠνόμασαν. λέγεται δὲ καὶ ἐκκλησία
τόπος αὐτοῦ θεοῦ. ταύτην γὰρ εἰς δοξολογίαν αὐτοῦ
ὥσπερ τι τέμενος ἀφωρίσαμεν. καὶ ἐν ᾧ τὰς
πρὸς αὐτὸν ἐντεύξεις ποιούμεθα. ὁμοίως
καὶ οἱ τόποι ἐν οἷς ἐκδήλως ἡμῖν ἡ αὐτοῦ ὠφέλεια.
ἤτοι διὰ σαρκὸς, ἤτοι ἀσωμάτως γέγονε, τό-
ποι θεοῦ λέγονται. ἰστέον δὲ ὅτι τὸ θεῖον, ἀμε-
ρές ἐστιν ὅλον. ὅλως πανταχοῦ ὄν, καὶ οὐ μέρος
ἐν μέρει σωματικῶς διαιρούμενον. ἀλλ' ὅλον ἐν
πᾶσι. καὶ ὅλον ὑπὲρ τὸ πᾶν. ὁ δὲ ἄγγελος,
σωματικῶς μὲν ἐν τόπῳ, οὐ περιέχεται.

D. η.

ὡς τετυποῦσθαι καὶ σχηματίζεσθαι· ὅμως
λέγεται εἶναι ἐν τόπῳ· διὰ τὸ παρεῖναι νοητῶς
καὶ ἐνεργεῖν κατὰ τὴν ἑαυτοῦ φύσιν· καὶ μὴ εἶναι
ἀλλαχοῦ, ἀλλ' ἐκεῖσε νοητῶς περιγράφεσθαι·
ἔνθα καὶ ἐνεργεῖ· οὐ γὰρ δύναται κατὰ ταυτὸν
ἐν διαφόροις τόποις ἐνεργεῖν· μόνου γὰρ θεοῦ ἐστὶ
τὸ πανταχοῦ· καὶ κατὰ ταυτὸν ἐνεργεῖν· ὁ μὲν
γὰρ ἄγγελος, τάχει φύσεως καὶ τῷ ἑτοίμως
ἤγουν ταχέως μεταβαίνειν, ἐνεργεῖ ἐν διαφόροις
τόποις· τὸ δὲ θεῖον πανταχοῦ ὂν, καὶ ὑπὲρ
τὸ πᾶν, πανταχῇ κατὰ τὸ αὐτὸ, διαφόρως
ἐνεργεῖ· μιᾷ καὶ ἁπλῇ ἐνεργείᾳ· ἡ δὲ ψυχὴ,
συνδέδεται τῷ σώματι ὅλη ὅλῳ· καὶ οὐ μέρος
μέρει· καὶ οὐ περιέχεται ὑπ' αὐτοῦ, ἀλλὰ περι-
έχει αὐτὸ, ὡς πῦρ σίδηρον· καὶ ἐν αὐτῷ οὖσα
τὰς οἰκείας ἐνεργείας ἐνεργεῖ· περιγραπτὸν
μέν ἐστι, τὸ, τόπῳ· ἢ χρόνῳ· ἢ καταλήψει
περιλαμβανόμενον· ἀπερίγραπτον δὲ,
τὸ μηδενὶ τούτων περιεχόμενον· ἀπερί-
γραπτον οὖν ἐστὶ μόνον τὸ θεῖον· ἄναρχον ὂν

καὶ ἀτελεύτητον· καὶ πάντα περιέχον καὶ μηδε-
μιᾷ καταλήψει περιεχόμενον· μόνον γὰρ
ἀκατάληπτον· καὶ ἀόριστον ὑπ' οὐδενὸς γινω-
σκόμενον· αὐτὸ δὲ μόνον ἑαυτοῦ θεωρητικόν·
ὁ δὲ ἄγγελος καὶ χρόνῳ περιγράφεται· καὶ ἐξ ἀρχῆς
τοῦ εἶναι καὶ τόπῳ εἰ καὶ νοητῶς, ὥσπερ ἀνωτέρω εἴπομεν
καταλήψει· ἀλλήλων γὰρ τὴν φύσιν ἴσασί πως·
καὶ ὑπὸ τοῦ κτίστου ὁρίζονται τέλεον· τὰ δὲ
σώματα καὶ ἀρχῇ καὶ τέλει καὶ τόπῳ σωματικῷ
καὶ καταλήψει· ἄτρεπτον οὖν παντελῶς τὸ θεῖον
καὶ ἀναλλοίωτον· πάντα γὰρ τὰ ἐν τῇ προγνώσει αὐτοῦ
οὐκ ἐφ' ἡμῖν προώρισεν· ἕκαστον κατὰ τὸν ἴδιον
καὶ πρέποντα καιρὸν καὶ τόπον· κατὰ τοῦτο ὁ
πατὴρ οὐδένα κρίνει· τὴν δὲ κρίσιν πᾶσαν δέ-
δωκε τῷ υἱῷ· ἔκρινε γὰρ ὁ πατὴρ δηλονότι καὶ ὁ
υἱὸς ὡς θεός· καὶ τὸ πνεῦμα τὸ ἅγιον· αὐτὸς δὲ ὁ υἱὸς,
ὡς ἄνθρωπος σωματικῶς καταβήσεται· καὶ καθί-
σει ἐπὶ θρόνου δόξης· σωματικοῦ γὰρ τὸ περιγραπτὸν
ἡ καταβασία τε καὶ ἡ καθέδρα· καὶ κρινεῖ πᾶσαν
τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· πάντα

D. m.

ἀπέχει θεοῦ· οὐ τόπῳ, ἀλλὰ φύσει· ἐπὶ
ἡμῶν, φρόνησις καὶ σοφία καὶ βουλὴ ὡς
ἕξις συμβαίνει καὶ ἀποχωρεῖ, οὐ μὴν ἐπὶ
θεοῦ· ἐπ' αὐτοῦ γὰρ οὐδὲν γίνεται καὶ ἀπογίνεται·
ἀναλλοίωτος γάρ ἐστι καὶ ἄτρεπτος· καὶ οὐ χρὴ συμ-
βεβηκὸς ἐπ' αὐτοῦ λέγειν· τὸ ἀγαθὸν ὁ θεὸς
σύνδρομον ἔχει τῇ οὐσίᾳ· ὁ ἐπιθυμῶν
ἀεὶ τοῦ θεοῦ, οὗτος ὁρᾷ αὐτόν· ἐν πᾶσι γάρ ἐστιν
ὁ θεός· τοῦ γὰρ ὄντος ἐξῆπται τὰ ὄντα· καὶ οὐκ
ἔστιν εἶναί τι, εἰ μὴ ἐν τῷ ὄντι τὸ εἶναι ἔχει·
ὅτι πᾶσι μὲν ἐγκέκραται ὁ θεὸς ὡς συνέχων
τὴν φύσιν· τῇ δὲ ἁγίᾳ αὐτοῦ σαρκὶ ὁ θεὸς λόγος,
καθ' ὑπόστασιν ἡνώθη, καὶ κατεμίχθη ἀσυγ-
χύτως πρὸς τὸ ἡμέτερον· οὐδεὶς ὁρᾷ τὸν
πατέρα, εἰ μὴ ὁ υἱὸς καὶ τὸ πνεῦμα· βούλησις γὰρ καὶ
σοφία καὶ δύναμις, ὁ υἱός ἐστι τοῦ πατρός· οὐ χρὴ
γὰρ λέγειν ἐπὶ θεοῦ ποιότητα, ἵνα μὴ σύνθετον
αὐτὸν ἀποφαινώμεθα ἐξ οὐσίας καὶ ποιότητος·
ὁ υἱός, ἐκ τοῦ πατρός ἐστι, καὶ πάντα ὅσα ἔχει
ἐξ αὐτοῦ ἔχει· διὸ οὐ δύναται ἀφ' ἑαυτοῦ

ποιεῖν οὐδέν· οὐ γὰρ ἔχει ἰδίαν ἀξίωσιν ἀνθρωπείαν
παρὰ τοῦ πατρός· ὁ τῇ φύσει ἀόρατος ὢν ὁ θεός·
ὁρατὸς γὰρ ἀνθρωπείαις γίνεται ἐκ τῆς τοῦ
κόσμου συστάσεως, καὶ τῆς ἀναγεννήσεως γινωσκόμενος·
ἀρχὴν τοῦ πατρός, ὁ υἱός· καὶ υἱοῦ τοῦ πνεύματος· διὰ τοῦ
χριστοῦ ἐν οἰκείῳ αἵματι, δίδωσιν αὐτοῖς τὸ κατεί-
χομεν· θεοῦ τὸ πνεῦμα τὸ ἅγιον· μέσον τοῦ ἀγεννήτου
καὶ τοῦ γεννητοῦ· καὶ διὰ υἱοῦ τῷ, πατρὶ σῶμα ἀπτόμενον·
πνεῦμα θεοῦ λέγεται· πνεῦμα χριστοῦ· νοῦς χριστοῦ· πνεῦμα κυρίου·
αὐτοκύριος· πνεῦμα υἱοθεσίας· ἀληθείας· ἐλευ-
θερίας· σοφίας· καὶ τὸ ποιητικὸν τούτων
ἁπάντων· πάντα τὰ ὄντα πληροῦν· πάντα
συνέχον· πληρωτικὸν κόσμου κατὰ τὴν οὐσίαν·
ἀχώρητον κόσμῳ κατὰ τὴν δύναμιν· θεοῦ δὲ ὁ ὅρος θεοῦ
ἀΐδιος οὐσία καὶ ἀπαράλλακτος· δημιουργική
τῶν ὄντων· εὐσεβεῖ συνειδήσει προσκυ-
νουμένη· θεοῦ δὲ καὶ πατρὸς ὤν, ἀγέννητος ὡς μὴ
ἐκ τινὸς γεννηθείς· γεννήσας δὲ υἱὸν συναΐδιον·
θεοῦ δὲ καὶ υἱὸς ἦν· ὁ ὢν ἀεὶ σὺν τῷ πατρὶ ἀχρόνως·
καὶ ἀϊδίως· καὶ ἀρρεύστως· καὶ ἀπαθῶς· καὶ

D. m.

ἀδιαστάτως· ἐξ αὐτοῦ γεγεννημένος· θεὸς· τὸ
πνεῦμα τὸ ἅγιόν ἐστι· δύναμις ἁγιαστικὴ ἐνυ-
πόστατος· ἐκ τοῦ πατρὸς ἀδιαστάτως ἐκπο-
ρευομένη καὶ ἐν υἱῷ ἀναπαυομένη· ὁμοούσιον
πατρὶ καὶ υἱῷ. λόγος ἐστὶν, ὁ οὐσιωδῶς τῷ πατρὶ
ἀεὶ συμπαρών· λόγος πάλιν ἐστὶ, καὶ ἡ φυσικὴ
τοῦ νοῦ κίνησις· καθ᾽ ἣν κινεῖται καὶ νοεῖ καὶ
λογίζεται· οἱονεὶ φῶς αὐτοῦ ὢν καὶ ἀπαύγασμα·
λόγος πάλιν ἐστὶν, ὁ ἐνδιάθετος· ὁ ἐν καρδίᾳ
λαλούμενος· καὶ πάλιν λόγος ἐστὶ, ἄγγελος νο-
ήματος· ὁ μὲν οὖν θεὸς λόγος, οὐσιώδης τέ
ἐστι καὶ ἐνυπόστατος· οἱ δὲ λοιποὶ τρεῖς λόγοι,
δυνάμεις εἰσὶ τῆς ψυχῆς· οὐκ ἐν ἰδίᾳ
ὑποστάσει θεωρούμενοι· ὧν ὁ μὲν πρῶτος,
τοῦ νοῦ φυσικόν ἐστι γέννημα· ἐξ αὐτοῦ ἀεὶ
φυσικῶς πηγαζόμενον· ὁ δεύτερος δὲ, λέγεται
ἐνδιάθετος· ὁ δὲ τρίτος προφορικός· τὸ
πνεῦμα νοεῖται πολλαχῶς· τὸ ἅγιον πνεῦμα·
λέγονται δὲ καὶ αἱ δυνάμεις τοῦ πνεύματος τοῦ ἁγίου,
πνεύματα· πνεῦμα καὶ ὁ ἄγγελος ὁ ἀγαθός· πνεῦμα

καὶ ὁ δαιμόνων· πνεῦμα καὶ ἡ ψυχή· ἔστι δὲ ὅτε καὶ ὁ νοῦς,
πνεῦμα λέξεως τοῦ· πνεῦμα καὶ ὁ ἄνεμος· πνεῦμα καὶ ὁ ἀήρ:-

+ τὰ ἰδιώματα τῆς θείας φύσεως:- ιδ

Τὸ ἄκτιστον, καὶ ἄναρχον· τὸ ἀθάνατον καὶ ἀπέραντον·
καὶ αἰώνιον· τὸ ἄϋλον· τὸ ἀγαθόν· τὸ δημιουρ-
γικόν· τὸ δίκαιον· τὸ φωτιστικόν· τὸ ἄτρεπτον·
τὸ ἀπαθές· τὸ ἀπερίγραπτον· τὸ ἀχώρητον·
τὸ ἀόριστον· τὸ ἀπεριόριστον· τὸ ἀσώματον·
τὸ ἀόρατον· τὸ ἀπερινόητον· τὸ ἀνενδεές·
τὸ αὐτοκρατές, καὶ αὐτεξούσιον· τὸ παντοκρα-
τορικόν· τὸ ζωοποιητικόν· τὸ παντοδύναμον·
τὸ ἁγιαστικόν, καὶ μεταδοτικόν· τὸ περιέχειν
καὶ συνέχειν τὰ σύμπαντα· καὶ πάντων προνο-
εῖσθαι, ταῦτα πάντα καὶ τὰ τοιαῦτα, φύσει
ἔχει οὐκ ἄλλοθεν λαβοῦσα· ἀλλ' αὐτὴ μεταδιδοῦσα,
παντὸς ἀγαθοῦ τοῖς οἰκείοις ποιήμασι, κατὰ
τὴν ἑκάστου δεκτικὴν δύναμιν· ἡ ἐν ἀλλήλαις τῶν
ὑποστάσεων, μονή τε καὶ ἵδρυσις· ἀδιάστατοι γὰρ
αὗται καὶ ἀνεκφοίτητοι εἰσὶν ἀλλήλων· ἀσύγχυτον
ἔχουσαι τὴν ἐν ἀλλήλαις περιχώρησιν· οὐχ ὥστε

συναλείφεσθαι, ἀλλ' ὥστε ἔχεσθαι ἀλλήλων·
υἱὸς ἐν τῷ πατρὶ, καὶ πνεύματι· καὶ τὸ πνεῦμα ἐν πατρὶ καὶ υἱῷ· καὶ
πατὴρ ἐν υἱῷ καὶ πνεύματι· μηδεμιᾶς γινομένης συνα-
λοιφῆς, ἢ συμφύρσεως, ἢ συγχύσεως· καὶ τὸ
ἓν καὶ ταὐτὸν τῆς κινήσεως· ἓν γὰρ ἔξαλμα· καὶ μία
κίνησις τῶν τριῶν ὑποστάσεων· ὅπερ ἐπὶ
τῆς κτιστῆς φύσεως θεωρηθῆναι, ἀδύνατον.
καὶ ἡ θεία ἔλλαμψις καὶ ἐνέργεια, μία οὖσα
καὶ ἁπλῆ καὶ ἀμερής· καὶ ἀγαθοειδῶς ἐν τοῖς
μεριστοῖς ποικιλλομένη· καὶ τοῖς πᾶσι τὰ
τῆς οἰκείας φύσεως συστατικὰ νέμουσα,
μένει ἁπλῆ. πληθυνομένη μὲν, ἐν τοῖς μεριστοῖς
ἀμερίστως· καὶ τὰ μεριστὰ πρὸς τὴν ἑαυτῆς
ἁπλότητα, συνάγουσα καὶ ἐπιστρέφουσα· πάντα
γὰρ αὐτῆς ἐφίεται· καὶ ἐν αὐτῇ ἔχει τὴν ὕπαρξιν.
καὶ αὐτὴ τοῖς πᾶσι τὸ εἶναι καθὼς ἔχει φύσεως
μεταδίδωσι. καὶ αὐτή ἐστι τῶν ὄντων τὸ εἶναι·
καὶ τῶν ζώντων, ἡ ζωή· καὶ τῶν λογικῶν ὄντων,
ὁ λόγος· καὶ τῶν νοερῶν ὄντων, ἡ νόησις· αὐτὴ
ὑπὲρ νόησιν οὖσα καὶ ὑπὲρ λόγον· καὶ ὑπὲρ ζωήν·

καὶ ὑπερούσιον· ἐπειδὴ καὶ τὸ διὰ πάντων
διήκειν ἀμιγῶς ὥς φησιν αὐτὸς δὲ οὐδέν· ἐπειδὴ
καὶ τὸ ἁπλῇ γνώσει, γινώσκειν τὰ πάντα·
καὶ πάντα τῷ θείῳ καὶ παντεπόπτῃ καὶ
ἀΰλῳ αὐτοῦ ὄμματι, ἁπλῶς καθορᾶν
τά τε ἐνεστῶτα, τά τε παρεληλυθότα,
καὶ τὰ μέλλοντα, πρὶν γενέσεως αὐτῶν· τὸ ἀνα-
-μάρτητον τὸ ἀφιέναι ἁμαρτίας + καὶ ὅτι πάντα + καὶ σώζειν
μὲν ὅσα θέλει δύναται· οὐχ ὅσα δὲ δύναται
θέλει· δύναται γὰρ ἀπολέσαι τὸν κόσμον,
οὐ θέλει δέ. — περὶ αἰῶνος :~ ιε
Αὐτὸς τοὺς αἰῶνας ἐποίησεν ὁ ὑπάρχων
πρὸ τῶν αἰώνων· περὶ οὗ φησιν ὁ θεῖος Δαβίδ·
ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, σὺ εἶ· καὶ ὁ
θεῖος ἀπόστολος· δι' οὗ καὶ τοὺς αἰῶνας ἐποί-
-ησε· χρὴ τοίνυν γινώσκειν ὅτι τὸ τοῦ αἰῶνος
ὄνομα, πολύσημόν ἐστι· πλεῖστα γὰρ σημαίνει· αἰὼν
γὰρ λέγεται, καὶ ἡ ἑκάστου τῶν ἀνθρώπων ζωή· λέγεται
πάλιν αἰὼν, καὶ ὁ τῶν χιλίων ἐτῶν χρόνος·
πάλιν λέγεται αἰὼν, ὅλος ὁ παρὼν βίος· καὶ

αἰὼν ὁ μέλλων μετὰ τὴν ἀνάστασιν ἀτελεύτητος.
λέγεται πάλιν αἰὼν, οὐ χρόνος· οὐδὲ χρόνου
τι μέρος ἡλίου φορᾷ καὶ δρόμῳ μετρούμενον·
ἤγουν διὰ ἡμερῶν καὶ νυκτῶν συνιστάμενον· ἀλλὰ
τὸ συμπαρεκτεινόμενον τοῖς ἀϊδίοις· οἷόν τι
χρονικὸν κίνημα καὶ διάστημα· ὅπερ γάρ ἐστι τοῖς
ὑπὸ χρόνον ὁ χρόνος, τοῦτο τοῖς ἀϊδίοις
ἐστὶν αἰών· λέγονται μέντοι ἑπτὰ αἰῶνες τοῦ
κόσμου τούτου· ἤγουν ἀπὸ τῆς τοῦ οὐρανοῦ καὶ
γῆς κτίσεως, μέχρι τῆς τῶν ἀνθρώπων συντε-
λείας καὶ ἀναστάσεως· ἔστι μὲν γὰρ συντέλεια
μερική, ὁ ἑκάστου θάνατος· ἔστι δὲ καὶ κοινὴ καὶ
παντελὴς συντέλεια, ὅτε μέλλει ἡ κοινὴ γενέσθαι
τῶν ἀνθρώπων ἀνάστασις· ὄγδοος δὲ αἰὼν ὁ μέλλων·
πρὸ δὲ τῆς τοῦ κόσμου συστάσεως ὅτε οὐδὲ
ὁ ἥλιος ἦν διαιρῶν ἡμέραν ἀπὸ νυκτός, οὐκ
ἦν αἰὼν μετρητός· ἀλλὰ τὸ συμπαρεκτεινόμενον
τοῖς ἀϊδίοις οἱονεὶ χρονικὸν κίνημα καὶ διάστημα·
καὶ κατὰ μὲν τοῦτο, εἷς αἰών ἐστι· καθὸ καὶ λέγεται
ὁ θεὸς αἰώνιος· ἀλλὰ καὶ προαιώνιος· καὶ αὐτὸν

καὶ τοὺς αἰῶνας, αὐτὸς ἐποίησε· μόνος γὰρ ἄφθαρ-
-τος ὢν ὁ θεός, πάντων αὐτὸς ἐστὶ ποιητής·
τῶν τε αἰώνων καὶ πάντων τῶν ὄντων· θεὸν δὲ
ἀπτῶν, δηλονότι τὸν πατέρα λέγω καὶ τὸν μονο-
γενῆ αὐτοῦ υἱόν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τὸ πνεῦμα
αὐτοῦ τὸ πανάγιον, τὸν ἀγαθὸν ἡμῶν· λέγονται
δὲ αἰῶνες αἰώνων, καθότι καὶ οἱ τοῦ παρόντος
κόσμου ἑπτὰ αἰῶνες, πολλοὺς αἰῶνας.
ἤγουν ζωὰς περιέχουσιν ἀνθρώπων· καὶ ὁ αἰὼν
ὁ εἷς, πάντων τῶν αἰώνων ἐστὶ περιεκτικός·
καὶ αἰὼν αἰῶνος λέγεται, ὁ νῦν καὶ ὁ μέλλων· αἰώ-
-νιος δὲ ζωή. καὶ αἰώνιος κόλασις. τὸ ἀτελεύτητον
τοῦ μέλλοντος αἰῶνος δηλοῖ· οὐδὲ γὰρ μετὰ
τὴν ἀνάστασιν ἡμέραις καὶ νυξὶν ὁ χρόνος
ἀριθμηθήσεται· ἔσται δὲ μᾶλλον μία ἡμέρα
ἀνέσπερος τοῦ ἡλίου τῆς δικαιοσύνης, τοῖς
δικαίοις φαιδρῶς ἐπιλάμποντος· τοῖς δὲ
ἁμαρτωλοῖς, νὺξ βαθεῖα ἀπέραντος.
πῶς τοίνυν ὁ τῶν χιλίων ἐτῶν τῆς ὡ-
-ρισμένης ἀπὸ καταστάσεως, ἀριθμη

-θήσεται χρόνος· πάντων τῶν αἰώνων,
ὁ ποιητὴς ἐστὶν ὁ θεός· ὁ καὶ τὰ σύμπαντα
δημιουργήσας, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων:–

ιδ + περὶ δημιουργίας:–

Ἐπεὶ οὖν ὁ ἀγαθὸς καὶ ὑπεράγαθος θεός· οὐκ
ἠρκέσθη τῇ ἑαυτοῦ θεωρίᾳ· ἀλλ' ὑπερβολῇ
ἀγαθότητος ηὐδόκησε γενέσθαι τινὰ τὰ
εὐεργετηθησόμενα καὶ μεθέξοντα τῆς
αὐτοῦ ἀγαθότητος, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ
εἶναι παράγει καὶ δημιουργεῖ τὰ σύμπαντα·
ἀόρατά τε καὶ ὁρατά, καὶ τὸν ἐξ ὁρατοῦ καὶ
ἀοράτου συγκείμενον ἄνθρωπον· κτίζει δὲ ἐννοῶν·
καὶ τὸ ἐννόημα, ἔργον ὑφίστατο· λόγῳ συμ-
πληρούμενον καὶ πνεύματι τελειούμενον:–

ιε Αὐτὸς τῶν ἀγγέλων ·:· περὶ ἀγγέλων:–

ποιητὴς καὶ δημιουργός ἐστιν, ἐκ τοῦ
μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν αὐτούς,
κατ' οἰκείαν κτίσας αὐτοὺς εἰκόνα· φύσιν
ἀσώματον· οἷόν τι πνεῦμα, ἢ πῦρ ἄϋλον·
ὥς φησιν ὁ θεῖος Δαβίδ· ὁ ποιῶν τοὺς

ἀγγέλους αὐτοῦ πνεύματα· καὶ τοὺς λειτουργοὺς
αὐτοῦ πυρὸς φλόγα· τὸ κοῦφον καὶ τὸ διά-
πυρον καὶ θερμὸν καὶ τομώτατον, καὶ ὀξύ,
περὶ τὴν θείαν ἔφεσιν τε καὶ λειτουργίαν,
διαγράφει· καὶ τὸ ἀνωφορον αὐτῶν, καὶ πάσης
ὑλικῆς ἐννοίας ἀπηλλαγμένον· ἄγγελος τοί- ὅρ(ος) ἀγγέλ(ου)
νυν ἐστίν, οὐσία νοερά· ἀεικίνητος· αὐτεξούσιος·
ἀσώματος· θεῷ λειτουργοῦσα· κατὰ χάριν
ἐν τῇ φύσει τὸ ἀθάνατον εἰληφυῖα· ἧς οὐσίας
τὸ εἶδος καὶ τὸν ὅρον, μόνος ὁ κτίσας ἐπίσταται·
ἀσώματος δὲ καὶ ἄϋλος λέγεται, ὅσον πρὸς
ἡμᾶς· πᾶν γὰρ τὸ συγκρινόμενον πρὸς θεὸν τὸν
μόνον ἀσύγκριτον, παχύ τε καὶ ὑλικὸν εὑρίσκεται·
μόνον γὰρ ὄντως ἄϋλον τὸ θεῖόν ἐστι· καὶ ἀσώ-
ματον· ἔστι τοίνυν φύσις λογικὴ νοερά τε καὶ
αὐτεξούσιος· τρεπτὴ κατὰ γνώμην· ἤτοι
ἐθελότρεπτος· πᾶν γὰρ τὸ κτιστόν, καὶ τρεπτόν· μόνον
δὲ τὸ ἄκτιστον, ἄτρεπτον· καὶ πᾶν λογικόν, αὐ-
τεξούσιον· ὡς μὲν οὖν λογικὴ καὶ νοερά, αὐτεξού-
σιός ἐστιν· ὡς δὲ κτιστή, τρεπτή· ἔχουσα ἐξουσίαν

ἐμμένειν ἢ προκόπτειν ἐν τῷ ἀγαθῷ· καὶ ἐπὶ τὸ χεῖρον τρέπεσθαι· ἀνεπίδεκτοι μετανοίας, ὅτι καὶ ἀσώματος· ὁ γὰρ ἄνθρωπος διὰ τὴν τοῦ σώματος ἀσθένειαν, τῆς μετανοίας ἔτυχεν· ἀθάνατοι οὐ φύσει, ἀλλὰ χάριτι· πᾶν γὰρ τὸ ἀρξάμενον, καὶ τελευτᾷ κατὰ φύσιν· μόνος δὲ ὁ θεὸς ἀεὶ ὤν, μᾶλλον δὲ καὶ ὑπὲρ τὸ ἀεί· οὐχ ὑπὸ χρόνον γάρ· ἀλλ' ὑπὲρ χρόνον ὁ τῶν χρόνων ποιητής· φῶτα δεύτερα νοερά· ἐκ τοῦ πρώτου καὶ ἀνάρχου φωτός, τὸν φωτισμὸν ἔχοντα· οὐ γλώσσης καὶ ἀκοῆς δεόμενα· ἀλλ' ἄνευ λόγου προφορικοῦ μεταδιδόντα ἀλλήλοις τὰ νοήματα καὶ βουλεύματα· διὰ τοῦ λόγου τοίνυν ἐκτίσθησαν πάντες οἱ ἄγγελοι· καὶ ὑπὸ τοῦ ἁγίου πνεύματος, διὰ τοῦ ἁγιασμοῦ ἐτελειώθησαν· κατὰ ἀναλογίαν τῆς ἀξίας καὶ τῆς τάξεως τοῦ φωτισμοῦ καὶ τῆς χάριτος μετέχοντες· περιγραπτοί· ὅτε γάρ εἰσιν ἐν τῷ οὐρανῷ, οὐκ εἰσὶν ἐν τῇ γῇ·

καὶ εἰς τὴν γῆν ὑπὸ τοῦ θεοῦ ἀποστελλόμενοι,
οὐκέτι ἀπομένουσιν ἐν τῷ οὐρανῷ· οὐ περι-
ορίζονται δὲ ὑπὸ θυρῶν καὶ τειχῶν. καὶ κλεί-
θρων καὶ σφραγίδων· ἀόριστοι γάρ εἰσιν· ἀ-
ορίστους δὲ λέγω, οὐ καθό εἰσιν ἐπιφαίνονται
τοῖς ἀξίοις· οἷς ὁ θεὸς φαίνεσθαι αὐτοὺς
θελήσει· ἀλλ' ἐν σχηματισμῷ καθὼς δύνανται
οἱ ὁρῶντες ὁρᾶν· ἀόριστον γὰρ φύσει, καὶ
κυρίως μόνον, τὸ ἄκτιστον· πᾶν γὰρ κτίσμα,
ὑπὸ τοῦ κτίσαντος αὐτὸ θεοῦ περιορίζεται.
ἔξωθεν τῆς οὐσίας, τὸν ἁγιασμὸν ἐκ τοῦ ἁγίου
πνεύματος, ἔχοντες· διὰ τῆς θείας χάριτος προ-
φητεύοντες· μὴ γάμου χρῄζοντες, ἐπει-
δήπερ μὴ εἰσὶ θνητοί· νόες δὲ ὄντες, ἐν νοητοῖς
τόποις εἰσίν· οὐ σωματικῶς περιγραφό-
μενοι· οὐ γὰρ σωματικῶς κατὰ φύσιν σχη-
ματίζονται· οὐδὲ τριχῇ εἰσὶ διαστατοί· ἀλλὰ
τῷ νοητῶς παρεῖναι καὶ ἐνεργεῖν ἔνθα ἂν προσ-
ταχθῶσι· καὶ μὴ δύνασθαι κατὰ ταυτὸν εἶναι
ὧδε κἀκεῖσε καὶ ἐνεργεῖν· εἴτε ἴσοι κατ' οὐσί(αν)

ὥστε δι' ἀφόβου τῶν ἀλλήλων, οὐκ ἴσασιν.
μόνος δὲ ὁ ποιήσας αὐτοὺς θεὸς, ἐπίσταται
ὁ καὶ πάντα εἰδώς. δι' ἀφόβου γὰρ δὲ ἀλλήλ-
των φωτισμῶν καὶ τῇ στάσει· ὥσπερ πρὸς τοὺς
φωτισμοὺς τὴν στάσιν ἔχοντες, ὥσπερ πρὸς τὴν
στάσιν τοῦ φωτισμοῦ μετέχοντες, καὶ ἀλλή-
λοις φωτίζοντες, διὰ τὸ ὑπερέχειν τῆς
τάξεως ἢ φύσεως. δῆλον δὲ, ὡς οἱ ὑπε-
ρέχοντες, τοῖς ὑπηκόοις μεταδιδόασι
τοῦ τε φωτισμοῦ καὶ τῆς γνώσεως· ἰσχυροὶ καὶ
ἕτοιμοι πρὸς τὴν τοῦ θείου θελήματος ἐκ-
πλήρωσιν. καὶ πανταχοῦ εὐθέως εὑρισκόμενοι
ἔνθα ἂν ἡ θεία κελεύσῃ ἐπινεύσει τάχει
φύσεως καὶ φυλάττοντες μέρη τῆς γῆς. καὶ ἔθνη
καὶ τόπων προϊστάμενοι, καθὼς ὑπὸ τοῦ
δημιουργοῦ ἐτάχθησαν. καὶ τὰ καθ' ἡμᾶς
οἰκονομοῦντες καὶ βοηθοῦντες ἡμῖν. πάντων
δὲ ὅτι κατὰ τὸ θεῖον θέλημά τε καὶ πρόσταγμα
ὑπηρετοῦντες, ὥσπερ ἰθὺν ὑπάρχοντες.
δυσκίνητοι πρὸς τὸ κακὸν, ἀλλ' οὐκ ἀκίνητοι.

γνῶ δὲ καὶ ἀκίνητοι· οὐ φύσει, ἀλλὰ χάριτι·
καὶ τῇ τοῦ μόνου ἀγαθοῦ θεοῦ προσεδρείᾳ·
ὁρῶντες θεὸν κατὰ τὸ ἐφικτὸν αὐτοῖς, καὶ
ταύτην τροφὴν ἔχοντες. ὑπερβήκασιν οὐ τῷ
ἀσώματοι· καὶ παντὸς πάθους ἀπηλλαγμένοι
σωματικοῦ· οὐ μὴν ἀπαθεῖς· μόνον γὰρ τὸ
θεῖον ἀπαθές ἐστι· μὴ σχηματίζον· ἄγγελοι δὲ περὶ
ὅπερ ἂν ὁ δεσπότης κελεύσῃ θεὸς, καὶ οὕτω τοῖς
ἁγίοις ἐπιφαίνονται· καὶ τὰ θεῖα αὐτοῖς ἀνα-
καλύπτουσι μυστήρια· γνώσει διαπρέπουσι· καὶ
ὃν ἔργον ἔχουσιν, ὑμνεῖν τὸν θεὸν, καὶ λειτουργεῖν
τῷ θείῳ αὐτοῦ θελήματι καθὼς δὲ ὁ ἁγι-
ώτατος καὶ ἱερώτατος καὶ θεολογικώτατος
φησὶ διονύσιος ὁ ἀρεοπαγίτης· πᾶσα ἡ θεο-
λογία, ἤγουν ἡ θεία γραφή· τὰς οὐρανίους δὲ
οὐσίας, ἐννέα κέκληκε· ταύτας ὁ θεῖος
ἱεροτελεστὴς, εἰς τρεῖς ἀφορίζει τριαδικὰς
διακοσμήσεις· καὶ πρώτην μὲν εἶναι φησὶ
τὴν περὶ θεὸν οὖσαν ἀεὶ· καὶ προσεχῶς καὶ ἀμέσως
ἡνῶσθαι παραδεδομένην τὴν τῶν ἑξαπτε-

-ρύγων σεραφίμ· καὶ τῶν πολυομμάτων
χερουβὶμ καὶ τῶν ἀξιωτάτων θρόνων·
δευτέραν δὲ, τὴν τῶν κυριοτήτων καὶ τῶν
δυνάμεων· καὶ τῶν ἐξουσιῶν· τρίτην δὲ
καὶ τελευταίαν, τὴν τῶν ἀρχῶν καὶ ἀρχαγγέ-
λων καὶ ἀγγέλων· τινὲς μὲν οὖν φασὶν, ὅτι πρὸ πάσης
τῆς κτίσεως ἐγένοντο, ὡς ὁ θεολόγος
λέγει γρηγόριος· πρῶτον μὲν, ἐννοεῖ τὰς
ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους· καὶ τὸ ἐννό-
ημα, ἔργον ἦν· ἕτεροι δὲ, ὅτι μετὰ τὸ γε-
νέσθαι τὸν πρῶτον οὐρανόν· ὅτι δὲ πρὸ τῆς
τοῦ ἀνθρώπου πλάσεως, πάντες ἴσασιν· ἐγὼ
δὲ τῷ θεολόγῳ γρηγορίῳ συντίθεμαι· ἔπρεπε
γὰρ πρῶτον τὴν νοερὰν οὐσίαν κτισθῆναι
καὶ οὕτω τὴν αἰσθητήν· καὶ τότε ἐξ
ἀμφοτέρων, τὸν ἄνθρωπον· ὅσοι δὲ φασὶ τοὺς
ἀγγέλους δημιουργοὺς τῆς οἱασδήποτε
οὐσίας· οὗτοι στόμα εἰσὶ τοῦ πατρὸς αὐτῶν
τοῦ διαβόλου· κτίσματα γὰρ ὄντες, οὐκ εἰσὶ
δημιουργοί· πάντων δὲ ποιητὴς καὶ προ-

ποιητὴς καὶ συνοχεὺς, ὁ θεός· ὁ μόνος ἄκτιστος·
ὁ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, ὑμνούμενός τε
καὶ δοξαζόμενος:– περὶ διαβόλου καὶ δαιμόνων:– ιη

Ἐκ τούτων τῶν ἀγγελικῶν δυνάμεων ὁ προεστὼς τοῦ περιγείου τάγματος, καὶ τὴν τῆς γῆς φυλακὴν ἐγχειρισθεὶς παρὰ θεοῦ· οὐ φύσει πονηρὸς γεγονώς, ἀλλ' ἀγαθὸς ὤν, καὶ ἐπ' ἀγαθῷ γενόμενος· καὶ μηδόλως ἐν ἑαυτῷ παρὰ τοῦ δημιουργοῦ κακίας ἴχνος ἐσχηκώς· μὴ ἐνεγκὼν τοῦ τε φωτισμοῦ καὶ τὴν τιμήν, ἣν αὐτῷ ὁ δημιουργὸς ἐδωρήσατο, αὐτεξουσίῳ προαιρέσει, ἐτράπη ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν· καὶ ἐπήρθη κατὰ τοῦ πεποιηκότος αὐτὸν θεοῦ· ἀντᾶραι αὐτῷ βουληθείς· καὶ πρῶτος ἀποστὰς τοῦ ἀγαθοῦ, ἐν τῷ κακῷ ἐγένετο· οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ κακόν, εἰ μὴ τοῦ ἀγαθοῦ στέρησις· ὥσπερ καὶ τὸ σκότος, φωτός ἐστι στέρησις· τὸ γὰρ ἀγαθόν, φῶς ἐστι νοητόν· ὁμοίως καὶ τὸ κακόν, σκότος ἐστὶ νοητόν· φῶς οὖν κτισθεὶς

C. m.

ὑπὸ τοῦ δημιουργοῦ καὶ ἀγαθὸς γεγονὼς, καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν, αὐτεξουσίῳ θελήματι, σκότος ἐγένετο· συναπεσπάσθησαν δὲ, καὶ συνηκολούθησαν αὐτῷ καὶ συνέπεσε πλήθη ἄπειρα τῶν ὑπ' αὐτοῦ τεταγμένων ἀγγέλων· τῆς αὐτῆς τοιγαροῦν φύσεως τοῖς ἀγγέλοις ὑπάρχοντες, καὶ κακοὶ γεγόνασι τὴν προαίρεσιν ἐκ τοῦ ἀγαθοῦ ἑκουσίως πρὸς τὸ κακὸν ἐκκλίναντες· οὐκ ἔχουσι τοίνυν ἐξουσίαν κατά τινος· οὐδὲ ἰσχὺν, εἰ μὴ ἐκ θεοῦ οἰκονομικῶς συγχωρούμενοι, ὡς ἐπὶ τοῦ Ἰὼβ· καὶ ὡς ἐπὶ τῶν χοίρων ἐν τοῖς εὐαγγελίοις γέγραπται· παραχωρήσεως δὲ θεοῦ γινομένης, καὶ ἰσχύουσι καὶ μεταβάλλονται καὶ μετασχηματίζονται, εἰς ὅπερ θέλουσι σχῆμα κατὰ φαντασίαν· καὶ τὰ μέλλοντα, οὔτε οἱ ἄγγελοι, οὔτε οἱ δαίμονες οἴδασιν· ὅμως προλέγουσιν· οἱ μὲν ἄγγελοι, τοῦ θεοῦ αὐτοῖς ἀποκαλύπτοντος, καὶ προλέγειν κελεύοντος· ὅθεν ὅσα λέγουσι,

γίνονται· προλέγουσι δὲ καὶ οἱ δαίμονες· ποτὲ
μὲν τὰ μακρὰν γινόμενα, ὡς ἐπόπται·
ποτὲ δὲ στοχαζόμενοι· ὅθεν καὶ τὰ πολλὰ
ψεύδονται· οἷς οὐ δεῖ πιστεύειν κἂν ἀλη-
θεύωσι· πολλάκις ᾧ τρόπῳ εἰρήκαμεν·
οἴδασι δὲ καὶ τὰς γραφάς· πᾶσα οὖν κακία,
ἐξ αὐτῶν ἐπενοήθη· καὶ τὰ ἀκάθαρτα πάθη·
καὶ προσβάλλειν μὲν τῷ ἀνθρώπῳ συνεχωρήθησαν·
βιάζεσθαι δέ τινα, οὐκ ἰσχύουσιν· ἐν ἡμῖν
γὰρ ἐστὶ δέξασθαι τὴν προσβολήν, ἢ μὴ δέξασθαι.
διὸ τῷ διαβόλῳ καὶ τοῖς δαίμοσιν αὐτοῦ,
ἡτοίμασται τὸ πῦρ τὸ ἄσβεστον, καὶ κόλασις
ἡ αἰώνιος, καὶ τοῖς ἑπομένοις αὐτῷ· χρὴ
γινώσκειν ὅτι ὅπερ ἐστὶ τοῖς ἀνθρώποις ὁ θάνατος,
τοῦτο τοῖς ἀγγέλοις ἡ ἔκπτωσις· μετὰ γὰρ
τὴν ἔκπτωσιν, οὐκ ἔστιν αὐτοῖς μετάνοια·
ὥσπερ οὐδὲ τοῖς ἀνθρώποις μετὰ θάνατον:—

## + περὶ κτίσεως ὁρατῆς :— ιθ ιθ

Αὐτὸς οὖν ὁ θεὸς ἡμῶν· ὁ ἐν τριάδι καὶ ἐν μονάδι
δοξολογούμενος, ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν·

καὶ πάντα τὰ ἐν αὐτοῖς ἐκ τοῦ μὴ ὄντος εἰς
τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· τὰ
μὲν, οὐκ ἐκ προϋποκειμένης ὕλης· οἷον,
οὐρανόν· γῆν· ἀέρα· πῦρ· ὕδωρ· τὰ δὲ ἐκ
τούτων ὑπ' αὐτοῦ γενόμενα· οἷον, ζῶα· φυτά·
σπέρματα· ταῦτα γὰρ ἐκ γῆς καὶ ὕδατος·
ἀέρος τε καὶ πυρὸς, τῷ τοῦ δημιουργοῦ προσ-
τάγματι γεγόνασιν:- Περὶ οὐρανοῦ:

κ' Οὐρανός ἐστι, περιοχὴ ὁρατῶν καὶ ἀοράτων
κτισμάτων· ἐν τοῖς γὰρ αὐτοῦ, αἵ τε νοεραὶ
τῶν ἀγγέλων δυνάμεις· καὶ πάντα τὰ
αἰσθητὰ, περικλείονται καὶ περιορίζονται·
μόνον δὲ τὸ θεῖον, ἀπερίγραπτόν ἐστι· πάντα
πληρῶν· καὶ πάντα περιέχων· καὶ πάντα
περιορίζων· ὡς ὑπὲρ πάντα ὤν, καὶ πάντα
δημιουργήσας· ἐπεὶ τοίνυν οὐρανὸν φησὶν
ἡ γραφή· καὶ οὐρανὸν τοῦ οὐρανοῦ· καὶ οὐρανοὺς τῶν οὐρανῶν·
καὶ ἕως τρίτου οὐρανοῦ ὁ μακάριος Παῦλος
ἡρπάγη φησί, λέγομεν ὅτι ἐν τῇ τοῦ παντὸς
κοσμογονείᾳ, οὐρανοῦ ποίησιν παρελάβομεν·

ὃν οἱ τῶν ἔξω σοφοί, ἄναστρον σφαῖραν
φασὶ καὶ μωϋσέως σοφώτεροι ἰσάμενοι δόγ-
ματι. ἐπειδὴ δὲ καὶ τὸ στερέωμα ἐκάλεσεν ὁ
θεὸς οὐρανόν, οὐ γὰρ ἐν μέσῳ τοῦ ὕδατος γενέσθαι
προσέταξεν, τάξας αὐτὸ διαχωρίζειν
ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ὑποκάτω τοῦ
στερεώματος. τοῦτο γὰρ καὶ φησὶν ὁ θεῖος βασί-
λειος, λεπτὴν ἔφησεν εἶναι ὡσεὶ καπνοῦ·
ἐκ τῆς θείας μεμυημένος γραφῆς. ἕτεροι
δὲ ὑδατώδη. ὡς ἐν μέσῳ τῶν ὑδάτων
γενόμενον. ἄλλοι, ἐκ τῶν τεσσάρων στοι-
χείων. ἄλλοι, πέμπτον σῶμα, καὶ ἕτερον
παρὰ τὰ τέσσαρα. τινὲς μὲν οὖν ἔδοξαν,
ἐν κύκλῳ τὸ πᾶν περιτρέχειν τὸν οὐρανόν.
σφαιροειδῆ τε ὑπάρχειν. καὶ πανταχόθεν
τὸ ἀνώτατον μέρος αὐτὸν εἶναι· τὸ δὲ με-
σαίτατον, τοῦ περιεχομένου ὑπ' αὐτοῦ τόπου,
εἶναι κατώτερον μέρος. καὶ τὰ μὲν κοῦφα
καὶ ἐλαφρὰ τῶν σωμάτων, τὴν ἄνω τάξιν
λαχεῖν παρὰ τοῦ δημιουργοῦ· τὰ δὲ

βαρέα καὶ κατωφερῆ, τὴν κατωτέραν
χώραν· ἥτις ἐστὶν ἡ μέση· ἔστι μὲν οὖν κου-
φότερον καὶ ἀνωφερέστερον στοιχεῖον τὸ πῦρ·
ὅπερ δὴ μετὰ τὸν οὐρανὸν εὐθέως τετάχθαι
φασί· τοῦτον δὲ λέγουσι τὸν αἰθέρα· μεθ' ὃν
κατώτερον τὸν ἀέρα· τὴν δὲ γῆν καὶ τὸ ὕδωρ
ὡς βαρύτερα καὶ κατωφερέστερα· ἐν τῷ
μέσῳ κατὰ τὸ κάτω κρεμᾶσθαι. ὡς εἶναι ἐξ ἐναν-
τίας· κάτω μὲν, τὴν γῆν καὶ τὸ ὕδωρ· τὸ δὲ
ὕδωρ, κουφότερον τῆς γῆς· ὅθεν καὶ εὐκινητό-
τερον αὐτῆς ὑπάρχει· ἄνωθεν δὲ πανταχόθεν
ὡσπερεὶ ἱμάτιον κύκλῳ τὸν ἀέρα· καὶ περὶ
τὸν ἀέρα πανταχόθεν, τὸν αἰθέρα· ἔξωθεν
δὲ πάντων κύκλῳ, τὸν οὐρανόν· κυκλικῶς δὲ
φασὶ κινεῖσθαι αὐτὸν, καὶ συσφίγγειν τὰ ἔνδον·
καὶ οὕτω μένειν πάγια καὶ ἀδιάπτωτα· ἑπτὰ
δὲ ζώνας φασὶ τοῦ οὐρανοῦ· μίαν τῆς ἑτέρας
ὑψηλοτέραν· λέγουσι δὲ αὐτὸν, λεπτοτάτης
φύσεως ὡσεὶ καπνοῦ· καὶ καθ' ἑκάστην ζώνην εἶναι
ἕνα τῶν πλανητῶν· ἑπτὰ γὰρ πλανήτας

ἔφησαν εἶναι· ἡλίου· σελήνης· διὸς· ἑρμοῦ·
ἄρεως· ἀφροδίτης· καὶ κρόνου· ἀφροδίτην
δέ φασι τοῦτον ποτὲ μὲν ἑωσφόρον, ποτὲ δὲ
ἑσπερὸν γινόμενον· πλανήτας δὲ τούτους
ἐκάλεσαν, ὅτι περιφέρονται ἐναντίως τοῦ οὐρανοῦ
ποιούμενοι τὴν κίνησιν· τοῦ γὰρ οὐρανοῦ καὶ
τῶν λοιπῶν ἄστρων ἐξ ἀνατολῶν ἐπὶ δυσμὰς
κινουμένων, αὐτοὶ μόνοι ἀπὸ δυσμῶν ἐπὶ
ἀνατολὰς τὴν κίνησιν ἔχουσι· καὶ τοῦτο γνω-
σόμεθα ἐκ τῆς σελήνης μικρὸν καθ' ἑσπέ-
ραν ἀναποδιζούσης· ὅσοι τοίνυν ἔφασαν
σφαιροειδῆ εἶναι τὸν οὐρανόν, ἴσως λέγουσιν
ἀφίστασθαι αὐτὸν καὶ ἀπέχειν τῆς γῆς· ἄνω-
θέν τε καὶ ἐκ πλαγίων καὶ κάτωθεν· κάτωθεν δέ,
καὶ ἐκ πλαγίων φημί, ὅσον πρὸς τὴν ἡμετέραν
αἴσθησιν· ἐπεὶ κατὰ τὸν τῆς ἀκολουθίας
λόγον, πανταχόθεν τὸν ἄνω τόπον ὁ οὐρανὸς
ἐπέχει· καὶ ἡ γῆ, τὸν κάτω· καί φασι τὸν οὐρανὸν
σφαιροειδῶς κύκλῳ τὴν γῆν· καὶ συμπερι-
φέρειν τῇ ὀξυτάτῃ κινήσει αὐτοῦ, ἡλιόν τε

καὶ σελήνην καὶ τοὺς ἀστέρας· καὶ ὑπὸ μὲν τὴν γῆν ὄντος τοῦ
τοῦ ἡλίου, ἡμέραν γίνεσθαι ἐνταῦθα· ὑπὸ
δὲ τὴν γῆν, νύκτα· ὑπὸ δὲ τὴν γῆν κατιόντος τοῦ ἡλίου,
ἐνταῦθα μὲν, νύκτα· ἐκεῖσε δὲ ἡμέραν· ἕτεροι
δὲ, ἡμισφαίριον τὸν οὐρανὸν ἐφαντάσθησαν·
ἐκ τοῦ τὸν θεηγόρον Δαυὶδ λέγειν· ὁ ἐκτείνων
τὸν οὐρανὸν ὡσεὶ δέρριν· ὅπερ δηλοῖ τὴν σκηνήν.
καὶ τὸν μακάριον Ἡσαΐαν· ὁ στήσας τὸν οὐρανὸν
ὡσεὶ καμάραν· καὶ ὅτι δύνων ὁ ἥλιος καὶ ἡ
σελήνη καὶ τὰ ἄστρα· κυκλοῖ τὴν γῆν, ἀπὸ δυσμῶν
ἐπὶ βορρᾶν, καὶ οὕτω πάλιν ἐπὶ τὴν ἀνατολὴν
ἀφικνεῖται· ὅμως εἴτε οὕτως, εἴτε ἐκείνως,
ἅπαντα τῷ θείῳ προστάγματι γέγονέ τε
καὶ ἥδρασται· καὶ τὸ θεῖον θέλημά τε καὶ βούλημα,
θεμέλιον ἀσάλευτον κέκτηται· αὐτὸς γὰρ
εἶπε καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο καὶ ἐκτί-
σθησαν· ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς
τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο
καὶ οὐ παρελεύσεται· ἐστὶ μὲν οὖν ὁ οὐρανὸς τοῦ
οὐρανοῦ, ὁ πρῶτος οὐρανός· ἐπάνω ὑπάρχων

τοῦ στερεώματος· ἰδοὺ δὴ δύο οὐρανοί· καὶ τὸ στερέ-
ωμα δὲ ἐκάλεσεν ὁ θεὸς οὐρανόν· σύνηθες δὲ
τῇ θείᾳ γραφῇ καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν,
διὰ τὸ ὁρᾶσθαι ἄνω· εὐλογεῖτε γάρ φησι πάντα
τὰ πετεινὰ τοῦ οὐρανοῦ, τοῦ ἀέρος λέγων·
ὁ ἀὴρ γάρ ἐστι τῶν πετεινῶν ἡ πορεία, καὶ οὐχ ὁ οὐρανός·
ἰδοὺ τρεῖς οὐρανοί, ὧν ὁ θεῖος ἔφη ἀπόστολος·
εἰ δὲ καὶ τὰς ἑπτὰ ζώνας, ἑπτὰ οὐρανοὺς ἐκλαμβάνειν
θελήσειας, οὐδὲν τῷ λόγῳ τῆς ἀληθείας
λυμαίνεται· σύνηθες δὲ τῇ ἑβραΐδι φωνῇ,
τὸν οὐρανὸν πληθυντικῶς καλεῖν οὐρανῶν·
οὐρανὸν οὐρανοῦ μέλλων εἰπεῖν, οὐρανοὺς
οὐρανῶν ἔφησεν· ὅπερ δηλοῖ οὐρανὸν οὐρανοῦ τὸν
ἐπάνω τοῦ στερεώματος· καὶ τὰ ὕδατα δὲ
τὰ ἐπάνω τῶν οὐρανῶν ἢ τοῦ ἀέρος καὶ τοῦ
στερεώματος· ἢ τῶν ἑπτὰ ζωνῶν τοῦ στερε-
ώματος· τῆς συνηθείας τῆς ἑβραΐδος πλη-
θυντικῶς οὐρανῶν ὀνομαζομένου· πάντα
μὲν τὰ κατὰ γένεσιν, ὑπόκειται φθορᾷ, κατὰ
τὴν τῆς φύσεως ἀκολουθίαν· καὶ οἱ οὐρανοὶ δὲ

χάριτι θεοῦ, συντηροῦνται τε καὶ συνέχονται.
μόνον γὰρ τὸ θεῖον ἄναρχον τε φύσει καὶ ἀ-
τελεύτητον· διὸ καὶ εἴρηται· αὐτοὶ ἀπολοῦνται,
σὺ δὲ διαμένεις· ὅμως, οὐκ εἰς τὸ παντελὲς
ἀφανισθήσονται οἱ οὐρανοί· παλαιωθήσονται
μὲν γάρ, καὶ ὡσεὶ περιβόλαιον ἑλιγήσονται· καὶ
ἀλλαγήσονται· καὶ ἔσται ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ
καινή· πολλῷ δὲ τῷ μεγέθει ὁ οὐρανὸς μείζων
ὑπάρχει τῆς γῆς· τὴν μέντοι οὐσίαν τοῦ
οὐρανοῦ, οὐ δεῖ ζητεῖν· ἄγνωστον ἡμῖν οὖσαν·
μηδεὶς δὲ ἐμψυχωμένους τοὺς οὐρανοὺς
ἢ τοὺς φωστῆρας ὑπολαμβανέτω· ἄψυχοι
γάρ εἰσι καὶ ἀναίσθητοι· ὥστε κἂν φησὶν ἡ
γραφή· εὐφρανθήτωσαν οἱ οὐρανοὶ καὶ ἀγαλ-
λιάσθω ἡ γῆ· τοὺς ἐν οὐρανῷ ἀγγέλους καὶ τοὺς
ἐν τῇ γῇ ἀνθρώπους, πρὸς εὐφροσύνην καλεῖ·
οἶδε γὰρ ἡ γραφὴ καὶ προσωποποιεῖν· καὶ ὡς
ἐμψύχων περὶ ἀψύχων διαλέγεσθαι· ὡς τὸ
ἡ θάλασσα εἶδε καὶ ἔφυγεν· ὁ Ἰορδάνης
ἐστράφη εἰς τὰ ὀπίσω· καὶ τί σοί ἐστι θάλασσα

ὅτι ἔφυγες· καὶ ὄρη καὶ βουνοὶ ἐρωτῶνται· τῷ
λόγῳ σχήματι τῆς κτίσεως· ὥσπερ δὲ καὶ ἡμῖν σύ-
νηθες λέγειν· ᾠκήθη ἡ πόλις· οὐ τοὺς οἰ-
κοδόμους σημαίνειν βουλόμενοι, ἀλλὰ
τοὺς τῆς πόλεως οἰκήτορας· καὶ οἱ οὐρανοὶ
διηγοῦνται δόξαν θεοῦ· οὐ φωνὴν ἐστὶν
αἰσθητοῖς ἀκουομένην ἀφιέντες, ἀλλ'
ἐκ τοῦ οἰκείου μεγέθους, τὴν τοῦ δημιουργοῦ
δύναμιν ἡμῖν παριστάμενοι· ὧν τὸ κάλλος
κατανοοῦντες, τὸν ποιητὴν ὡς ἄριστον
τεχνίτην δοξάζομεν:—

## περὶ φωτὸς πυρός· φωστήρων ἡλίου τε καὶ σελήνης καὶ ἄστρων:—

Τὸ πῦρ, ἓν τῶν τεσσάρων στοιχείων ἐστί· κοῦφόν
τε καὶ ἀνωφερέστερον τῶν λοιπῶν· καυστικόν
τε καὶ φωτιστικόν· τῇ πρώτῃ ἡμέρᾳ ὑπὸ τοῦ
δημιουργοῦ κτισθέν. φησὶ γὰρ ἡ θεία γραφή·
καὶ εἶπεν ὁ θεὸς γενηθήτω φῶς, καὶ ἐγένετο φῶς.
οὐχ ἕτερον γάρ ἐστι τὸ πῦρ, ἢ μὴ τὸ φῶς ὥς
τινες φασί. ἕτεροι δὲ τὸ κοσμικὸν πῦρ,
ὑπὸ τὸν ἀέρα φασὶν, ὃν καλοῦσιν αἰθέρα·

χαῖ

ἐν ἀρχῇ μὲν οὖν ἐποίησεν ὁ θεὸς τὸ φῶς. ἤτοι τῇ πρώτῃ ἡμέρᾳ, καλλωπισμὸν ἔχουσαν πάσης τῆς ὁρατῆς κτίσεως. ἄφελε τὸ φῶς, καὶ πάντα ἐν τῷ σκότει ἀδιάγνωστα μένουσι. τὴν οἰκείαν μὲν δὴ ἅμα μεγάλην εὐπρέπειαν ἐπιδείξασθαι. ἐκάλεσε δὲ ὁ θεὸς τὸ μὲν φῶς, ἡμέραν· τὸ δὲ σκότος, ἐκάλεσε νύκτα. σκότος δὲ ἐστὶν, οὐχ οὐσία τις, ἀλλὰ συμβεβηκός· φωτὸς γὰρ στέρησις. ὁ γὰρ ἀὴρ, οὐκ ἐν τῇ οὐσίᾳ αὐτοῦ ἔχει τὸ φῶς. αὐτὸ οὖν τὸ ἐστερῆσθαι φωτὸς τὸν ἀέρα, σκότος ἐκάλεσεν ὁ θεός. καὶ οὐχ ἡ οὐσία τοῦ ἀέρος ἐστὶ σκότος, ἀλλ' ἡ τοῦ φωτὸς στέρησις. ὅπερ συμβεβηκὸς μᾶλλον δηλοῖ, ἤπερ οὐσίαν. οὐκ ἐκλήθη δὲ πρώτη ἡ νύξ, ἀλλ' ἡ ἡμέρα. ὥσπερ πρώτη ἐστὶν ἡ ἡμέρα, καὶ δευτέρα ἡ νύξ. ἀκολουθεῖ οὖν ἡ νύξ, τῇ ἡμέρᾳ. καὶ ἀπ' ἀρχῆς τῆς ἡμέρας ἕως τῆς ἄλλης ἡμέρας, ἓν νυχθήμερόν ἐστιν· ἔφη γὰρ ἡ γραφή. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ ἡμέρα μία.

ἡμένου οὖν τῶν τριῶν τὴν ἡμέραν ἀναχεο-
-μένου καὶ συστελλομένου τοῦ φωτὸς τῷ θείῳ
προστάγματι, ἥ τε ἡμέρα καὶ ἡ νὺξ ἐγένετο·
τῇ δὲ τετάρτῃ ἡμέρᾳ, ἐποίησεν ὁ θεὸς τὸν
φωστῆρα τὸν μέγαν. ἤτοι τὸν ἥλιον, εἰς ἀρχὰς
καὶ ἐξουσίας τῆς ἡμέρας· δι' αὐτοῦ γὰρ ἡ ἡμέρα
συνίσταται. ἡμέρα γάρ ἐστιν, ἡ τῷ τοῦ ἡλίου
ὑπὲρ γῆν εἶναι. καὶ διάστημα ἡμέρας ἐστὶν ὁ ἀπὸ
ἀνατολῆς μέχρι δύσεως, ὑπὲρ γῆν τοῦ ἡλίου
δρόμος. καὶ τὸν φωστῆρα τὸν ἐλάσσω, ἤτοι τὴν
σελήνην καὶ τοὺς ἀστέρας, εἰς ἀρχὰς καὶ ἐξουσίας
τῆς νυκτός, τοῦ φωτίζειν αὐτήν. νὺξ δέ ἐστιν,
ἡ τῷ τὸν ἥλιον ὑπὸ γῆν εἶναι. καὶ διάστημα νυκτός
ἐστιν ὁ ἀπὸ δύσεως ἕως ἀνατολῆς ὑπὸ γῆν
τοῦ ἡλίου δρόμος. ἡ σελήνη τοίνυν καὶ οἱ ἀστέρες,
ἐτάχθησαν τὴν νύκτα φωτίζειν. οὐχ ὡς
τῇ ἡμέρᾳ πάντοτε ὑπὸ γῆν ὄντες· εἰσὶ γὰρ καὶ
ἐν ἡμέρᾳ ἀστέρες ἐν τῷ οὐρανῷ ὑπὲρ γῆν. ἀλλὰ
ὁ ἥλιος ἅμα τούτους καὶ τὴν σελήνην τῇ ὑπ-
-ερτέρᾳ αἴγλῃ ἀποκρύπτων, οὐκ ἐᾷ φαίνεσθαι.

τοῖς φωστῆρσι τούτοις τὸ πρότερον κτισθὲν φῶς ὁ δημιουργὸς ἐναπέθετο· οὐχ ὡς ἀπορῶν ἄλλου φωτός· ἀλλ᾽ ἵνα μὴ ἀργὸν ἐκεῖνο μείνῃ τὸ φῶς· φωστὴρ γὰρ ἐστίν, οὐχ αὐτὸ τὸ φῶς, ἀλλὰ φωτὸς δοχεῖον· ἐκ τούτων τῶν φωστήρων, ἑπτὰ πλανήτας φασί· λέγουσιν αὐτοὺς ἐναντίαν τοῦ οὐρανοῦ κινεῖσθαι κίνησιν· διὸ καὶ πλανήτας αὐτοὺς ἐκάλεσαν· τὸν μὲν γὰρ οὐρανόν φασιν ἐξ ἀνατολῶν ἐπὶ δυσμὰς κινεῖσθαι· τοὺς δὲ πλανήτας, ἐκ δυσμῶν ἐπὶ ἀνατολάς· συμπεριφέρεσθαι δὲ τῷ οὐρανῷ τῇ ἑαυτοῦ κινήσει ὡς ὀξυτέρᾳ, τοὺς ἑπτὰ πλανήτας· τῶν δὲ ἑπτὰ πλανητῶν τὰ ὀνόματα, ἔστι ταῦτα· κρόνος· ζεύς· ἄρης· ἥλιος· ἀφροδίτη· ἑρμῆς· σελήνη· ζῶναι δὲ καθ᾽ ἑκάστην ζώνην τοῦ οὐρανοῦ, ἐν αἷς τῶν ἑπτὰ πλανητῶν· ἐν μὲν τῇ πρώτῃ, ἤτοι τῇ ἀνωτέρᾳ, τὸν κρόνου· ♄ ἐν δὲ τῇ δευτέρᾳ, τὸν διός· ♃ ἐν δὲ τῇ τρίτῃ, τὸν ἄρεως· ♂

ἡ δὲ τῇ τετάρτῃ, τοῦ ἡλίου· ☿ ἡ δὲ τῇ
πέμπτῃ, τὴν ἀφροδίτην· ♀ ἡ δὲ τῇ
ἕκτῃ, τοῦ κρόνου· ♄ ἡ δὲ τῇ ἑβδόμῃ
καὶ ὑστέρᾳ, τὴν σελήνην· ☾ περιέχουσι
δὲ ἑβδόμην ἀνήκτον, οὗ ὁ δημιουργὸς ἔταξε
αὐτοῖς. καὶ καθὼς ἐθεμελίωσεν αὐτά.
ὡς φησὶν, ὁ θεῖος δαυΐδ· σελήνην καὶ ἀστέρας
ἃ σὺ ἐθεμελίωσας· διὰ τὸ τοὺς ἀπείρους ἐ-
θεμελίωσας, ἐσήμανε τὸ πάγιον καὶ ἀ-
μετάβλητον τῆς ὑπὸ θεοῦ δοθείσης αὐτοῖς
τάξεως τε καὶ δρόμου. ἔταξε γὰρ αὐτοὺς,
εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς σημεῖα καὶ εἰς
ἐνιαυτούς. διὰ μὲν τοῦ ἡλίου, αἱ τέσσαρες
τροπαὶ συνίστανται. καὶ πρώτη μὲν, ἡ ἐαρινή.
ἐν αὐτῇ γὰρ ἐποίησεν ὁ θεὸς τὰ σύμπαντα.
καὶ δηλοῖ τὸ μέχρι τοῦ νῦν ἐν αὐτῇ τῶν ἀνθέ-
ων βλάστησιν γίνεσθαι. ἣ πῶς καὶ ἰσημερινὴ
τροπὴ β'. δώδεκα γὰρ ὡρῶν τὴν τε ἡμέραν
καὶ τὴν νύκτα καθίστησι. αὕτη ἐκ τῆς μέσης
ἀνατολῆς τοῦ ἡλίου συνίσταται· εὔκρατος

ὅσα αἵματος αὔξει τὸ πάχος· θερμὴ καὶ ὑγρὰ
ὑπάρχουσα· καὶ ὡς ἑαυτῆς μεσιτεύουσα
τοῦ χειμῶνός τε καὶ τοῦ θέρους· τοῦ μὲν χειμῶ-
νος, θερμοτέρα· τοῦ δὲ θέρους, ψυχροτέρα,
καὶ ὑγροτέρα. διατείνει δὲ αὕτη ἡ ὥρα·
ἀπὸ μαρτίου εἰκάδος δευτέρας, μέχρι
ἰουνίου εἰκάδος τετάρτης· εἶτα ὑψουμένης
τῆς τοῦ ἡλίου ἀνατολῆς ἐπὶ τὰ βορειό-
τερα μέρη, ἡ θερινὴ τροπὴ διαδέχεται.
μεσιτεύουσα τοῦ τε ἔαρος καὶ τοῦ μετοπώρου·
ἐκ μὲν τοῦ ἔαρος, τὸ θερμὸν ἔχουσα· ἐκ δὲ
τοῦ μετοπώρου, τὸ ξηρόν· θερμὴ τυγχάνει
καὶ ξηρά, καὶ τὴν ξανθὴν αὔξει χολήν· αὕτη δὲ,
μεγίστην μὲν τὴν ἡμέραν ἔχει, ὡρῶν πεντε-
καίδεκα· τὴν δὲ νύκτα, πάνυ σμικρο-
τάτην, ὡρῶν ἐννέα διάσημα ἔχουσαν· καὶ
αὕτη δὲ διατείνει ἀπὸ ἰουνίου εἰκάδος τε-
τάρτης, μέχρι σεπτεμβρίου εἰκάδος πέμπτης·
εἶτα πάλιν εἰς τὴν μέσην ἀνατολὴν τοῦ ἡλίου
ἐπανιόντος, ἡ μετοπωρινὴ τροπὴ τὴν

θερινὴν ἀνατολήν· μέσως πως ἔχουσα,
ψύξεώς τε καὶ θέρμης· ξηρότητός τε καὶ
ὑγρότητος· καὶ μεσιτεύουσα τῇ τε θερινῇ
καὶ τῇ χειμερινῇ τροπῇ· ἐκ μὲν τῆς θερινῆς,
τὸ ξηρόν· ἐκ δὲ τῆς χειμερινῆς, τὸ ψυχρὸν
ἔχουσα· ψυχρὰ τυγχάνει καὶ ξηρά· χολῆς τε μελαίνης
αὐξητικὴ πέφυκεν· αὕτη πάλιν ἰσημερινὴ
τροπὴ ὑπάρχει· δώδεκα ὡρῶν τήν τε ἡμέραν
καὶ τὴν νύκτα, ἔχουσα· διατείνει δὲ αὕτη,
ἀπὸ σεπτεμβρίου εἰκάδος πέμπτης μηνός, μέχρι
δεκεμβρίου εἰκάδος πέμπτης μηνός· τοῦ δὲ ἡλίου
ἐπὶ τὴν σμικροτέραν καὶ χθαμαλωτέραν
ἤτοι τὴν μεσημβρινὴν ἀνατολὴν κατιόντος,
ἡ χειμερινὴ ἐπιλαμβάνεται τροπή· ψυχρο-
τέρα τε καὶ ὑγροτέρα τυγχάνουσα· καὶ μεσι-
τεύουσα τῇ μετοπωρινῇ καὶ τῇ ἐαρινῇ· ἐκ μὲν
τῆς μετοπωρινῆς, τὸ ψυχρὸν ἔχουσα· ἐκ δὲ τῆς
ἐαρινῆς, τὸ ὑγρὸν κεκτημένη· αὕτη δὲ, σμικρο-
τάτην μὲν τὴν ἡμέραν ἔχει, ἐννέα ὡρῶν ὑπάρ-
χουσαν· τὴν δὲ νύκτα, μεγίστην, ὡρῶν οὖσαν

πεντεκαίδεκα· φλέγματος δὲ αὕτη ὑπάρχει
αὐξητική· διατείνει δὲ μέχρι εἰκάδος πρώτης
μαρτίου, ἀπὸ εἰκάδος πέμπτης δεκεμβρίου·
σοφῶς τοίνυν ὁ δημιουργὸς προεπενοήσατο·
ὥστε ἂν μὴ ἐξ ἄκρας ψυχρότητος ἢ θερμότητος
ἢ ξηρότητος ἢ ὑγρότητος, ἐπὶ τὴν ἄκραν
ἐναντίαν μεταβαλλόμενοι ποιότητα, χαλεποῖς
περιπέσωμεν ἀρρωστήμασι· ἀφαιρεῖ γὰρ
τὰς ἀφνιδίους μεταβολάς· οἱ δὲ νομολόγος.
οὕτω μὲν οὖν ὁ ἥλιος τὰς τροπάς, καὶ δι' αὐτοῦ
τοὺς ἐνιαυτοὺς ἀπεργάζεται· καὶ τὰς ἡμέρας δὲ
καὶ τὰς νύκτας· τὰς μὲν ἀνατέλλων καὶ ὑπὲρ
γῆν γινόμενος· τὰς δὲ ὑπὸ γῆν δύων· καὶ
τοῖς ἄλλοις φωστῆρσι τὴν φαῦσιν παρα-
χωρῶν συνίστησι· φασὶ δὲ καὶ δώδεκα
ζώδια, ἐξ ἀστέρων εἶναι ἐντυπούμενα, ἐν
ταῖς κινήσεις ἔχονται, τῶν τε ἡλίου καὶ τῆς
σελήνης· καὶ τοῖς ἄλλοις πέντε πλανήταις·
καὶ διὰ τῶν δώδεκα ζωδίων παρέρχεσθαι
τοῖς ἔτεσι· ὁ μὲν οὖν ἥλιος, καθ' ἕκαστον

ζῳδίου· ἀποτελεῖ μῆνα ἕνα· ἐκ δὲ τῶν
δώδεκα μηνῶν, τὰ δώδεκα ζῴδια διέρ-
-χεται· τῶν δὲ δώδεκα ζῳδίων τὰ ὀνόματα,
εἰσὶ ταῦτα· καὶ οἱ τούτων μῆνες: ♈ κριός·
μηνὶ μαρτίῳ κ̄ δέχεται τοῦ ἡλίου:- ♉
ταῦρος· μηνὶ ἀπριλλίῳ κ̄ δέχεται
τοῦ ἡλίου:- ♊ δίδυμοι· μηνὶ μαΐῳ κ̄
δέχεται τοῦ ἡλίου: ♋ καρκῖνος· μηνὶ
ἰουνίῳ κ̄ δέχεται τοῦ ἡλίου: ♌ λέων.
μηνὶ ἰουλίῳ κ̄ε, δέχεται τοῦ ἡλίου: ♍
παρθένος· μηνὶ αὐγούστῳ κ̄ε, δέχεται
τοῦ ἡλίου: ♎ ζυγός· μηνὶ σεπτεμβρίῳ
κ̄ε, δέχεται τοῦ ἡλίου:- ♏ σκορπίος·
μηνὶ ὀκτωβρίῳ κ̄ε δέχεται τοῦ ἡλίου:-
♐ τοξότης· μηνὶ νοεμβρίῳ κ̄ε, δέ-
-χεται τοῦ ἡλίου:- ♑ αἰγόκερως·
μηνὶ δεκεμβρίῳ κ̄ε δέχεται τοῦ ἡλίου:-
♒ ὑδροχόος· μηνὶ ἰαννουαρίῳ κ̄ε
δέχεται τοῦ ἡλίου:- ♓ ἰχθύες μηνὶ
φεβρουαρίῳ κ̄ δέχεται τοῦ ἡλίου:—

F. m.

## Στίχοι:

κριὸς προηγός ἐστιν ἀρχὴ τοῦ χρόνου:
ταῦρος δὲ ταύρων οἱ στεῤῥοὶ εἰς ἄθλον:
ζώων δὲ παντίων ζεῦξις ἡ τοῖς διδύμοις:
καρκῖνος ἐστὶ φωσφόρος δ' ἀντιπόδοις:
λέων δ' ὁ θερμὸς ἐκπύρωσις τοῦ πόλου:
ἡ παρθένος δ' ἔδειγμα τῆς γεωργίας:
ζυγὸς ἰσασμὸς ἡμέρας πρὸς ἑσπέραν:
σκορπισμός ἐστι τῆς σπορᾶς ὁ σκορπίος:
ὁ τοξότης δὲ σύμβολον κυνηγίας:
ὁ δ' αἰγόκερως ἀγρίων παρρησία:
ὑδροχόος δὲ χεῦμα τῶν ὄμβρων χέει:
οἱ δ' ἰχθύες, δήλωσις ἰχθύων γένους:

Ἡ δὲ σελήνη καθ' ἕκαστον μῆνα ταῦτα δώδεκα ζώδια διέρχεται. κατὰ τὸν τρόπον ὃν ἴσασι. καὶ ταχύτερον ταῦτα διοδεύουσα. ὥσπερ γὰρ ἐὰν ποιήσῃς πόλον ἔνδον ἄλλου πόλου, ὁ ἔνδον πόλος μικρότερος εὑρεθήσεται, οὕτω καὶ ὁ δρόμος τῆς σελήνης κατὰ τὸν τρόπον τοῦτον ὀλιγώτερός ἐστι καὶ ἀνύεται τάχιον. οἱ μὲν οὖν ἕλληνες διὰ τῆς τῶν ἄστρων τούτων

ἡλίου τε καὶ σελήνης ἀνατολῆς καὶ δύσεως καὶ συγκράσεως, φασὶ πάντα διοικεῖσθαι τὰ καθ' ἡμᾶς· περὶ ταῦτα γὰρ ἡ ἀστρολογία καταγίνεται. ἡμεῖς δὲ φαμέν, ὅτι σημεῖα μὲν ἐξ αὐτῶν γίνεται, ὅμβρου καὶ ἀνομβρίας· ψύξεώς τε καὶ θέρμης· ὑγρότητός τε καὶ ξηρότητος· καὶ ἀνέμων καὶ τῶν τοιούτων· τῶν δὲ ἀνθρωπίνων πράξεων, οὐδαμῶς. ἡμεῖς δέ, αὐτεξούσιοι ὑπὸ τοῦ δημιουργοῦ γενόμενοι, κύριοι τῶν ἀνθρωπίνων πράξεων ὑπάρχομεν. εἰ γὰρ ἐκ τῆς τῶν ἄστρων φορᾶς πάντα πράττομεν, κατ' ἀνάγκην πράττομεν ἃ πράττομεν. τὸ δὲ κατ' ἀνάγκην γινόμενον, οὔτε ἀρετὴ οὔτε κακία ἐστίν. εἰ δὲ μήτε ἀρετὴν μήτε κακίαν κεκτήμεθα, οὔτε ἐπαίνων καὶ στεφάνων, οὔτε ψόγων ἢ κολάσεως ὑπάρχομεν ἄξιοι· εὑρεθήσεται δὲ καὶ ὁ θεὸς ἄδικος, τοῖς μὲν ἀγαθά· τοῖς δὲ θλίψεις διδούς. ἀλλ' οὐδὲ κυβερνήσει· οὐδὲ τῶν ἑαυτοῦ κτισμάτων ὁ θεὸς ποιήσεται πρόνοιαν εἰ κατ' ἀνάγκην ἄγεται τὰ πάντα καὶ φέρεται. καὶ ὁ λογισμὸς δὲ·

περὶ τοῦ ἡμῖν ἐξόν· μηδεμιᾶς δ' οὖν τῆς
πράξεως κύριοι, περὶ τίνος βουλευόμεθα;
τὸ δὲ λογικὸν πάντως, τῆς βουλῆς ἡμῖν
ἕνεκεν δέδοται. ὅθεν πᾶν λογικόν, καὶ αὐτεξούσιον.
ἡμεῖς δέ φαμεν ὅτι οὐκ αἴτια ταῦτα τινός ἐστι τῶν
γινομένων· οὔτε γενέσεως τῶν γινομένων,
οὔτε τῶν φθειρομένων, φθορᾶς· σημεῖα δὲ μᾶλλον
ὄμβρων τε καὶ τῆς τοῦ ἀέρος μεταβολῆς. ἴσως
δ' ἄν τις εἴποι, καὶ πολέμων οὐκ αἴτια, ἀλλὰ ση-
μεῖα. καὶ ἡ ποιότης δὲ τοῦ ἀέρος ποιουμένη
ὑπὸ ἡλίου καὶ σελήνης καὶ τῶν ἄστρων ἄλλως καὶ
ἄλλως, διαφόρους κράσεις καὶ διαθέσεις συνί-
στησιν. αἱ δὲ ἕξεις τῶν ἐφ' ἡμῖν κρατοῦνται παρὰ
τῷ λόγῳ καὶ ἄγονται καὶ τρέπονται. συνίστανται
δὲ πολλάκις καὶ κομῆται, σημεῖα τινὰ θανάτου
βασιλέων. οἵτινες οὐκ εἰσὶ τῶν ἐξ ἀρχῆς
γεγενημένων ἄστρων· ἀλλὰ τῷ θείῳ προστάγματι
κατ' αὐτὸν τὸν καιρὸν συνίστανται, καὶ πάλιν δια-
λύονται. ἐπεὶ καὶ ὁ κατὰ τὴν τοῦ Χριστοῦ δι' ἡμᾶς κατὰ
σάρκα φιλάνθρωπον καὶ σωτήριον γέννησιν ὀφθεὶς

τοῖς μάγοις ἀστὴρ, οὐ τῶν ἐν ἀρχῇ γεγενημένων
ἄστρων ἦν· καὶ δῆλον ἐκ τοῦ ποτὲ μὲν ἐξ ἀνατολῶν
ἐπὶ δυσμὰς ποιεῖσθαι τὸν δρόμον· ποτὲ δὲ ἐκ βορρᾶ
ἐπὶ νότον· καὶ ποτὲ μὲν, κρύπτεσθαι· ποτὲ δὲ φαί-
νεσθαι· τοῦτο γὰρ, οὐκ ἔστιν ἄστρων τάξεως ἢ
φύσεως. χρὴ δὲ γινώσκειν ὡς ἐκ τοῦ ἡλίου φωτίζεται
ἡ σελήνη· οὐχ ὡς ἀπορήσαντος τοῦ θεοῦ δοῦναι
αὐτῇ ἴδιον φῶς, ἀλλ' ἵνα ῥυθμὸς καὶ τάξις ἐν-
τεθῇ τῇ κτίσει, ἄρχοντος καὶ ἀρχομένου· καὶ ἵνα
διδαχθῶμεν καὶ ἡμεῖς κοινωνεῖν ἀλλήλοις καὶ μετα-
διδόναι καὶ ὑποτάσσεσθαι· πρῶτον μὲν, τῷ ποι-
ητῇ καὶ δημιουργῷ θεῷ καὶ δεσπότῃ· ἔπειτα δὲ,
καὶ τοῖς ὑπ' αὐτοῦ καθισταμένοις ἄρχουσι· καὶ μὴ ἀνα-
κρίνειν τίνος ἕνεκεν οὗτος ἄρχει, ἐγὼ δὲ, οὔ·
δέχεσθαι δὲ πάντα παρὰ θεοῦ, εὐχαρίστως, καὶ
εὐγνωμόνως· ἐκλείπει δὲ ὅ τε ἥλιος καὶ ἡ σε-
λήνη· τοὺς τὴν κτίσιν προσκυνοῦντας ἀντὶ τοῦ
κτίσαντος, τοὺς ἀνοήτους διελέγχοντα· καὶ παι-
δεύοντα ὡς τρεπτά εἰσι καὶ ἀλλοιωτά· πᾶν
δὲ τρεπτὸν, οὐ θεός· φθαρτὸν ἅπαν τρεπτόν·

ἐκλείπει δὲ ὁ μὲν ἥλιος, τῷ σώματι τῆς
σελήνης ὥσπερ τινὸς μεσοτοίχου γινο-
μένου καὶ ἀποσκιάζοντος· καὶ μὴ ἐῶντος δι-
αδοθῆναι ἡμῖν τὸ φῶς· ὅσον οὖν εὑρεθῇ τὸ
σῶμα τῆς σελήνης ἀποκρύπτον τοῦ ἡλίου, το-
σοῦτον καὶ ἡ ἔκλειψις γίνεται· εἰ δὲ μικρότερον
ἐστὶ τὸ τῆς σελήνης σῶμα, μὴ θαυμάσῃς·
καὶ ὁ ἥλιος γὰρ ὑπὸ τινῶν μὲν λέγεται πολλαπλα-
σίων τῆς γῆς· ὑπὸ δὲ τῶν πρώτων, ἴσος τῇ γῇ·
καὶ πολλάκις μικρὸν νέφος, καλύπτει αὐτόν· ἢ
καὶ μικρὸς βουνὸς ἢ τοῖχος· ἡ δὲ τῆς σελήνης
ἔκλειψις, ἐκ τοῦ ἀποσκιάσματος τῆς γῆς
γίνεται· ὅτε γένηται πεντεκαιδεκαταία ἡ
σελήνη· καὶ εὑρεθῇ ἐξ ἐναντίας κατὰ τὸ ἀκρό-
κεντρον· ὁ μὲν ἥλιος, ὑπὸ γῆν· ἡ δὲ σελήνη,
ὑπὲρ γῆν· ἀποσκίασμα γὰρ ποιεῖ ἡ γῆ, καὶ οὐ φθά-
νει τὸ ἡλιακὸν φῶς, φωτίσαι τὴν σελήνην,
κἀκεῖθεν ἐκλείπει· χρὴ δὲ γινώσκειν. ὅτι
τελεία ἐκτίσθη ἡ σελήνη ὑπὸ τοῦ δημιουργοῦ,
ἤτοι πεντεκαιδεκαταία· ἔπρεπε γὰρ ἀπαρ-

-πισμένην γίνεσθαι· τὰς δὲ τέταρτα τῆς ἡμέρας,
ὡς ἔφημεν, ἐκπίπτει· περιελάμβανον οὖν τοῦ
ἡλίου ἕνδεκα ἡμέρας· ἀπὸ τοῦ τετάρτου τῆς
ἡμέρας ἕως πεντεκαιδεκάτης, ἕνδεκά εἰσι·
διὸ ἑκάστου χρόνου οἱ δώδεκα μῆνες τῆς σελήνης,
ἕνδεκα ἡμέρας λείπουσιν ἐκ τῶν δώδεκα
μηνῶν τοῦ ἡλίου· οἱ μὲν τοῦ ἡλίου, τριακοσίας
ἑξήκοντα πέντε τέταρτον ἡμέρας ἔχουσι·
διὸ τοῦ τετάρτου συντιθεμένου, κατὰ
τέσσαρα ἔτη, μία ἐκτελεῖται ἡμέρα· ἣ ἀπο-
λέγεται βίσεκτος· καὶ ὁ ἐνιαυτὸς ἐκεῖνος, τρι-
-ακοσίας ἑξήκοντα ἓξ ἡμέρας ἔχει· οἱ δὲ
τῆς σελήνης ἐνιαυτοί, τριακοσίων πεντή-
-κοντα τεσσάρων εἰσὶν ἡμερῶν· ἡ δὲ σελήνη
ἀφ' οὗ γεννηθῇ, αὔξει ἕως οὗ γένηται ἡμερῶν
δεκατεσσάρων ἥμισυ τετάρτου· καὶ ἄρχεται
λήγειν ἕως ἡμερῶν εἰκοσιεννέα ἥμισυ· καὶ τε-
-λείως γίνεται ἀφώτιστος· καὶ πάλιν συναπτομένη
τῷ ἡλίῳ, ἀναγεννᾶται καὶ ἀνακαινίζεται·
ὑπόμνημα φέρουσα τῆς ἡμῶν ἀναστάσεως.

καθ' ἕκαστον οὖν ἐνιαυτόν, τὰς ὧν δὲ καὶ ἡμέρας
ἀποδίδωσι τῷ ἡλίῳ. κατὰ οὖν τρεῖς χρό-
νους, ἐμβόλιμος μὴν γίνεται παρ' ἑβραίοις.
καὶ ὁ ἐνιαυτὸς ἐκεῖνος, δεκατριῶν μηνῶν εὑρίσκεται
ἐκ τῆς προσθήκης τῶν ὧν δὲ καὶ ἡμερῶν. διὰ λόγον
δὲ οὗτος, ὥσπερ οὖν θετός ἐστιν ὅ τε ἥλιος καὶ ἡ σε-
λήνη καὶ τὰ ἄστρα. καὶ φθορὰν κατὰ τὴν ἰδίαν φύσιν
ὑπόκεινται. τῇ δὲ τούτων φύσει, οὐχὶ σῶμα.
τινὲς μὲν οὖν φασι τὸ πῦρ, ἐκ τοῦ τινος ὕλης
ἀφανισθῆναι. ὅθεν καὶ σβεννύμενον, ἀφανίζεται.
ἕτεροι δὲ τοῦτο σβεννύμενον, εἰς ἀέρα αὐξάνεσθαι
μεταβάλλεσθαι. ὁ ζωδιακὸς κύκλος, λοξῶς
κινεῖται. διῄρηται εἰς τμήματα δώδεκα.
ἅτινα καλεῖται ζώδια. τὸ δὲ ζώδιον, ἔχει
δεκάμοιρα τρεῖς· μοίρας λ΄. ἡ δὲ μοῖρα, λεπτὰ
ξ΄. ἔχει οὖν ὁ οὐρανός, μοίρας τξ΄. τὸ ὑπὲρ γῆν
ἡμισφαίριον, μοίρας ρπ΄. καὶ τὸ ὑπὸ γῆν, ρπ΄.
οἶκοι πλανητῶν: κριὸς καὶ σκορπίος, οἶκος
ἑρμοῦ: ταῦρος καὶ ζυγός, οἶκος ἀφροδίτης:
δίδυμος καὶ παρθένος, οἶκος ἄρεως: καὶ

-κῖνος, οἶκος σελήνης· λέων οἶκος ἡλίου· τοξό(της)

καὶ ἰχθύες, οἶκος διός· αἰγόκερως καὶ ὑδροχό(ος),

οἶκος κρόνου· ὑψώματα· κριὸς ἡλίου·

ταῦρος σελήνης· καρκῖνος διός· παρθένος,

ἑρμοῦ· ἰχθύες· ἀφροδίτης· ζυγὸς κρόνου·

αἰγόκερως, ἄρεως· τὰ σχήματα τῆς σελήνης·

σύνοδος δὲ ὅταν συνῇ τῷ αὐτῷ τῇ μοίρᾳ ἐν ᾗ ἐστὶν

ὁ ἥλιος· γίνεται ὅταν ἀπόσχῃ τοῦ ἡλίου μοίρας

ιε· ἀνατολὴ ὅτε φαίνεται μονοειδής· δεύτερον

ὅταν ἀπέχῃ μοίρας ξ· διχότομος δὲ ὅταν

ἀπέχῃ μοίρας Ϟ· ἀμφίκυρτος δὲ, ὅταν

ἀπέχῃ μοίρας ρκ· πλησισέληνος καὶ πλησι-

φαὴς δὲ ὅταν ἀπέχῃ μοίρας ρμ·

πανσέληνος ὅταν ἀπέχῃ μοίρας ρπ·

διὰ δὲ ἐκ τούτων, μείωσις αὔξουσα καὶ μείωσις λήγουσα·

διὰ τῶν αὐτῶν ἡμερῶν, παρέρχεται ἡ σελήνη,

ἕκαστον ζώδιον· — περὶ ἀέρος καὶ ἀνέμων· χρ

Ἀήρ ἐστι στοιχεῖον λεπτότατον· ὕδατος μὲν λεπτότερον·

τοῦ μὲν πυρὸς, παχύτερον· τῆς δὲ γῆς καὶ

τῶν ὑδάτων, κουφότερον· ἀνατρεπτικὸς δὲ καὶ

ἐκφωνήσεως αἴτιον· ἀχρώματος· ἤτοι ἐκ φύσεως χρῶμα μὴ κεκτημένον· διειδὴς· διαφανής· φωτὸς γὰρ ἐστὶ δεκτικός· καὶ ταῖς τρισὶν αἰσθήσεσιν ἡμῶν διακονῶν· δι' αὐτοῦ γὰρ ὁρῶμεν· καὶ ἀκούομεν· καὶ ὀσφραινόμεθα· δεκτικὸς θάλψεώς τε καὶ ψύξεως· ξηρότητός τε καὶ ὑγρότητος· οὗ πᾶσαι αἱ κατὰ τόπον κινήσεις εἰσί· ἄνω· κάτω· ἔσω· ἔξω· δεξιά· ἀριστερὰ καὶ ἡ κυκλοφορικὴ κίνησις· οἴκοθεν μὴ κεκτημένος τὸ φῶς· ἀλλ' ὑπὸ ἡλίου καὶ σελήνης καὶ ἀστέρων καὶ πυρὸς φωτιζόμενος· καὶ τοῦτό ἐστιν ὃ εἶπεν ἡ γραφή· ὅτι σκότος ἦν ἐπάνω τῆς ἀβύσσου· θέλουσα δεῖξαι, ὡς οὐκ οἴκοθεν ὁ ἀὴρ τὸ φῶς κέκτηται, ἀλλ' ἄλλη τίς ἐστιν οὐσία ἡ τοῦ φωτός· ἄνεμος δέ ἐστι κίνησις ἀέρος· καὶ ὁ τόπος δὲ τοῦ ἀέρος ἐστί· τόπος γάρ ἐστιν ἑκάστου σώματος ἡ τούτου περιοχή· τί δὲ περιέχει τὰ σώματα εἰ μὴ ὁ ἀήρ· εἰσὶ δὲ τόποι διάφοροι· ὅθεν ἡ τοῦ ἀέρος γίνεται κίνησις· ἐξ ὧν καὶ οἱ ἄνεμοι, τὰς ἐπωνυμίας ἔχουσι· δώδεκα δὲ οἱ πάντες εἰσί·

φασὶ δὲ τὸν ἀέρα, ἢ σβέσιν ἐστὶν πυρὸς, ἢ ἀτμὸν
ὕδατος, θερμανθέντος· ἔστι γοῦν ὁ ἀὴρ, κατὰ
μὲν τὴν οἰκείαν φύσιν, θερμός· ψύχεται δὲ τῇ γει-
-τνιάσει τῇ πρὸς τὸ ὕδωρ καὶ τὴν γῆν· ὥστε τὰ
μὲν κατωτέρω μέρη αὐτοῦ, ψυχρὰ εἶναι· τὰ δὲ
ἄνω, θερμά: —  περὶ ἀνέμων: —

Ἄνεμοι δέ εἰσι, πλῆθος θερμοῦ καὶ ξηροῦ ἀναθυμι-
-άσεως· κινούμενον περὶ γῆν· ἄνεμοι δὲ πνέ-
-ουσιν, ἀπὸ ἀνατολῆς θερινῆς, καικίας ὁ καὶ
μέσης· ἀπὸ ἀνατολῆς ἰσημερινῆς, ἀπη-
-λιώτης· ἀπὸ ἀνατολῆς χειμερινῆς, εὖρος·
ἀπὸ δύσεως χειμερινῆς, λίψ· ἀπὸ δύσεως
ἰσημερινῆς, ζέφυρος· ἀπὸ δύσεως θερινῆς,
ἀργέστης· ἤτοι ὀλυμπίας ὁ καὶ ἰάπυξ καὶ βορέας·
ἔσται νότος· καὶ ἀπαρκτίας ἀντιπνέοντες
ἀλλήλοις· ἔστι δὲ μέσος ἀπαρκτίου καὶ καικίου,
βορρᾶς· εὔρου δὲ καὶ νότου μέσος, φοῖνιξ
ὁ καλούμενος εὐρόνοτος· μέσος δὲ νότου καὶ λιβός,
λιβόνοτος ὁ καὶ λευκόνοτος· μέσος ἀπαρκτίου
καὶ ἀργέστου, θρασκίας ἤτοι κιρκίος· ὑπὸ τῶν

xς De Ve

Cæcias Mo
ses

περιοίκων οὕτως ὀνομάζομεν. ἔστιν οὖν
οἱ ἄνεμοι, δώδεκα. ὧν ἡ καταγραφὴ ἐστὶν
αὕτη. ἀπ' ἀνατολῆς ἰσημερινῆς ἀπηλιώτης.
ἀπ' ἀνατολῆς θερινῆς, καικίας. εὖρος ἀπ' ἀνατο-
λῆς χειμερινῆς, μετὰ εὐρόνοτον. βορρᾶς
καὶ φοῖνιξ. ἀρκτικὸς ἀπαρκτίας. νότος. με-
σημβρίας, θρασκίας λιβόνοτος. μέσης ὁ
καὶ μέσαρος. λευκόνοτος. κόρκιος. λὶψ
δύσεως θερινῆς, ἀργέστης. δύσεως χειμερι-
νῆς, ἰάπυξ ὁ καὶ ὀλυμπίας. καὶ βαρβάρης. πρὸς
ἐπὶ τούτοις, καὶ ζέφυρος. ἔθνη δὲ οἰκεῖ, τὰ πέ-
ρατα κατὰ ἀπηλιώτην. Βακτριανοὶ κατὰ
εὖρον, Ἰνδοὶ κατὰ φοίνικα, ἐρυθρὰ θάλασσα,
καὶ Αἰθιοπία κατὰ λευκόνοτον, οἱ ὑπὲρ Σύρτιν
Γαράμαντες κατὰ λίβα, Αἰθίοπες καὶ δυσμι-
κοὶ ὑπερμαυροι κατὰ ζέφυρον, στῆλαι καὶ ἀρχαὶ
Λιβύης καὶ Εὐρώπης κατὰ ἀργέστην. Ἰβηρί-
κη νῦν ἡ σπανία κατὰ θρασκίαν, Κελτοὶ καὶ τὰ
ὅμορα κατὰ ἀπαρκτίαν, οἱ ὑπὲρ Θράκην
Σκύθαι κατὰ βορρᾶν, πόντος. μαιῶτις καὶ

triani
i
re rubrum
hiopia
Garamantes
thiopes
permauri
Columne Her
Hispania
Galli .i. Celtae
Scythae
Pontus
Maeotis

σαρματῶν καὶ καυκάσων, καὶ κασπία θάλασσα Caspium
καὶ ἑτέρων: — Περὶ ὑδάτων: — κη'

Καὶ τὸ ὕδωρ δὲ, ἓν τῶν στοιχείων ἐστὶ τῶν τεσσάρων. ποίημα θεοῦ κάλλιστον. ὕδωρ ἐστὶ, στοιχεῖον ὑγρὸν τε καὶ ψυχρὸν· βαρύ τε καὶ κατωφερὲς· εὐδιάχυτον. τούτου δὲ μνημονεύει ἡ θεία γραφὴ λέγουσα. καὶ σκότος ἐπάνω τῆς ἀβύσσου. καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. ἄβυσσος δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ ὕδωρ πολύ. Abyss. οὗ τὸ πέρας ἀκατάληπτον ἀνθρώποις. ἐν ἀρχῇ μὲν οὖν τὸ ὕδωρ ἐπὶ πᾶσαν τὴν γῆν ἐπεπόλαζε. καὶ πρῶτον μὲν ἐποίησεν ὁ θεὸς τὸ στερέωμα, διαχωρίζον ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ὑποκάτω τοῦ στερεώματος. ἐν τῷ μέσῳ γὰρ τῆς ἀβύσσου τῶν ὑδάτων, ἐστερεώθη τῷ δεσποτικῷ προστάγματι. ὅθεν καὶ στερέωμα εἶπεν ὁ θεὸς γενέσθαι, καὶ ἐγένετο. τίνος δὲ χάριν ἐπάνω τοῦ στερεώματος ὕδωρ ὁ θεὸς ἀπέθετο. διὰ τὴν τοῦ ἡλίου καὶ τοῦ αἰθέρος θερμοτάτην ἔκκαυσιν. εὐθέως γὰρ

μετὰ τὸ στερέωμα, ὁ αἰθὴρ ὑφήπλωται.
καὶ ὁ ἥλιος δὲ, σὺν τῇ σελήνῃ καὶ τοῖς ἄστροις,
ἐν τῷ στερεώματι εἰσί· καὶ εἰ μὴ ἐπέκειτο
ὕδωρ, ἐφλέχθη ἂν ὑπὸ τοῦ θέρμους τὸ
στερέωμα· εἶτα προσέταξεν ὁ θεὸς συναχθῆ-
ναι τὰ ὕδατα εἰς συναγωγὴν μίαν· τὸ δὲ
μίαν συναγωγὴν λέγειν, οὐ δηλοῖ τὸ ἐν ἑνὶ τόπῳ
συναχθῆναι αὐτά· ἰδοὺ γὰρ μετὰ ταῦτα φησί·
καὶ τὰ συστήματα τῶν ὑδάτων, ἐκάλεσε
θαλάσσας, ἀλλὰ τὸ ὁμοῦ καθ' ἑαυτὰ κεχω-
ρισμένα τῆς γῆς συνέρχεσθαι τὰ ὕδατα,
ὁ λόγος ἐδήλωσε· συνήχθησαν τοίνυν
τὰ ὕδατα εἰς τὰς συναγωγὰς αὐτῶν,
καὶ ὤφθη ἡ ξηρά· ἐντεῦθεν δύο θάλασσαι,
αἱ τὴν αἴγυπτον περιέχουσαι· μέση δ' αὕτη
τῶν δύο κεῖται θαλασσῶν· συνέστησαν
διάφορα πελάγη καὶ ὄρη· καὶ νήσους καὶ ἀγκῶνας
καὶ λιμένας ἔχουσαι καὶ κόλπους διαφόρους
περιέχουσαι· αἰγιαλούς τε καὶ ἀκτάς· αἰγιαλὸς
μὲν γὰρ ὁ ψαμμώδης τόπος λέγεται· ἀκτὴ δὲ,

ἡ πετρώδης δὲ ἀρχὴ Ἀραβίας· εὐθέως ἡ τὴν
ἀρχὴν Ἀραβίας ἔχουσα· ὁμοίως δὲ ἡ κατὰ τὴν
ἀνατολήν· ἡ πρὸς λέγεται ἰνδική· ἡ δὲ βορεινή,
ἡ πρὸς λέγεται Κασπία· δὲ ἄλλη ἡ μαυδε, ἡ περὶ
σιωνχθης· ἐν ὅσῳ ὁμοῦ ὠκεανοῦ, οἷον τὸν
ποταμὸν κυκλῶν πᾶσαν τὴν γῆν· περὶ οὗ ἔρη-
-χισγαμοι δοκεῖ ἡ θεία γραφή· ὅτι ποταμὸς ἐκπο-
-ρεύεται ἐκ τοῦ παραδείσου· πότιμον δὲ γλυκὺ
ὕδωρ ἔχων· οὗτος χορηγεῖ τὸ ὕδωρ ταῖς θα-
-λάσσαις· ὁ περὶ τὰς θαλάσσας χερνίκον· καὶ
ἔξωθεν ἀκίνητον, περικεχυμένον· τοῦ ἡλίου
ἀρ τὸ λεπτότατον ἀφιμμένου δὲ τῶν σι-
-φώνων· ὅθεν δὲ ταῖς νεφέλαις ἀνίσταται· δὲ οἱ ὄμ-
-βροι γίνονται· διὰ τῆς διηθήσεως γλυκαινο-
-μένου τοῦ ὕδατος· οὗτος εἰς τέσσαρας ἀρχὰς
ἤτοι εἰς τέσσαρας ποταμοὺς διαιρεῖται· ὄνομα
τῷ ἑνὶ Φεισών· τουτέστι Γάγγης ὁ ἰνδικός· δὲ ὄνομα
τῷ δευτέρῳ Γεών· οὗτος ὁ Νεῖλος ὁ ἀπὸ Αἰθιο-
-πίας εἰς Αἴγυπτον κατερχόμενος· δὲ ὄνομα τῷ

G. m.

τρίτῳ, τίγρης· καὶ ὄνομα τῷ τετάρτῳ,
εὐφράτης· εἰσὶ δὲ καὶ ἕτεροι πλεῖστοι καὶ μέ-
γιστοι ποταμοί· ὧν οἱ μὲν, εἰς τὴν θάλασσαν
κενοῦνται· οἱ δὲ, εἰς τὴν γῆν ἀναλίσκονται.
ὅμως καὶ πᾶσα ἡ γῆ ὑπότρητός ἐστι καὶ ὑπόνομος·
ὥσπερ τινὰς φλέβας ἔχουσα· δι' ὧν ἐκ τῆς
θαλάσσης δεχομένη τὰ ὕδατα, τὰς πη-
γὰς ἀνίησι· πρὸς οὖν τὴν ποιότητα τῆς
γῆς, καὶ τὸ τῶν πηγῶν ὕδωρ γίνεται· διηθεῖται
μὲν γὰρ καὶ διυλίζεται διὰ τῆς γῆς τὸ θαλάτ-
τιον ὕδωρ, καὶ οὕτω γλυκαίνεται· ἐὰν δὲ ὁ τόπος
ὅθεν ἡ πηγὴ ἀναδίδοται, τύχῃ πικρὸς ἢ ἁλ-
μυρός, πρὸς τὴν γῆν καὶ τὸ ὕδωρ ἀναβλύζεται·
στενούμενον δὲ πολλάκις τὸ ὕδωρ· καὶ βίᾳ
ἐκρηγνύμενον, θερμαίνεται· κἀντεῦθεν τὰ
αὐτοφυῆ θερμὰ ἀναβλύζονται ὕδατα· τῷ οὖν
θείῳ προστάγματι, κοιλώματα ἐν τῇ γῇ γε-
γόνασι· καὶ οὕτως εἰς τὰς συναγωγὰς αὐτῶν
συνήχθη τὰ ὕδατα· ἐντεῦθεν καὶ τὰ ὄρη

γεγόνασι· πρῶτον τοίνυν τῷ ὕδατι προ-
σέταξεν ὁ θεός, ἐξαγαγεῖν ψυχὴν ζῶσαν· ἐπειδὲ
ἔμελλε δι' ὕδατος καὶ τοῦ πνεύματος χάριτος ἐπιφερο-
μένου τοῖς ὕδασιν ἀξιοῦντος ἀνακαινίζειν
τὸν ἄνθρωπον· τοῦτο γὰρ ὁ θεῖος ἔφη Βασίλειος· ἐξή-
γαγε δὲ ζῶα, μικρά τε καὶ μεγάλα· κήτη δρά-
κοντας· ἰχθύας ἐν τοῖς ὕδασιν ἑρπετά·
καὶ πετεινὰ πετόμενα· διὰ τῶν πετεινῶν
οἷον οἶμαι ἀποτελεῖται τό, τε ὕδωρ· καὶ ἡ γῆ καὶ ὁ ἀήρ·
ἐξ ὕδατος μὲν γὰρ ταῦτα γεγόνασιν· ἐν τῇ γῇ δὲ διαι-
τρίβει· καὶ ἐν ἀέρι ἵπταται· κάλλιστον δὲ στοι-
χεῖον καὶ πολύχρηστον· καὶ ῥύπου καθάρσιον· οὐ
μόνου σωματικοῦ, ἀλλὰ καὶ ψυχικοῦ· ὃ περι-
λάμποι τῇ χάριτι τοῦ πνεύματος:- **περὶ πελαργῶν:-** χε

Διαδέχεται τὸ ἀγαθὸν πελαργοῦ ἐλάσσον τοῦ
λήγοντος ἀριθμὸν καὶ σκοπόν· εἶτα ἡ πρότερον ζῶα
κατὰ χελιδόνα καὶ φρύξαντι· ὥσπερ τὰ στρουθία· ἀφ'
ὧν ὁπότερον ἀφίκηται· ἀλλὰ μὴν ὡς πολλάκις μὲν
παρὰ τὴν θάλατταν ἀρχῆς εὑρών τις καὶ λίθους ἱεροῦ
ῥαχοῦ· τὸ ἀπὸ στηλῶν κατὰ τὸ πρῶτον τὸ ὅρος·

λιβυστικὸν δέ, τὸ ἕως τῆς τυρρηνίας,
παρ' αὐτῶν· σαρδώνιον δέ, τὸ ὑπὲρ τὴν σαρδὼ
νεῦον πρὸς τὴν λιβύην κάτω· τυρρηνικὸν δέ,
τὸ μέχρι σικελίας νήσου· ἀρχόμενον ἀπὸ τῆς
λιβυστικῆς ἄκρων· εἶτα λιβυκόν· εἶτα
κρητικόν· καὶ σικελικόν· καὶ ἰώνιον· οὓς καλοῦσι
κορινθιακὸν κόλπον· ἢ τὴν ἀλκυονίδα θά-
λασσαν· τὸ δὲ σουνίῳ καὶ σκυλλαίῳ περιεχό-
μενον πέλαγος· σαρωνικόν· εἶτα μυρτῷον
καὶ ἰκάριον· ἐν ᾧ αἱ κυκλάδες· εἶτα καρπάθιον·
καὶ παμφύλιον· καὶ αἰγύπτιον· ὑπὲρ δὲ τὸ ἰκάριον
ἑξῆς ἅμα χεῖται τὸ αἰγαῖον· ὁ δὲ τῆς εὐρώπης
παράπλους, ἀπὸ τοῦ ταναΐδος ποταμοῦ
ἐκβολῶν ἕως ἡρακλείων στηλῶν, στάδια
͵ϛ [illegible] ͵θ· τῆς δὲ λιβύης ἀπὸ τίγγεως
στόματος κανωβικοῦ στάδια [illegible] σνθ·
τῆς δὲ ἀσίας ἀπὸ κανώβου ἕως ταναΐδος
ποταμοῦ μετὰ τῶν κόλπων ὁ παράπλους
στάδια [illegible] ρια· ὁμοῦ παράλιος σὺν κόλποις
τῆς καθ' ἡμᾶς οἰκουμένης στάδια [illegible] οβ·—

...pae. Afri
Asiae. pre
navigatio
...dia

+ περὶ γῆς καὶ τῶν ἐξ αὐτῆς :~ κϛ

Ἡ γῆ ἕν ἐστι τῶν τεσσάρων στοιχείων, ξηρόν τε
καὶ ψυχρὸν καὶ βαρὺ καὶ ἀκίνητον ὑπὸ θεοῦ ἐκ τοῦ
μὴ ὄντος εἰς τὸ εἶναι τῇ πρώτῃ ἡμέρᾳ παρ-
-ηγμένον. ἐν ἀρχῇ γάρ φησιν ἐποίησεν ὁ θεὸς τὸν
οὐρανὸν καὶ τὴν γῆν. ἧς τὴν ἕδραν καὶ τὴν βάσιν,
οὐδεὶς ἀνθρώπων εἰπεῖν δεδύνηται. οἱ μὲν γὰρ ἐπὶ
ὑδάτων φασὶν ἡδρᾶσθαι καὶ πεπῆχθαι αὐτὴν
ὥς φησιν ὁ θεῖος Δαβίδ· τῷ στερεώσαντι τὴν
γῆν ἐπὶ τῶν ὑδάτων. οἱ δὲ, ἐπὶ τοῦ ἀέρος.
ἄλλος δέ φησιν, ὁ ἑδράσας τὴν γῆν ἐπ' οὐδενός.
καὶ πάλιν ὁ θεῖος Δαβὶδ ὡς ἐκ προσώπου
τοῦ δημιουργοῦ. ἐγώ φησιν ἐστερέωσα τοὺς
στύλους αὐτῆς. τὴν συνεκτικὴν αὐτῆς δύ-
-ναμιν, στύλους ὀνομάσας. τὸ δὲ ἐπὶ θα-
-λασσῶν ἐθεμελίωσεν αὐτὴν, δηλοῖ τὸ,
πανταχόθεν περικεχύσθαι τῇ γῇ, τὴν τοῦ
ὕδατος φύσιν. καὶ οὖν ἐφ' ἑαυτῆς. καὶ ἐπ'
ἀέρος. καὶ ἐπὶ ὑδάτων. καὶ ἐπ' οὐδενὸς
δῶμεν ἡδρᾶσθαι αὐτὴν, χρὴ μὴ ἀφίστασθαι

τῆς εἰς ἑτέρους ἐννοίας· ἀλλὰ πάντα, τὴν μὲν γῆν
συγκρατεῖσθαι ὁμολογεῖν καὶ συνέχεσθαι,
τῇ δυνάμει τοῦ κτίσαντος τοῦ θεοῦ· ἐν ἀρχῇ μὲν
οὖν καθώς φησιν ἡ γραφή, ὑπὸ ὑδάτων ἐ-
κεκάλυπτο· καὶ ἀκατασκεύαστος· ἤτοι ἀ-
κόσμητος ἦν· τοῦ δὲ θεοῦ προστάξαντος,
τὰ τῶν ὑδάτων δοχεῖα γέγονε· καὶ τότε τὰ
ὄρη ὑπῆρξε· καὶ τῷ θείῳ προστάγματι, τὸν
οἰκεῖον ἀπείληφε κόσμον· παντοδαπαῖς
χλόαις καὶ φυτοῖς ὡραϊσθεῖσα· οἷς τὸ
θεῖον ἐνέθηκε πρόσταγμα· δύναμιν αὐξη-
τικήν τε καὶ θρεπτικὴν καὶ σπερματικήν· ἤτοι τοῦ
ὁμοίου γεννητικήν· ἐξήγαγε δὲ τοῦ δημιουργοῦ
κελεύσαντος, καὶ παντοῖα γένη ζώων· ἑρπετῶν
τε καὶ θηρίων καὶ κτηνῶν· πάντα μὲν, πρὸς τὴν
τοῦ ἀνθρώπου εὔκαιρον χρῆσιν· ἀλλὰ τούτων,
τὰ μὲν πρὸς βρῶσιν· οἷον, ἐλάφους· πρόβατα·
δορκάδας, καὶ τὰ τοιαῦτα· τὰ δὲ πρὸς διακο-
νίαν· οἷον, καμήλους· βόας· ἵππους· ὄνους·
καὶ τὰ τοιαῦτα· τὰ δὲ πρὸς τέρψιν· οἷον, πιθήκους·

καὶ τῶν ὀρμενίων, κισσός τε καὶ ἄλλοι πολλοί.
καὶ τὰ τοιαῦτα. καὶ τῶν φυτῶν δὲ καὶ βοτανῶν.
τὰ μὲν καρποφόρα καὶ ἐδώδιμα· τὰ δὲ εὐώδη
καὶ ἀνθηρὰ πρὸς τέρψιν ἡμῖν δεδωρημένα·
οἷον, τὸ ῥόδον καὶ τὰ τοιαῦτα· τὰ δὲ πρὸς
νοσημάτων ἴασιν. οὐκ ἔστι γὰρ οὐδὲ ζῷον· οὐ-
δὲ φυτόν· ἐν ᾧ οὐκ ἐνδείξειαν τὴν τῇ τῶν ἀνθρώπων
χρείᾳ χρησιμεύουσαν· ὃ δημιουργὸς ἐναπέ-
- θετο· ὅτι τὰ πάντα πρὶν γενέσεως αὐτῶν
ἐπιστάμενος ἀκριβῶς ὡς μέλλει ἐν αὐτεξουσίῳ,
παραβάσει γίνεσθαι, καὶ τῇ φθορᾷ παραδίδοσθαι,
πάντα τὰ πρὸς εὔκαιρον χρῆσιν αὐτοῦ· τά τε
ἐν τῷ στερεώματι· τά τε ἐν τῇ γῇ, καὶ τὰ ἐν
ὕδασιν ἔκτισε· πρὸ μὲν οὖν τῆς παραβάσεως,
πάντα ἦν ὑποχείρια τῷ ἀνθρώπῳ· ἄρχοντα
γὰρ κατέστησεν αὐτὸν ὁ θεὸς πάντων τῶν ἐν
τῇ γῇ καὶ τοῖς ὕδασι· καὶ ὁ ὄφις δὲ, συνήθης
τῷ ἀνθρώπῳ ἦν· μᾶλλον τῶν ἄλλων αὐτῷ προσερχό-
- μενος· καὶ τοῖς τερπνοῖς προσομιλῶν τοῖς κινή-
- μασιν· ὅθεν δι' αὐτοῦ τὴν κακίστην ὁ ἀρχέκακος

δι' ἀκολούθου ὑποθήκην τοῖς προπάτορσιν ἐνε-
στήσατο· καὶ ἡ γῆ δὲ, αὐτομάτη τοὺς καρποὺς
ἐξέφερε, περὶ χρείαν τῶν ὑποχειρίων αὐτοῦ
ζώων· καὶ οὔτε ὄμβρος ἦν τῇ γῇ, οὔτε χειμών· μηδὲ
δὲ τὴν παράβασιν ἡνίκα παρεσυνεβλήθη
τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη
αὐτοῖς· ἄρχειν ὡς ἑαυτοῦ τὴν ἄλογον ἐπιθυμίαν
τοῦ λογικοῦ νοῦ παρασκευάσας. παρήκοος
τῆς τοῦ δεσπότου ἐντολῆς γενόμενος, ἐπα-
νέστη τῶν ὑπὸ τοῦ δημιουργοῦ χειροτονηθέντων
ἀρχόντων· καὶ ὑποχείριος κτίσις· ἀλλ' οὐδὲ νῦν
ἀρχῆς καὶ τῶν θηρίων χρῆσις· ἐκφοβοῦσα
καὶ περὶ ἐπίγνωσιν καὶ ἐπίκλησιν τοῦ πεποιηκότος
φόβου θεοῦ· καὶ ἡ ἄκανθα δὲ, μηδὲ πρὸ τῆς παρα-
βάσεως ἐξέφυ τῆς γῆς· κατὰ τὴν τοῦ κυρίου
ἀπόφασιν· μεθ' ἣν ἐξεύχθη καὶ τῇ ἀπολαύσει
τοῦ ῥόδου ἡ ἄκανθα πρὸς ὑπόμνησιν τῆς
παραβάσεως ἡμᾶς ἄγουσα· δι' ἣν ἀκάνθας καὶ
τριβόλους ἡ γῆ ἀνατέλλειν ἡμῖν κατεδικάσθη·
ὅτι μὲν ταῦτα οὕτως ἔχει, πιστευτέον ἐκ τῶν

καὶ μέχρι τοῦ νῦν τὴν τούτων διαμονὴν ἐνερ-
-γεῖν τὸν τοῦ Χριστοῦ λόγον οὗ ἔφη· αὐξάνεσθε καὶ
πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν· σφαι-
-ροειδῆ δὲ ἔφησάν τινες τὴν γῆν· ἕτεροι δὲ κω-
-νοειδῆ· πολλῷ δὲ καὶ πάνυ σμικροτέρα ἐστὶ τοῦ
οὐρανοῦ· ὥσπερ τις στιγμὴ ἐν μέσῳ τούτου κρε-
-μαμένη· καὶ αὕτη δὲ παρελεύσεται καὶ ἀλλαγήσεται.
μακάριος δέ ἐστιν, ὁ τὴν τῶν πραέων γῆν κλη-
-ρονομῶν· ἡ γὰρ μέλλουσα τοὺς ἁγίους ὑποδέχεσθαι
γῆ, ἀθάνατός ἐστι· τίς οὖν ἀξίως τὴν ἄπει-
-ρόν τε καὶ ἀκατάληπτον τοῦ δημιουργοῦ σοφίαν
θαυμάσει· ἢ τίς τὰς πρεπούσας εὐχαριστίας
ἐφίκοιτο, τοῦ δοτῆρος τῶν τοσούτων ἀγαθῶν:

## ⁘ περὶ παραδείσου:- κς

Ἐπεὶ δὲ ἔμελλεν ὁ θεὸς
ἐξ ἀοράτου τε καὶ ὁρατῆς κτίσεως πλάττειν
τὸν ἄνθρωπον, κατ' οἰκείαν εἰκόνα τε καὶ ὁμοίωσιν
ὥσπερ τινὰ βασιλέα καὶ ἄρχοντα πάσης τῆς γῆς καὶ τῶν.
ἐν αὐτῇ προκατασκευάζει αὐτῷ οἷόν τι βα-
-σίλειον. ἐν ᾧ διαιτώμενος, μακαρίαν καὶ πανολβίαν
ἕξει ζωήν· καὶ οὗτός ἐστιν ὁ θεῖος παράδεισος· θεοῦ

χωρίον ἦν ἐν Ἐδὲμ πεφυτευμένον· εὐφροσύνης
καὶ θυμηδίας ἁπάσης ταμιεῖον· Ἐδὲμ γὰρ
τρυφὴ ἑρμηνεύεται· ἐν τῇ ἀνατολῇ μὲν
πάσης τῆς γῆς ὑψηλότερον κείμενον· εὔκρατον
δὲ καὶ ἀέρι λεπτοτάτῳ καὶ καθαρωτάτῳ
περιλαμπόμενον· φυτοῖς ἀειθαλέσι κομῶν·
εὐωδίας πλῆρες· φωτὸς ἔμπλεων· ὥρας
ἁπάσης αἰσθητῆς καὶ κάλλους ὑπερβαίνων ἔν-
νοιαν· θεῖον ὄντως χωρίον, καὶ ἄξιον τοῦ κατ'
εἰκόνα θεοῦ, ἐν ᾧ οὐδὲν τῶν
ἀλόγων ηὐλίζετο· μόνος δὲ ὁ ἄνθρωπος τῶν θείων
χειρῶν τὸ πλαστούργημα· ἐν μέσῳ δὲ τούτου,
ξύλον ζωῆς ὁ θεὸς ἐφύτευσε καὶ ξύλον γνώσεως·
τὸ μὲν ξύλον τῆς γνώσεως, ἀποπειρᾶν τινα
καὶ δοκιμὴν καὶ γυμνάσιον, τῆς τοῦ ἀνθρώπου ὑπακοῆς
καὶ παρακοῆς· διὸ καὶ ξύλον τοῦ γινώσκειν καλὸν
καὶ πονηρὸν κέκληται· ἢ ὅτι τὴν δύναμιν ἐδίδου γνω-
στικὴν τοῖς μεταλαμβάνουσι τῆς οἰκείας
φύσεως· ὅπερ καλὸν μὲν τοῖς τελείοις· κακὸν
δὲ τοῖς ἀτελεστέροις· ἔτι καὶ τὴν ἔφεσιν λι

-χοντόμοις· ὥσπερ βρέφει αἱ τροφαὶ τοῖς
ἁπαλοῖς ἐστὶ καὶ δεομένοις γάλακτος· οὐκ ἐ-
-βούλετο δ' ὁ κτίσας ἡμᾶς θεὸς μεριμνῶν
καὶ περὶ πολλὰ τυρβάζεσθαι· οὔτε φροντίσι
καὶ φερομένους τῆς ἰδίας ζωῆς γίνεσθαι· ὅπερ
δὴ καὶ πέπονθεν ὁ ἀδάμ· γευσάμενος δὲ ἔγνω ὅτι
γυμνὸς ἦν· καὶ περιζώματα ἑαυτῷ περιεποιεῖτο·
φύλλα γὰρ συκῆς λαβὼν περιεζώσατο· πρὸ
δὲ τῆς γεύσεως, γυμνοὶ ἦσαν ἀμφότεροι· ὅ τε
ἀδὰμ καὶ ἡ εὔα, καὶ οὐκ ᾐσχύνοντο· τοιούτους δὲ
ἀπαθεῖς ἐβούλετο εἶναι ἡμᾶς ὁ θεός· ἀπαθείας
γὰρ ἄκρον τοῦτο ἐστίν· ἔτι δὲ καὶ ἀμερίμνους εἶναι ἴ-
-σον ἔχοντας τὸ τῶν ἀγγέλων, ὑμνεῖν ἀλήκτως
τὸν κτίσαντα· καὶ τῆς αὐτοῦ κατατρυφᾶν θε-
-ωρίας· καὶ αὐτῷ ἐπιρρίπτειν τὴν ἑαυτῶν μέριμναν,
ὅπερ καὶ διὰ τοῦ προφήτου δαυῒδ πρὸς ἡμᾶς ἀ-
-πεφθέγξατο· ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν
σου καὶ αὐτός σε διαθρέψει· καὶ ἐν τοῖς ἱεροῖς
εὐαγγελίοις· τοὺς οἰκείους μαθητὰς διδάσκ-
-ων· μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί

φάγητε· μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσ-
ησθε· καὶ πάλιν ζητεῖτε τὴν βασιλείαν τοῦ
θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ· καὶ ταῦτα πάντα
προστεθήσεται ὑμῖν· καὶ πρὸς τὴν μάρθαν· μάρθα
μάρθα μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά·
ἑνὸς δέ ἐστι χρεία· μαρία δὲ τὴν ἀγαθὴν μερίδα
ἐξελέξατο· ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς·
τὸ καθῆσθαι δηλονότι παρὰ τοὺς πόδας αὐτοῦ,
καὶ ἀκούειν τῶν λόγων αὐτοῦ· τὸ δὲ τῆς ζωῆς ξύλον,
ἢ ξύλον ἦν ἔχον ἐνέργειαν ζωῆς παρεκτικήν, ἢ τοῖς
τῆς ζωῆς ἀξίοις καὶ τῷ θανάτῳ οὐχ ὑποκειμένοις μόνοις,
ἐδώδιμον· τινὲς μὲν οὖν αἰσθητὸν τὸν παράδει-
σον ἐφαντάσθησαν· ἕτεροι δέ, νοητόν· πλὴν
ἐμοί γε δοκεῖ· ὅτι ὥσπερ ὁ ἄνθρωπος αἰσθητὸς
ἅμα καὶ νοητὸς δεδημιούργηται, οὕτω καὶ τὸ τούτου
ἱερώτατον τέμενος, αἰσθητὸν ἅμα καὶ νοητόν,
καὶ διπλοῦν ἔχον τὴν ἔμφασιν· τῷ μὲν γὰρ σώματι,
ἐν τῷ θειοτάτῳ χώρῳ καὶ ὑπερκάλλει καθ'
ἱστορήσαν αὐλιζόμενον, τῇ ψυχῇ ἐν ὑπερτέρῳ
καὶ ἀσυγκρίτῳ καὶ περικαλλεστέρῳ τόπῳ διέτριβεν·

θ(εὸ)ν ἔχων τὸν ἔνοικον, καὶ αὐτὸν ἔχων εὐκλεῶς
περὶ ὃν ὁ λόγος· καὶ τὴν αὐτοῦ περιμένειν ἠμελημένος χάριν·
καὶ τοῦ μόνου γλυκυτάτου καρποῦ τῆς αὐτοῦ
θεωρίας κατατρυφῶν· οἷα τις ἄγγελος ἄλλος, καὶ ταύτῃ
τρεφόμενος· ὁ παρ' ἐμοὶ δὲ καὶ ξύλον ζωῆς ἀξίως ὠ-
νόμασται· ζωῆς τῆς ἀθανάτου μὴ διακοπτομένης,
ἢ γλυκύτητος τῆς θείας μεθέξεως, τοῖς μεγάλα λαμ-
ψαμένοις μεγαλοδώρου θ(εο)ῦ· ὃ δὴ καὶ πᾶν ξύλον ζωῆς
ὁ θεὸς ἐκάλεσεν· ἀπὸ παντὸς ξύλου φήσας
τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγεσθε· αὐτὸ
δέ ἐστι τὸ πᾶν· ἐν ᾧ καὶ δι' οὗ τὸ πᾶν συνέστηκε·
τὸ δὲ τῆς τοῦ καλοῦ τε καὶ κακοῦ γνώσεως ξύλον,
ἡ τῆς ποικίλης εἰδέας θεωρία διὰ γνώσεως· αὕτη δὲ
ἐστὶν, ἡ τῆς οἰκείας ἐπιγνώσεως θεοῦ· ἥτις καλὴ
μὲν ἦν τελείοις καὶ ἐν τῇ θείᾳ θεωρίᾳ προβεβηκόσιν·
ἐξ ἑαυτῆς τὴν τοῦ δημιουργοῦ μεγαλουργίαν
δημοσιεύουσα· τὴν μὲν δὲ δι' ὅσα μὴ ἅπτωσιν·
διὰ τὸ ἐκ τοῦ χρόνου ἢ τῆς ἕξεως τινὰ τῆς τοιαύτης
ἐλλαχόντων θεωρία· οὐ καλὴ δὲ τοῖς νέοις ἔτι
καὶ τὴν ἔφεσιν λιχνοτέροις· ὅσος διὰ τὸ ἀμείνον

τῆς ἐν τῷ κρείττονι διαμονῆς· καὶ τὸ μὴ πάντως
παγίως ἐνεδρασθῆναι τῇ τοῦ μόνου καλοῦ
προσεδρείᾳ καὶ τοῦ οἰκείου κηδεμονίας αὐτοῦ,
περὶ ἑαυτὸν ἀμαθεστέραν καὶ περιττὴν πέφυκεν.
οὕτω δὴ πλουσίως οἶμαι τὸν θεῖον παράδεισον.
καὶ ἀληθῶς οἱ θεοφόροι πατέρες παρέδωκαν.
ὡς περὶ τούτου ἐκείνως δὴ διδάξαι τό· δύναται
δένδρον αὐτὸ πᾶν ξύλον, τὴν ἐκ πάντων τῶν κτισ-
μάτων τῆς θείας δυνάμεως γινομένην
ἐπίγνωσιν· ὥς φησιν ὁ θεῖος ἀπόστολος· τὰ γὰρ
ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου
τοῖς ποιήμασι νοούμενα καθορᾶται· πᾶσα
δὲ τῶν ἐννοιῶν καὶ θεωριῶν τούτων ἡ καθ' ἡμᾶς
ὑψηλοτέρα πέφυκεν· ἢ τῆς ἡμῶν δραστη-
ρίας συστάσεως· ὥς φησιν ὁ θεῖος δαβίδ· ἐ-
θαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· τουτέστιν
ἐκ τῆς ἐμῆς κατασκευῆς· ἐπισφαλὴς
δὲ αὕτη τῷ ἀδὰμ ὑπῆρχε νεοπαγεῖ ὄντι
διὰ τὸ [illegible] τῆς. ἢ ξύλον μὲν ζωῆς, τὸ
ἐκ πάντων τῶν ἀγαθῶν τῶν ἐπιγινομένην

θείοις ὅροις ἄγνοιαν· καὶ τὴν δι' αὐτῶν, ἐπὶ
τοῦ ἁπάντων γενεσιουργοῦ τε καὶ δημιουργοῦ
καὶ αἰτίου ἀναγωγήν· ὅπερ καὶ πᾶν ξύλον ὠνό-
μασε· τὸ πλῆρες καὶ ἀδιάφορον· μόνην τε
τοῦ καλοῦ φέρον τὴν μέθεξιν· ξύλον δὲ γνώ-
σεως καλοῦ καὶ πονηροῦ, τὴν ἀγαθὴν τε καὶ ἡδό-
νην μορφώσασαν τῷ δοκεῖν μὲν γλυκαίνουσαν·
τῷ ὄντι δὲ ἐν μέσῳ κακῶν τοὺς μετέχοντας
καθιστῶσαν· φησὶ γὰρ ὁ θεός· ἀπὸ παντὸς ξύλου
τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· διὰ πάν-
των τοίνυν τῶν κτισμάτων ἐπὶ μὲν τῷ ποιητῇ
ἀναμανθάνειν τε λέγων· καὶ γὰρ καρπὸν ἐκ
πάντων καρπώσασθαι, ἐμέ τε τὸν ὄντως ζωήν.
πάντας σοι ζωὴν καρποφοροῦντας· καὶ τὴν ἐμὴν
μέθεξιν ποιοῦντας τῆς οἰκείας ὑπάρξεως αἰτίαν·
οὕτω γὰρ ἔσῃ ἀθάνατος· ἀπὸ δὲ τοῦ ξύλου
τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε
ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ,
θανάτῳ ἀποθανεῖσθε· φυσικῶς γὰρ
ἡ ἀγαθὴ τῇ προσφορᾷ τοῦ ὑπεκρείσσαν

ἐστὶν ἀναπλήρωσις καὶ εἰς ἀφεδρῶνα
χωρεῖ καὶ φθορὰν. καὶ ἀμήχανον ἄφθαρτον
διαμένειν, τὴν ἀγαθὴν τῆς κράσεως ἤτοι
μὴ διασωζόμενον: — περὶ ἀνθρώπου: —

χιζ Οὕτω μὲν οὖν τὴν νοητὴν οὐσίαν ὑπεστήσατο
ὁ θεός. ἀγγέλους φημὶ καὶ πάντα τὰ κατ'
οὐρανὸν τάγματα· ταῦτα γὰρ δηλῶς,
νοερᾶς ἐστὶ καὶ ἀσωμάτου φύσεως· ἀσω-
μάτου δέ φημι, συγκρινομένην πρὸς
τὴν τῆς ὕλης παχύτητα· μόνον γὰρ ὄντως
τὸ θεῖον ἄϋλον καὶ ἀσώματον. ἐπεὶ δὲ καὶ
τὴν ἀγαθὴν· οὕτω γε καὶ ἦν καὶ τὰ ἐν μέσῳ
τούτων κείμενα· καὶ τὴν μεσοικείαν, οἰκεία
γὰρ θεοῦ, ἡ λογικὴ φύσις καὶ γνώμονι ληπτή·
τὴν δὲ, πάντη που πορρωτάτω κειμένην,
ὡς ὑπὸ τὴν αἴσθησιν δηλαδὴ πίπτουσαν·
ἔδει δὲ καὶ ἐξ ἀμφοτέρων μίξιν γενέσθαι.
καὶ σοφίας μείζονος γνώρισμα· καὶ τῆς περὶ τὰς
φύσεις πολυτελείας, ὥς φησιν ὁ θεηγόρος
γρηγόριος· οἷον τινα σύνδεσμον τῆς

ὁρατῆς τε καὶ ἀοράτου φύσεως· τὸ δὲ ἔδει
φησὶ τὴν τοῦ δημιουργοῦ ὑπεμφαίνων
βούλησιν· αὕτη γὰρ θεσμός ἐστι καὶ νόμος
πρεπωδέστατος· καὶ οὐδεὶς ὁ ἐρῶν τῷ πλάσαν-
-τι τί με πεποίηκας οὕτως· ἐξουσίαν γὰρ
ἔχει ὁ κεραμεὺς ἐκ τοῦ ἰδίου πηλοῦ διάφο-
-ρα κατασκευάζειν σκεύη, πρὸς ἔνδειξιν
τῆς ἑαυτοῦ σοφίας· ἐπεὶ δὲ οὕτως ἔδει
ἐξ ὁρατῆς τε καὶ ἀοράτου φύσεως, δημι-
-ουργεῖ τὸν ἄνθρωπον· οἰκείαις χερσὶ κατ᾽ εἰ-
κόνα τε καὶ ὁμοίωσιν· ἐκ γῆς μὲν, τὸ σῶμα
διαπλάσας· ψυχὴν δὲ λογικήν τε καὶ νοεράν,
διὰ τοῦ οἰκείου ἐμφυσήματος δοὺς αὐτῷ·
ὅπερ θείαν εἰκόνα φησί· τὸ μὲν γὰρ κατ᾽ εἰ-
-κόνα, τὸ νοερὸν δηλοῖ καὶ αὐτεξούσιον· τὸ δὲ
καθ᾽ ὁμοίωσιν, τὴν τῆς ἀρετῆς κατὰ τὸ
δυνατὸν ὁμοίωσιν· ἅμα δὲ τῷ σώματι, καὶ
ἡ ψυχὴ ἐπλάσθη· οὐ τὸ μὲν, πρότερον· τὸ δὲ,
ὕστερον· κατὰ τὰ Ὠριγένους ληρήματα·
ἐποίησεν οὖν ὁ θεὸς τὸν ἄνθρωπον, ἄκακον· εὐθῆ·

ἐν ἀφέτῳ· ἀλύπῳ· ἀμβροσίμῳ· πάσῃ ἀ-
ρετῇ καταγλαϊσμένον· πᾶσιν ἀγαθοῖς
κομῶντα· οἷόν τινα κόσμον δεύτερον·
ἐν μεγάλῳ μικρόν· ἄγγελον ἄλλον· προσκυνητὴν
μικτόν· ἐπόπτην τῆς ὁρατῆς κτίσεως·
μύστην τῆς νοουμένης· βασιλέα τῶν ἐπὶ
γῆς, βασιλευόμενον ἄνωθεν· ἐπίγειον καὶ + οὐράνιον· πρόσκαιρον, καὶ
ἀθάνατον· ὁρατὸν καὶ νοούμενον· μέσον με-
γέθους καὶ ταπεινότητος· τὸν αὐτόν, πνεῦμα
καὶ σάρκα· πνεῦμα διὰ τὴν χάριν· σάρκα, διὰ τὴν
ἔπαρσιν· τὸ μέν, ἵνα μείνῃ καὶ δοξάζῃ τὸν
εὐεργέτην· τὸ δέ, ἵνα πάσχῃ· καὶ πάσχον, ὑπο-
μιμνήσκηται· καὶ παιδεύηται τῷ μεγέθει
φιλοτιμούμενον· ζῷον ἐνταῦθα οἰκονομού-
μενον· τουτέστιν ἐν τῷ παρόντι βίῳ, καὶ ἀλλαχοῦ
μεθιστάμενον. ἐν τῷ αἰῶνι τῷ μέλλοντι·
καὶ πέρας τοῦ μυστηρίου, τῇ πρὸς θεὸν νεύσει
θεούμενον· θεούμενον δέ, τῇ μετοχῇ τῆς θεί-
ας ἐλλάμψεως· καὶ οὐκ εἰς τὴν θείαν μεθιστάμενον
οὐσίαν· ἐποίησε δὲ αὐτόν, φύσει ἀναμάρτητον

καὶ θελήσει αὐτεξούσιον· ἀναμάρτητον δὲ
φημί, οὐχ ὡς μὴ ἐπιδεχόμενον ἁμαρτί-
αν· μόνον γὰρ τὸ θεῖον, ἁμαρτίας ἐστὶν ἀνεπι-
δεκτον. ἀλλ' οὐχ ὡς ἐν τῇ φύσει τὸ ἁμαρτάνειν
ἔχοντα· ἐν τῇ προαιρέσει δὲ μᾶλλον· ἤτοι
ἐξουσίαν ἔχοντα, μένειν καὶ προκόπτειν ἐν
τῷ ἀγαθῷ, τῇ θείᾳ συνεργούμενον χάριτι·
ὥσπερ καὶ τρέπεσθαι ἐκ τοῦ καλοῦ, καὶ ἐν τῷ
κακῷ γίνεσθαι· τοῦ θεοῦ παραχωροῦντος
διὰ τὸ αὐτεξούσιον· οὐκ ἀρετὴ γὰρ τὸ βίᾳ γινό-
μενον. ψυχὴ τοίνυν ἐστίν, οὐσία ζῶσα· ἁπλῆ ὅρ(ος) ψυχῆς
καὶ ἀσώματος· καὶ σωματικοῖς ὀφθαλμοῖς
κατ' οἰκείαν φύσιν ἀόρατος· ἀθάνατος· λογι-
κή τε καὶ νοερά· ἀσχημάτιστος· ὀργανικῷ κε-
χρημένη σώματι· καὶ τούτῳ, ζωῆς αὐξήσε-
ώς τε καὶ αἰσθήσεως καὶ γεννήσεως παρεκτική·
οὐχ ἕτερον μὲν ἔχουσα, παρ' ἑαυτὴν τὸν νοῦν, ἀλλὰ
μέρος αὐτῆς, τὸ καθαρώτατον· ὥσπερ γὰρ
ὀφθαλμὸς ἐν σώματι, οὕτως ἐν ψυχῇ νοῦς· αὐ-
τεξούσιος· θελητική τε καὶ ἐνεργητική· τρεπτή

ἤτοι ἐθελότρεπτον, ὅτι ἐκτίσθη· ταῦτα πάντα κατὰ φύσιν ἐκ τῆς τοῦ δημιουργήσαντος αὐτὴν χάριτος ἔλαχε φῦναι. ἐξ ἧς δὲ τὸ εἶναι καὶ τὸ φύσει οὕτως εἶναι ἔλαχε φῦναι. ἀσωμάτων δὲ καὶ ἀοράτων καὶ ἀσχηματίστων, κατὰ δύο τρόπους νοοῦμεν· τοὺς μὲν κατ᾽ οὐσίαν· τοὺς δὲ κατὰ χάριν· καὶ τοὺς μὲν φύσει οὕτως· τοὺς δὲ, πρὸς τὴν τῆς ὕλης παχύτητα· ἐπὶ θεοῦ μὲν, φύσει· ἐπὶ δὲ ἀγγέλων καὶ δαιμόνων καὶ ψυχῶν, χάριτι καὶ ὡς πρὸς τὴν τῆς ὕλης παχύτητα λέγεται. σῶμα δέ ἐστι, τὸ τριχῆ διαστατόν· ἤγουν τὸ ἔχον μῆκος καὶ πλάτος καὶ βάθος, ἤτοι πάχος· πᾶν δὲ σῶμα, ἐκ τῶν τεσσάρων στοιχείων συνίσταται· τὰ δὲ τῶν ζώων σώματα, ἐκ τῶν τεσσάρων χυμῶν· χρὴ εἰδέναι ὅτι τέσσαρα στοιχεῖά ἐστι· γῆ, ξηρὰ καὶ ψυχρά· ὕδωρ, ψυχρὸν καὶ ὑγρόν· ἀήρ, ὑγρὸς καὶ θερμός· πῦρ, ξηρὸν καὶ θερμόν· ὁμοίως καὶ χυμοὶ τέσσαρες, ἀναλογοῦντες τοῖς τέσσαρσι στοιχείοις· μέλαινα χολή, ἀναλογοῦσα τῇ γῇ, ξηρὰ οὖσα καὶ ψυχρά· φλέγ-

-μα, ἀναλογοῦσα τῷ ὕδατι· ψυχρὸν γάρ ἐστι καὶ
ὑγρόν· αἷμα, ἀναλογοῦν τῷ ἀέρι, ὑγρὸν καὶ
θερμόν· ξανθὴ χολή, ἀναλογοῦσα τῷ πυρί·
θερμὴ γάρ ἐστι καὶ ξηρά· οἱ μὲν οὖν καρποί, ἐκ τῶν
στοιχείων συνίστανται· οἱ δὲ χυμοὶ ἐκ τῶν καρπῶν·
τὰ δὲ τῶν ζώων σώματα, ἐκ τῶν χυμῶν,
καὶ εἰς αὐτὰ ἀναλύεται, ὁ ζῶν σύνεστι θνη·
χρὴ γινώσκειν ὅτι ὁ ἄνθρωπος, καὶ τοῖς ἀψύχοις
κοινωνεῖ, καὶ τῆς τῶν ἀλόγων μετέχει ζωῆς·
καὶ τῆς τῶν λογικῶν μετείληφε νοήσεως· κοινωνεῖ
γὰρ τοῖς μὲν ἀψύχοις, κατὰ τὸ σῶμα· καὶ τὴν
ἀπὸ τῶν τεσσάρων στοιχείων κρᾶσιν· τοῖς δὲ
φυτοῖς, κατά τε τὴν θρεπτικὴν καὶ αὐξητικὴν
καὶ σπερματικήν· ἤγουν γεννητικὴν δύναμιν· τοῖς
δὲ ἀλόγοις ἐν τούτοις μέν, ἐξαιρέτως δέ,
κατὰ τὴν ὄρεξιν, ἤγουν θυμὸν καὶ ἐπιθυμίαν·
κατὰ τὴν αἴσθησιν· καὶ κατὰ τὴν καθ' ὁρμὴν κίνησιν·
αἰσθήσεις μὲν οὖν εἰσι, πέντε· ὅρασις· ὄσφρησις·
ἀκοή· γεῦσις· ἁφή· τῆς δὲ καθ' ὁρμὴν κινήσεως
ἐστί, τὸ ἀπὸ τόπου εἰς τόπον μεταβατικόν·

καὶ τὸ κινητικὸν ὅλου τοῦ σώματος· καὶ τὸ φωνητικὸν καὶ ἀναπνευστικόν· ταῦτα γὰρ ἐφ' ἡμῖν ἐστὶ ποιεῖν καὶ μὴ ποιεῖν. συνάπτεται δὲ διὰ τοῦ λογικοῦ ταῖς ἀσωμάτοις καὶ νοεραῖς φύσεσι· λογιζόμενος καὶ νοῶν καὶ κρίνων ἕκαστα· καὶ τὰς ἀρετὰς μεταδιώκων· καὶ τῶν ἀρετῶν τὸν κολοφῶνα τὴν εὐσέβειαν ἀσπαζόμενος· διὸ καὶ μικρὸς κόσμος ἐστὶν ὁ ἄνθρωπος. χρὴ δὲ εἰδέναι ὡς ἴδια μὲν τοῦ σώματος μόνου, τομὴ καὶ ῥεῦσις καὶ μεταβολή· μεταβολὴ μὲν, ἡ κατὰ ποιότητα· ἤγουν θερμασίαν καὶ ψύξιν καὶ τὰ τοιαῦτα· ῥεῦσις δὲ, ἡ κατὰ κένωσιν· κενοῦται γὰρ ξηρὰ καὶ ὑγρὰ· καὶ πνεῦμα οὗ χρῄζει τῆς ἀναπληρώσεως· ὥστε φυσικὰ καὶ τὰ πάθη ἥ τε πεῖνα καὶ δίψα. ἴδια δὲ τῆς ψυχῆς, ἡ εὐσέβεια καὶ ἡ νόησις· κοιναὶ δὲ ψυχῆς καὶ σώματος, αἱ ἀρεταί· ἐχουσῶν καὶ τούτων ἐπὶ τὴν ψυχὴν τὴν ἀναφοράν· οἷον, ψυχῆς προσχρωμένης σώματι· χρὴ γινώσκειν ὅτι τὸ λογικόν, φύσει κατάρχει τοῦ ἀλόγου· διαιροῦνται γὰρ αἱ δυνάμεις τῆς ψυχῆς,

ἐκ λογικοῦ καὶ ἀλόγου· τοῦ δὲ ἀλόγου μέρη εἰσὶ
δύο· τὸ μὲν ἀνήκοον ἐστὶ λόγῳ, ἤγουν οὐ πεί-
θεται λόγῳ· τὸ δὲ κατήκοον καὶ ἐπιπειθὲς
λόγῳ. ἀνήκοον μὲν οὖν καὶ μὴ πειθόμενον λόγῳ,
ἐστὶ, τὸ ζωτικὸν. ὃ καὶ σφυγμικὸν καλεῖται· καὶ
τὸ σπερματικὸν, ἤγουν γεννητικὸν· καὶ τὸ φυ-
τικὸν ὃ καὶ θρεπτικὸν καλεῖται· τούτου δέ ἐστι
καὶ τὸ αὐξητικὸν, καὶ τὸ διαπλαστικὸν τῶν σω-
μάτων· ταῦτα γὰρ οὐ λόγῳ κυβερνῶνται, ἀλλὰ
τῇ φύσει· τὸ δὲ κατήκοον καὶ ἐπιπειθὲς λόγῳ,
διαιρεῖται εἰς ἐπιθυμίαν καὶ θυμόν· καλεῖται
δὲ κοινῶς τὸ ἄλογον μέρος τῆς ψυχῆς πα-
θητικὸν καὶ ὀρεκτικόν· χρὴ δὲ γινώσκειν ὅτι καὶ
τῶν ἐπιπειθῶν λόγῳ ἐστὶ, καὶ ἡ καθ᾽ ὁρμὴν κί-
νησις· δεῖ γινώσκειν ὅτι τῶν πραγμάτων, τὰ
μέν ἐστιν ἀγαθὰ· τὰ δὲ φαῦλα· προσδοκώμενον
οὖν ἀγαθὸν, ἐπιθυμίαν συνίστησι· παρὸν δὲ,
ἡδονήν· ὁμοίως τὸ προσδοκώμενον κακὸν, φόβον·
παρὸν δὲ, λύπην· δεῖ δὲ εἰδέναι ὅτι ἀγαθὸν
ἐνταῦθα εἰπόντες· ἢ τὸ ὄντως ἀγαθὸν,

ἡ τοῦ ἡδέος κοινωνία ἀγαθοῦ ἐστι μὲν· ὁμοίως καὶ κακοῦ.

χθ Τῶν ἡδονῶν αἱ μέν εἰσι ψυχικαί· περὶ ἡδονῶν·

αἱ δὲ σωματικαί. καὶ ψυχικαὶ μέν, ὅσαι μόνης εἰσὶ τῆς ψυχῆς αὐτῆς καθ' ἑαυτήν· ὅσαι περὶ τὰ μαθήματα καὶ τὴν θεωρίαν. σωματικαὶ δέ, αἱ μετὰ κοινωνίας τῆς ψυχῆς καὶ τοῦ σώματος γινόμεναι. καὶ διὰ τοῦτο σωματικαὶ καλούμεναι. ὅσαι περὶ τροφὰς καὶ συνουσίας καὶ τὰ τοιαῦτα. μόνου δὲ τοῦ σώματος, οὐκ ἂν εὕροι τις ἡδονήν. πάλιν τῶν ἡδονῶν, αἱ μέν εἰσιν ἀληθεῖς· αἱ δέ, ψευδεῖς. καὶ αἱ μέν, τῆς διανοίας μόνης κατ' ἐπιστήμην καὶ θεωρίαν. αἱ δέ, μετὰ σώματος· κατ' αἴσθησιν καὶ τῶν μετὰ σώματος ἡδονῶν. αἱ μὲν εἰσὶ φυσικαὶ ἅμα καὶ ἀναγκαῖαι. ὧν χωρὶς ζῆν ἀδύνατον· ὡς αἱ τροφαὶ αἱ τῆς ἐνδείας ἀναπληρωτικαί, καὶ τὰ ἐνδύματα τὰ ἀναγκαῖα. αἱ δέ, φυσικαὶ μέν, οὐκ ἀναγκαῖαι δέ. ὡς αἱ κατὰ φύσιν καὶ κατὰ νόμον μίξεις· αὗται γὰρ πρὸς μὲν τὴν διαμονὴν τοῦ παντὸς γένους, συντελοῦσι· δυνατὸν δὲ καὶ χωρὶς αὐτῶν, ἐν παρθενίᾳ ζῆν.

αἱ δὲ, οὔτε ἀναγκαῖαι οὔτε φυσικαί, ὡς μέθη
καὶ λαγνεία καὶ ἡ ἐπὶ πλησμονὰς, τὴν χρείαν ὑπερβαί-
νουσαι· οὔτε γὰρ εἰς σύστασιν τῆς ζωῆς ἡμῶν
συντελοῦσιν, οὔτε εἰς διαδοχὴν τοῦ γένους ἀλλὰ
καὶ προσβλάπτουσι· τὸν τοίνυν κατὰ θεὸν ζῶντα,
δεῖ μετέρχεσθαι τὰς ἀναγκαίας ἅμα καὶ φυ-
σικάς· ἐν δευτέρᾳ δὲ τάξει τὰς φυσικὰς καὶ
οὐκ ἀναγκαίας, τίθεσθαι μέχρι τοῦ πρέποντος
καιροῦ καὶ τρόπου καὶ μέτρου γινομένας· τὰς δὲ
ἄλλας, χρὴ πάντως παραιτεῖσθαι· καλὰς δὲ
ἡδονὰς χρὴ ἡγεῖσθαι, τὰς μὴ συμπεπλεγμένας
λύπῃ· μήτε μεταμέλειαν ἐμποιούσας· μήτε
ἑτέρας βλάβας γεννητικάς· μήτε τοῦ μέτρου
παραχωρούσας, μήτε τῶν σπουδαίων ἔργων
ἡμᾶς ἀφελκούσας ἐπὶ πολὺ, ἢ καταδουλούσας:

Τῆς δὲ λύπης, εἴδη τέσσαρα· **περὶ λύπης** λ
ἄχος· ἄχθος· φθόνος· ἔλεος· ἄχος μὲν οὖν
ἐστὶ λύπη ἀφωνίαν ἐμποιοῦσα· ἄχθος δὲ,
λύπη βαρύνουσα· φθόνος, λύπη ἐπ' ἀλλοτρίοις
ἀγαθοῖς· ἔλεος δὲ, λύπη ἐπ' ἀλλοτρίοις κακοῖς:

## περὶ φόβου:~

λα Διαιρεῖται δὲ ὁ φόβος, εἰς ἕξ· εἰς ὄκνον· εἰς
αἰδῶ· εἰς αἰσχύνην· εἰς κατάπληξιν· εἰς
ἔκπληξιν· εἰς ἀγωνίαν· ὄκνος μὲν οὖν ἐστι,
φόβος μελλούσης ἐνεργείας· κατάπληξις
δὲ, φόβος ἐκ μεγάλης φαντασίας· ἀγωνία δὲ,
φόβος διαπτώσεως· ἤγουν ἀποτυχίας·
φοβούμενοι γὰρ ἀποτυχεῖν τῆς πράξεως,
ἀγωνιῶμεν· αἰδὼς δὲ, φόβος ἐπὶ προσδοκίᾳ
ψόγου· κάλλιστον δὲ τοῦτο τὸ πάθος· αἰ-
σχύνη δὲ, φόβος ἐπὶ αἰσχρῷ πεπραγμένῳ·
οὐδὲ τοῦτο ἀνέλπιστον εἰς σωτηρίαν:—

λβ Θυμὸς δέ ἐστι, ζέσις τοῦ περὶ θυμοῦ:
περὶ καρδίαν αἵματος· ἐξ ἀναθυμιάσεως
τῆς χολῆς· ἢ ἀναθολώσεως γινομένη·
διὸ καὶ χολὴ λέγεται καὶ χόλος· ἔστι δὲ ὅτε
θυμὸς, καὶ ὄρεξις ἀντιτιμωρήσεως· ἀδικού-
μενοι γὰρ ἢ νομίζοντες ἀδικεῖσθαι, θυμούμε-
θα· καὶ γίνεται τότε μικτὸν τὸ πάθος, ἐξ ἐπι-
θυμίας καὶ θυμοῦ· εἴδη δὲ τοῦ θυμοῦ τρία·
ὀργή· ἥτις καλεῖται χολὴ καὶ χόλος· καὶ μῆνις.

καὶ κότος. θυμοῦ μὲν τὴν ἀρχὴν καὶ κίνησιν ἔχων·
ὀργὴ καὶ χολὴ καὶ χόλος λέγεται. μῆνις δὲ, χολὴ
ἐπιμένουσα. ἢ ὀργὴ εἰς μνησικακίαν. εἴρηται
δὲ, παρὰ τὸ μένειν καὶ τῇ μνήμῃ παραδίδοσθαι.
κότος δὲ, ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν.
εἴρηται δὲ καὶ οὗτος, παρὰ τὸ κεῖσθαι. ἔστι δὲ ὁ
θυμὸς, τὸ δορυφορικὸν τοῦ λογισμοῦ. ἐκδικεῖ γὰρ
τῆς ἐπιθυμίας. ὅταν γὰρ ἐπιθυμήσωμεν
πράγματος καὶ κωλυθῶμεν ὑπό τινος, θυμού-
μεθα κατ' αὐτοῦ ὡς ἀδικηθέντες. τοῦ λογι-
σμοῦ δηλονότι κρίναντος, ἄξιον ἀγανακτήσεως
τὸ γινόμενον ἐπὶ τῶν φυλαττόντων κατὰ
φύσιν τὴν οἰκείαν τάξιν. τοῦ δὲ μὴ πειθομένου
λόγῳ ἐστὶ τὸ θρεπτικὸν καὶ γεννητικὸν καὶ σφυγμι-
κόν. καλεῖται δὲ αὐξητικὸν μὲν, τὸ θρεπτικὸν
καὶ γεννητικόν. ζωτικὸν δὲ, τὸ σφυγμικόν. τοῦ
μὲν οὖν θρεπτικοῦ, δυνάμεις εἰσὶ τέσσαρες. ἑλ-
κτική, ἡ ἕλκουσα τὴν τροφήν. καθεκτική, ἡ
κατέχουσα τὴν τροφὴν καὶ μὴ ἐῶσα αὐτὴν εὐθέως
ἐκκριθῆναι. ἀλλοιωτική, ἡ ἀλλοιοῦσα τὴν τροφ

ἐστὶ τοῖς χυμοῖς· ἀποκριτική, ἡ τὸ περί-
ττωμα διὰ τοῦ ἀφεδρῶνος ἐκκρίνουσα,
καὶ ἀποκαθαίρουσα· χρὴ εἰδέναι ὅτι τῶν κατὰ
τὸ ζῶον δυνάμεων· αἱ μέν εἰσι ψυχικαί· αἱ
δὲ φυτικαί· αἱ δὲ ζωτικαί· καὶ ψυχικαὶ μέν, αἱ
κατὰ προαίρεσιν· ἤγουν ἡ καθ' ὁρμὴν κίνησις·
καὶ ἡ αἴσθησις· τῆς δὲ καθ' ὁρμὴν κινήσεως
ἐστί, τό, τε κατὰ τόπον μεταβατικόν· καὶ κι-
νητικὸν ὅλου τοῦ σώματος· καὶ φωνητικόν· καὶ
ἀναπνευστικόν· ἐν ἡμῖν γάρ ἐστι τὸ ποιεῖν ταῦτα
καὶ μὴ ποιεῖν. φυτικαὶ δὲ καὶ ζωτικαί, αἱ ἀπρο-
αίρετοι· καὶ φυτικαὶ μέν, ἡ θρεπτική· καὶ αὐξητικὴ
καὶ σπερματική· ζωτικὴ δέ, ἡ σφυγμική· αὗται γὰρ
καὶ θελόντων καὶ μὴ θελόντων, ἐνεργοῦσιν:-
λγ Φ Φανταστικόν ἐστι δύναμις ·:· περὶ τοῦ φανταστικοῦ:
τῆς ἀλόγου ψυχῆς, διὰ τῶν αἰσθητηρίων
ἐνεργοῦσα· ἥτις λέγεται αἴσθησις· φαντα-
στικὸν δὲ καὶ αἰσθητόν, τὸ τῇ φαντασίᾳ καὶ
τῇ αἰσθήσει, ὑποπῖπτον· ὡς ὅρασις μέν,
αὐτὴ ἡ ὀπτικὴ δύναμις· ὁρατὸν δέ, τὸ ὑπο-

πίπτον, τῇ ὁράσει· λίθος τυχόν· ἢ τι τῶν τοι-
ούτων· φαντασία δέ ἐστι, πάθος τῆς ἀλόγου
ψυχῆς ὑπὸ φανταστοῦ τινὸς γινόμενον· φάντασμα
δέ, πάθος διάκενον ἐν τοῖς ἀλόγοις τῆς ψυχῆς
ἀπ' οὐδενὸς φανταστοῦ γινόμενον· ὄργανον δὲ τοῦ
φανταστικοῦ, ἡ ἐμπρόσθιος κοιλία τοῦ
ἐγκεφάλου: — περὶ αἰσθήσεως. — λδ΄

Αἴσθησίς ἐστι, δύναμις τῆς ψυχῆς, ἀντιλη-
πτικὴ τῶν ὑλῶν· ἤγουν διαγνωστική· αἰσθη-
τήρια δέ, τὰ ὄργανα· ἤγουν τὰ μέλη δι' ὧν αἰ-
σθανόμεθα· αἰσθητὰ δέ, τὰ τῇ αἰσθήσει
ὑποπίπτοντα· αἰσθητικὸν δέ, τὸ ζῷον, τὸ
ἔχον τὴν αἴσθησιν· εἰσὶ δὲ αἰσθήσεις πέντε·
ὁμοίως καὶ αἰσθητήρια, πέντε· πρώτη αἴσθησις,
ὅρασις· αἰσθητήρια δὲ καὶ ὄργανα τῆς ὁράσεως,
τὰ ἐξ ἐγκεφάλου νεῦρα, καὶ οἱ ὀφθαλμοί· αἰ-
σθάνεται δὲ ἡ ὄψις· κατὰ μὲν πρῶτον λόγον, τοῦ
χρώματος· συνδιαγινώσκει δὲ τῷ χρώματι,
καὶ τὸ κεχρωσμένον σῶμα καὶ τὸ μέγεθος αὐτοῦ·
καὶ τὸ σχῆμα· καὶ τὸν τόπον ἔνθα ἐστί· καὶ τὸ διάστημα

τὸ μεταξύ· καὶ τὸν ἀριθμόν· κίνησίν τε καὶ στάσιν·
καὶ τὸ τραχὺ καὶ λεῖον· καὶ ὁμαλὸν καὶ ἀνώμαλον·
καὶ τὸ ὀξὺ· καὶ τὸ ἀμβλύ· καὶ τὴν σύστασιν·
ἤτοι εἰ ὑδατώδης ἐστὶν, ἢ πετρώδης· ἤγουν
ὑγρὰ καὶ ξηρά· δευτέρα ἀγαθῆς ἐστιν, ἀ-
κοὴ τῶν φωνῶν καὶ τῶν ψόφων ὀσφρήσεως ἀγαθῆς·
διαγινώσκει δὲ αὕτη· τὴν ὀξύτητα· καὶ τὴν
βαρύτητα· λειότητά τε καὶ τραχύτητα·
καὶ μέγεθος· ὄργανα δὲ αὐτῆς, τὰ νεῦρα τὰ
ἐξ ἐγκεφάλου τὰ μαλακά· καὶ τῶν ὤτων ἡ
κατασκευή· μόνος δὲ ἄνθρωπος καὶ πίθηκος οὐ κι-
νοῦσι τὰ ὦτα· τρίτη ἀγαθῆς ἐστιν, ὄσφρησις·
ἥτις γίνεται μὲν διὰ τῶν ῥινῶν· ἀναπεμ-
πομένων τῶν ἀτμῶν, ἐπὶ τὸν ἐγκέφαλον·
περαίνεται δὲ πρὸς τὰ πέρατα τῶν ἐμπρο-
σθίων κοιλιῶν τοῦ ἐγκεφάλου· ἔστι δὲ ἀγαθη-
τικὴ καὶ ἀντιληπτικὴ τῶν ἀτμῶν· τῶν δὲ
ἀτμῶν ἡ γενικωτάτη διαφορὰ ἐστὶν, εὐωδί-
α καὶ δυσωδία· καὶ τὸ μέσον τούτων, ὃ μήτε εὐω-
δές ἐστι, μήτε δυσῶδες· γίνεται δὲ εὐωδία

τῶν ὑγρῶν τῶν ἐν τοῖς σώμασιν ἄχρι τοῦ
πεφθῆναι αὐτῶν, ἡ δυσωδία γίνεται· τετάρτη
αἴσθησις, ἡ γεῦσις· ἔστι δὲ τῶν χυμῶν ἀντι-
ληπτική· ἤγουν αἰσθητική· ὄργανα δὲ αὐτῆς,
ἡ γλῶσσα· καὶ ταύτης πλέον τὸ ἄκρον καὶ ἡ
ὑπερῴα· ἣν καλοῦσί τινες οὐρανίσκον· ἐν
οἷς εἰσὶ τὰ ἐξ ἐγκεφάλου φερόμενα, νεῦρα
πεπλατυσμένα· καὶ ἀπαγγέλλοντα τῷ
ἡγεμονικῷ, τὴν γενομένην ἀντίληψιν·
ἤγουν αἴσθησιν· αἱ δὲ καλούμεναι γευστικαὶ
ποιότητες τῶν χυμῶν, εἰσὶν αὗται· γλυ-
κύτης· δριμύτης· ὀξύτης· στρυφνότης·
αὐστηρότης· πικρότης· ἁλμυρότης·
λιπαρότης· γλισχρότης· τούτων δὲ ἐστὶν
ἡ γεῦσις διαγνωστική· τὸ δὲ ὕδωρ, ἄποιον λέγεται
κατὰ ταύτας τὰς ποιότητας· οὐδεμίαν
γὰρ αὐτῶν ἔχει· ἡ δὲ στρυφνότης, ἐπίτασις
καὶ πλεονασμός ἐστι τῆς αὐστηρότητος· πέμ-
πτη αἴσθησίς ἐστιν, ἡ ἁφή· ἥτις καὶ κοινή ἐστι
πάντων τῶν ζώων, ἥτις γίνεται ἐκ τοῦ

ἐγκεφάλου· τῶν μὲν ἀπονεμομένων νεύρων εἰς
ὅλον τὸ σῶμα· διὸ καὶ ὅλον τὸ σῶμα· ἀλλὰ
καὶ τὰ ἄλλα αἰσθητήρια, τῆς ἁφῆς ἔ-
χει· ὑπόκειται δὲ τῇ ἁφῇ, τὸ θερμὸν καὶ τὸ
ψυχρόν· τό, τε μαλακὸν καὶ σκληρὸν· καὶ κραῦρον
βαρύ τε καὶ κοῦφον· διὰ μόνης γὰρ τῆς ἁφῆς, ταῦτα
γνωρίζεται· κοινὰ δὲ ἁφῆς καὶ ὄψεως· τό,
τε τραχὺ καὶ λεῖον· τό, τε ξηρὸν καὶ ὑγρόν·
παχύ τε καὶ λεπτὸν· ἄνω τε καὶ κάτω· καὶ ὁ
τόπος καὶ τὸ μέγεθος· ὅταν ᾖ τοιοῦτον, ὥστε
κατὰ μίαν περιβολὴν τῆς ἁφῆς περιλαμ-
βάνεσθαι· καὶ τὸ πυκνὸν καὶ τὸ μανὸν ἤτοι
ἀραιὸν· καὶ τὸ στρογγύλον ὅταν ᾖ μικρὸν· καὶ
ἄλλα τινὰ σχήματα· ὁμοίως δὲ καὶ τοῦ πλη-
σιάζοντος τῷ σώματι, αἰσθάνεται· σὺν τῇ
μνήμῃ δὲ καὶ τῇ διανοίᾳ· ὡσαύτως δὲ καὶ
ἀριθμοῦ μέχρι δύο ἢ τριῶν καὶ τούτων μικρῶν·
καὶ ῥαδίως περιλαμβανομένων· τούτων δὲ
μᾶλλον τῆς ἁφῆς ἡ ὅρασις ἀντιλαμβάνεται·
χρὴ γινώσκειν ὡς ἕκαστον τῶν ἄλλων αἰσθητηρί-

διὰ πλειόνων ὁ δημιουργὸς κατεσκεύασεν· ἵνα
τοῦ ἑνὸς ἐλαττουμένου, τὸ ἕτερον ἀνα-
πληροῖ τὴν χρείαν· δύο γὰρ ὀφθαλμοὶ
καὶ δύο ὦτα· καὶ δύο πόροι τῆς ῥινός· καὶ
δύο γλῶσσαι· ἀλλ' ἐν τοῖς μὲν τῶν ζώων,
διηρημέναι ὡς ἐν τοῖς ὄφεσιν· ἐν τοῖς
δὲ, ἡνωμέναι ὡς ἐν τῷ ἀνθρώπῳ· τὴν δὲ ἁφὴν,
ἐν ὅλῳ τῷ σώματι· πλὴν ὀστέων καὶ νεύρων·
ὀνύχων τε καὶ κεράτων· καὶ τριχῶν καὶ συνδέσμων
καὶ ἄλλων τινῶν τοιούτων· χρὴ δὲ γινώσκειν· ὅτι
ἡ μὲν ὄψις, κατ' εὐθείας γραμμὰς ὁρᾷ· ἡ δὲ
ὄσφρησις καὶ ἡ ἀκοὴ οὐ κατ' εὐθεῖαν μόνον,
ἀλλὰ πανταχόθεν· ἡ δὲ ἁφὴ καὶ ἡ γεῦσις· οὐδὲ
κατ' εὐθεῖαν, οὐδὲ πανταχόθεν γνωρίζουσιν,
ἀλλὰ τότε μόνον, ὅταν αὐτοῖς πλησιάσωσι
τοῖς οἰκείοις αἰσθητοῖς :– περὶ διανοητικοῦ :

λε

Τοῦ δὲ διανοητικοῦ εἰσὶν, αἵ τε κρίσεις, καὶ αἱ συγκα-
ταθέσεις, καὶ αἱ ὁρμαὶ πρὸς τὴν πρᾶξιν· καὶ αἱ ἀ-
φορμαὶ· καὶ αἱ ἀποφυγαὶ τῆς πράξεως· ἰδικῶς
δὲ, αἵ τε νοήσεις τῶν νοητῶν, καὶ αἱ ἀρεταὶ,

καὶ ἐπιστῆμαι· καὶ τεχνῶν οἱ λόγοι· καὶ τὸ βουλευτικὸν, καὶ τὸ προαιρετικόν· τοῦτο δέ ἐστι, τὸ καὶ διὰ τῶν ὀνείρων θεσπίζον ἡμῖν τὸ μέλλον· ἣν μόνην ἀληθῆ μαντείαν οἱ Πυθαγόρειοι λέγουσιν εἶναι, τοῖς Ἑβραίοις ἀκολουθήσαντες· ὄργανον δὲ καὶ τούτου, ἡ μέση κοιλία τοῦ ἐγκεφάλου, καὶ τὸ ψυχικὸν πνεῦμα τὸ ἐν αὐτῇ: — περὶ τοῦ μνημονευτικοῦ: —

λϛ Τὸ δὲ μνημονευτικὸν ἐστὶ, μνήμης καὶ ἀναμνήσεως αἴτιόν τε καὶ ταμεῖον· μνήμη δέ ἐστι, φαντασία ἐγκαταλελειμμένη, ἀπό τινος αἰσθήσεως τῆς κατ' ἐνέργειαν φαινομένης· ἢ σωρεία, αἰσθήσεώς τε καὶ νοήσεως· ἡ γὰρ ψυχὴ τῶν μὲν αἰσθητῶν, διὰ τῶν αἰσθητηρίων ἀντιλαμβάνεται, καὶ γίνεται δόξα· τῶν δὲ νοητῶν, διὰ τοῦ νοῦ, καὶ γίνεται νόησις· ὅταν οὖν τοὺς τύπους ὧν τε ἐδόξασεν, ὧν τε ἐνόησε διασώζῃ, μνημονεύειν λέγεται· δεῖ δὲ γινώσκειν, ὅτι ἡ τῶν νοητῶν ἀντίληψις οὐ γίνεται, εἰ μὴ ἐκ μαθήσεως ἢ φυσικῆς ἐννοίας· οὐ τῇ

ἢ αἰσθάνεται,

ἐξ αἰσθήσεως· τὰ μὲν αἰσθητὰ καθ' ἑαυτὰ
μνημονεύεται· τὰ δὲ νοητὰ, κατὰ τί μὲν ἐμά-
-θομεν μνημονεύομεν· τῆς δὲ οὐσίας αὐτῶν
μνήμην οὐκ ἔχομεν· ἀνάμνησις δὲ λέγεται,
μνήμης ἀπολλυμένης ἀπὸ λήθης, ἀνά-
-κτησις· λήθη δέ ἐστι, μνήμης ἀποβολή·
τὸ μὲν οὖν φανταστικὸν, διὰ τῶν αἰσθήσεων
ἀντιλαμβανόμενον τῶν ὑλῶν, παραδίδωσι
τῷ διανοητικῷ, ἢ διαλογιστικῷ· ταὐτὸν γὰρ
ἀμφότερα· ὁ παραλαβὼν καὶ κρίνας, παρα-
πέμπει τῷ μνημονευτικῷ· ὄργανον δὲ τοῦ
μνημονευτικοῦ, ἡ ὄπισθεν κοιλία τοῦ ἐγκε-
-φάλου· ἣν καὶ παρεγκεφαλίδα καλοῦσι· καὶ τὸ
ἐν αὐτῇ ψυχικὸν πνεῦμα:- περὶ τοῦ ἐνδιαθέτου

καὶ προφορικοῦ λόγου:- λξ·

Πάλιν δὲ διαιρεῖται τὸ λογικὸν τῆς ψυχῆς, εἴς
τε τὸν ἐνδιάθετον λόγον, εἴς τε τὸν προφο-
-ρικόν· ἔστι δὲ ἐνδιάθετος μὲν λόγος, κίνημα τῆς
ψυχῆς ἐν τῷ διαλογιστικῷ γινόμενον, ἄνευ
τινὸς ἐκφωνήσεως· ὅθεν πολλάκις καὶ σιω

– πῶν τὸν, λόγον ὅλον παρ' ἑαυτοῖς διεξερ-
– χόμεθα· καὶ ἐν τοῖς ὀνείροις διαλεγόμεθα.
κατὰ τοῦτο δὲ μάλιστα λογικοί ἐσμεν πάντες·
καὶ γὰρ καὶ οἱ ἐκ γενετῆς κωφοὶ· καὶ οἱ διά
τινα νόσον ἀπολέσαντες τὴν φωνὴν
οὐδὲν ἧττον λογικοί εἰσιν· ὁ δὲ προφορικὸς
λόγος, ἐν τῇ φωνῇ καὶ ἐν ταῖς διαλέκτοις,
τὴν ἐνέργειαν ἔχει· ἤγουν ὁ διὰ γλώττης
καὶ στόματος προφερόμενος, λόγος· διὸ καὶ
προφορικὸς λέγεται· ἔστι δὲ καὶ ἄγγελος νο-
– ήματος· κατὰ τοῦτο δὲ καὶ λαλητικοὶ λε-
– γόμεθα: – περὶ πάθους καὶ ἐνεργείας:·

λύπ Τὸ πάθος ὁμωνύμως λέγεται· λέγεται γὰρ πά-
– θος, καὶ τὸ σωματικόν· ὡς τὰ νοσήματα,
καὶ τὰ ἕλκη· λέγεται πάλιν πάθος, καὶ τὸ ψυχικόν·
ἥ τε ἐπιθυμία καὶ ὁ θυμός· ἔστι δὲ κοινῶς μὲν
καὶ γενικῶς πάθος ζῴου ᾧ ἕπεται ἡδονὴ ἢ
λύπη· ἕπεται γὰρ τῷ πάθει, λύπη· καὶ οὐκ
αὐτὸ τὸ πάθος ἐστὶ λύπη· τὰ γὰρ ἀναίσθητα
πάσχοντα, οὐκ ἀλγεῖ· οὐκ ἄρα τὸ πάθος

ἐστὶν ἀλγήματα, ἀλλ' ἡ τοῦ πάθους αἴσθησις·
δεῖ δὲ τοῦτο, ἀξιόλογον εἶναι· ἤγουν μεγάλα·
ἵνα τῇ αἰσθήσει, ὑποπέσῃ· τῶν δὲ ψυχικῶν
παθῶν, ὅρος ἐστὶν οὗτος· πάθος ἐστὶ, κίνησις
τῆς ὀρεκτικῆς δυνάμεως αἰσθητή· ἐπὶ φαν-
τασίᾳ ἀγαθοῦ ἢ κακοῦ· καὶ ἄλλως· πάθος
ἐστὶ, κίνησις ἄλογος τῆς ψυχῆς δι' ὑπόληψιν
καλοῦ ἢ κακοῦ· ἡ μὲν ὑπόληψις τοῦ καλοῦ,
τὴν ἐπιθυμίαν κινεῖ· ἡ δὲ τοῦ κακοῦ ὑπό-
ληψις, τὸν θυμόν· τὸ δὲ γενικὸν ἤγουν τὸ
κοινὸν πάθος, οὕτως ὁρίζονται· πάθος ἐστὶ,
κίνησις ἐν ἑτέρῳ, ἐξ ἑτέρου· ἐνέργεια δὲ
ἐστὶ κίνησις δραστική· δραστικὸν δὲ λέγεται, τὸ
ἐξ αὐτοῦ κινούμενον· οὕτω καὶ ὁ θυμὸς, ἐνέργεια
μέν ἐστι τοῦ θυμοειδοῦς· πάθος δὲ τῶν δύο μερῶν
τῆς ψυχῆς· καὶ προσέτι παντὸς τοῦ σώματος·
ὅταν ὑπὸ τοῦ θυμοῦ βιαίως ἄγηται πρὸς τὰς
πράξεις· ἐξ ἑτέρου γὰρ ἐν ἑτέρῳ γέγονεν ἡ κί-
νησις ὅπερ λέγεται πάθος· καὶ καθ' ἕτερον
τρόπον ἡ ἐνέργεια λέγεται πάθος· ἡ ἐνέργεια

μὲν ἐστὶ, κατὰ φύσιν, κίνησις· πάθος δὲ
παρὰ φύσιν· κατὰ τοῦτον οὖν τὸν λόγον ἡ
ἐνέργεια πάθος λέγεται· ὅταν μὴ κατὰ φύσιν
κινῆται· ἢ πρὸς ἑαυτοῦ ἢ πρὸς ἑτέρου· ἐπὶ τῆς
οἷον καρδίας· ἡ μὲν κατὰ τοὺς σφυγμοὺς κί-
νησις φυσικὴ οὖσα ἐνέργειά ἐστιν· ἡ δὲ κατὰ
τοὺς παλμοὺς ἄμετρος οὖσα· καὶ οὐ κατὰ φύσιν,
πάθος ἐστὶ καὶ οὐκ ἐνέργεια· οὐ πᾶσα δὲ κίνησις
τοῦ παθητικοῦ, πάθος καλεῖται· ἀλλ᾽ αἱ σφο-
δρότεραι καὶ εἰς αἴσθησιν φθάνουσαι· αἱ γὰρ
μικραὶ καὶ ἀνεπαίσθητοι, οὐδέπω πάθη
εἰσί· δεῖ γὰρ ἔχειν τὸ πάθος καὶ μέγεθος ἀξιό-
λογον· διὸ πρόσκειται τῷ ὅρῳ τοῦ πάθους,
κίνησις αἰσθητή· αἱ γὰρ μικραὶ κινήσεις
λανθάνουσαι τὴν αἴσθησιν, οὐ ποιοῦσι πάθος·
χρὴ γινώσκειν ὅτι ἡ λογικὴ ψυχή, διττὰς
ἔχει δυνάμεις· τὰς μὲν γνωστικάς· τὰς δὲ ζωτικάς·
καὶ γνωστικαὶ μέν εἰσι, νοῦς· διάνοια· δόξα· φαν-
τασία· αἴσθησις· ζωτικαὶ δὲ ἤγουν ὀρεκτικαί·
βούλησις καὶ προαίρεσις· ἵνα δὲ σαφέστερον

γίνεται τὸ λεγόμενον, λεπτολογήσωμεν τὰ
περὶ τούτων. καὶ πρῶτον περὶ τῶν γνωστικῶν
δυνάμεων. περὶ μὲν οὖν φαντασίας καὶ αἰσθήσεως
ἱκανῶς ἤδη ἐν τοῖς προλελεγμένοις εἴρηται.
διὰ τῆς αἰσθήσεως τοίνυν, ἐν τῇ ψυχῇ, συνί-
σταται πάθος. ὃ καλεῖται φαντασία· ἐκ δὲ τῆς
φαντασίας, γίνεται δόξα· καὶ ταύτην διάνοια ἀνακρί-
νασα τὴν δόξαν, εἰ τὸ ἀληθὲς ἐστὶν ἢ τὸ ψεῦδος,
κρίνει τὸ ἀληθές· ὅθεν καὶ διάνοια λέγεται,
ἀπὸ τοῦ διανοεῖν καὶ διακρίνειν. τὸ οὖν κριθὲν
καὶ ὁρισθὲν ἀληθῶς νοῦς λέγεται. ἄλλως δὲ χρὴ
γινώσκειν· ὅτι ἡ μὲν πρώτη τοῦ νοῦ κίνησις,
νόησις λέγεται· ἡ δὲ περί τινος νόησις, ἔν-
νοια καλεῖται· ἥτις ἐπιμείνασα καὶ τυπώ-
σασα τὴν ψυχὴν πρὸς τὸ νοούμενον, ἐνθύμη-
σις προσαγορεύεται· ἡ δὲ ἐνθύμησις ἐν αὐτῷ
μείνασα, καὶ ἑαυτὴν βασανίσασα καὶ ἀνακρί-
νασα, ποιεῖ τὸν διαλογισμόν, ἐνδιάθετον
λόγον ὀνομαζόμενον· ὃν ὁριζόμενοί φασι,
κίνημα ψυχῆς πληρέστατον, ἐν τῷ διαλο-

γιστικῷ γινόμενον, ἄνευ τινὸς ἐκφωνήσεως·
ἐξ οὗ τὸν προφορικὸν λόγον φασὶ προέρχεσθαι,
τὸν διὰ γλώσσης λαλούμενον· εἰπόντες
τοίνυν περὶ τῶν γνωστικῶν δυνάμεων, εἴ-
πωμεν καὶ περὶ τῶν ζωτικῶν· ἤγουν ὀρεκτικῶν.
Χρὴ γινώσκειν ὅτι τῇ ψυχῇ ἐνέσπαρται φυσικῶς
δύναμις ὀρεκτικὴ τοῦ κατὰ φύσιν ὄντος·
καὶ πάντων τῶν οὐσιωδῶς τῇ φύσει προσόντων,
συνεκτική· ἥτις λέγεται θέλησις· ἡ γὰρ
οὐσία, τοῦ τε εἶναι καὶ ζῆν. καὶ κινεῖσθαι κατὰ
νοῦν τε καὶ αἴσθησιν, ὀρέγεται· τῆς οἰκείας
ἐφιεμένη φυσικῆς καὶ πληρεστάτης ὀντότητος·
διὸ καὶ ὁρίζονται τοῦτο τὸ φυσικὸν θέλημα·
θέλημά ἐστιν ὄρεξις λογική τε καὶ ζωτικὴ μόνων
ἠρτημένη τῶν φυσικῶν· ὥστε ἡ μὲν θέλη-
σίς ἐστιν, αὐτὴ ἡ λογικὴ καὶ φυσικὴ ὄρεξις· ἤγουν ἁπλῆ
δύναμις· ἡ δὲ τῶν ἀλόγων ὄρεξις μὴ οὖσα λο-
γική, οὐ λέγεται θέλησις· βούλησις δέ ἐστι,
ποιὰ φυσικὴ θέλησις· ἤγουν φυσικὴ καὶ λογικὴ
ὄρεξις τινὸς πράγματος· ἔγκειται μὲν γὰρ

τῆς τοῦ ἀμοίρου ψυχῆς, ἡ δύναμις τοῦ λογικῶς
ὀρέγεσθαι. ὁ τρόπος φυσικῶς κινηθῆ αὐτὴ
ἡ λογικὴ ὄρεξις πρὸς τὸ πρᾶγμα, λέγεται
βούλησις. βούλησις γάρ ἐστιν ὄρεξις καὶ ἔφεσις
τοῦ πράγματος λογική. λέγεται δὲ ἡ βούλησις,
καὶ ἐπὶ τῶν ἐφ᾽ ἡμῖν καὶ οὐκ ἐφ᾽ ἡμῖν. τουτέστι
καὶ ἐπὶ τῶν δυνατῶν καὶ ἐπὶ τῶν ἀδυνάτων.
βουλόμεθα γὰρ πολλάκις πορνεῦσαι. ἢ σω-
φρονῆσαι. ἢ ὑπνῶσαι. ἢ τι τῶν τοιούτων, καὶ
ταῦτα τῶν ἐφ᾽ ἡμῖν ἐστι καὶ δυνατῶν. βουλό-
μεθα δὲ καὶ βασιλεῦσαι. τοῦτο οὐκ ἔστι τῶν
ἐφ᾽ ἡμῖν. βουλόμεθα δὲ τυχὸν καὶ μηδέποτε
ἀποθανεῖν. τοῦτο τῶν ἀδυνάτων ἐστίν.
ἔστι δὲ ἡ βούλησις τοῦ τέλους, οὐ τῶν πρὸς τὸ
τέλος. τέλος μὲν οὖν ἐστι, τὸ βουλητόν.
ὡς τὸ βασιλεῦσαι. ὡς τὸ ὑγιᾶναι. πρὸς τὸ τέλος
δὲ, τὸ βουλευτόν. ἤγουν ὁ τρόπος. δι᾽ οὗ ὀφείλομεν
ὑγιᾶναι ἢ βασιλεῦσαι. εἰ τῇ μετ᾽ αὐτῆς βουλήσει,
ζήτησις καὶ σκέψις. καὶ μὴ δὲ ταῦτα ἐστὶ τῶν ἐφ᾽
ἡμῖν ἐστι, γίνεται βουλὴ ἤγουν βούλευσις. βουλὴ

δέ ἐστιν, ὄρεξις ζητητική, περὶ τῶν ἐφ'
ἡμῖν πρακτῶν γινομένη. βουλεύεται γὰρ εἰ ὀ-
φείλει μετελθεῖν τὸ πρᾶγμα, ἢ οὔ. εἶτα
κρίνει τὸ κρεῖττον, καὶ λέγεται κρίσις. εἶτα
διατίθεται καὶ ἀγαπᾷ τὸ ἐκ τῆς βουλῆς κριθέν,
καὶ καλεῖται γνώμη. ἐὰν γὰρ κρίνῃ καὶ μὴ διατεθῇ
πρὸς τὸ κριθέν, ἤγουν ἀγαπήσει αὐτό, οὐ λέγεται
γνώμη. εἶτα μετὰ τὴν διάθεσιν, λέγεται
προαίρεσις, ἤγουν ἐπιλογή. προαίρεσις γὰρ
ἐστὶ δύο προκειμένων, τὸ αἱρεῖσθαι καὶ ἐκλέγεσθαι
τοῦτο πρὸ τοῦ ἑτέρου. εἶτα ὁρμᾷ πρὸς τὴν
πρᾶξιν, καὶ λέγεται ὁρμή. εἶτα κέχρηται,
καὶ λέγεται χρῆσις. εἶτα παύεται τῆς ὀρέξε-
ως μετὰ τὴν χρῆσιν. ἐπὶ μὲν οὖν τῶν ἀλόγων ὄ-
ρεξις γίνεταί τινος, καὶ εὐθέως ὁρμὴ πρὸς τὴν
πρᾶξιν. ἄλογος γάρ ἐστιν ἡ ὄρεξις τῶν ἀλόγων.
καὶ ἄγονται ὑπὸ τῆς φυσικῆς ὀρέξεως. διὸ οὔ-
τε θέλησις λέγεται ἡ τῶν ἀλόγων ὄρεξις,
οὔτε βούλησις. θέλησις γάρ ἐστι λογικὴ καὶ αὐ-
τεξούσιος φυσικὴ ὄρεξις. ἐπὶ δὲ τῶν ἀνθρώπων

λογικῶν ὄντων· ἄγεται μᾶλλον ἡ φυσικὴ ὄρεξις
ἢ προάγει· αὐτοξουσίως γὰρ καὶ μετὰ λόγου
κινεῖται· ἐπειδὴ συνεζευγμέναι εἰσὶν αἱ γνω-
στικαὶ καὶ ζωτικαὶ δυνάμεις ἐν αὐτῷ· αὐτοξουσί-
ως ὀρέγεται καὶ αὐτοξουσίως βούλεται· καὶ αὐ-
τοξουσίως ζητεῖ καὶ σκέπτεται· καὶ αὐτοξουσί-
ως κρίνει· καὶ αὐτοξουσίως διατίθεται· καὶ αὐτοξουσί-
ως προαιρεῖται· καὶ αὐτοξουσίως ὁρμᾷ· καὶ
αὐτοξουσίως πράττει ἐπὶ τῶν κατὰ φύσιν
ὄντων· χρὴ δὲ γινώσκειν· ὅτι ἐπὶ θεοῦ, βούλησιν
μὲν, λέγομεν· προαίρεσιν δὲ, κυρίως οὐ λέγομεν·
οὐ γὰρ βουλεύεται ὁ θεός· ἀγνοίας γάρ ἐστι τὸ βου-
λεύεσθαι· περὶ γὰρ τοῦ γινωσκομένου, οὐδεὶς
βουλεύεται· εἰ δὲ ἡ βουλὴ ἀγνοίας, πάντως
καὶ ἡ προαίρεσις· ὁ δὲ θεὸς πάντα εἰδὼς, ἁπλῶς
βουλεύεται· οὔτε δὲ ἐπὶ τῆς τοῦ κυρίου ψυχῆς
φαμὲν βουλὴν ἢ προαίρεσιν, οὐ γὰρ εἶχεν ἄγνοι-
αν· εἰ γὰρ καὶ τῆς ἀγνοούσης τὰ μέλλοντα φύσεως
ἦν· ἀλλ' ὅμως καθ' ὑπόστασιν ἑνωθεῖσα τῷ
θεῷ λόγῳ, πάντων τὴν γνῶσιν εἶχεν· οὐ χάριτι

ἄλλως τε ἀρκεῖ ταῦτα διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν.
ὁ αὐτὸς γὰρ ἦν καὶ θεὸς καὶ ἄνθρωπος. διὸ οὐ γνωμικὸν
ἔσχε θέλημα· θέλησιν γὰρ εἶχε τὴν φυσικὴν τὴν
ἁπλῆν· τὴν ἐν πάσαις ταῖς ὑποστάσεσι τῶν
ἀνθρώπων ὁμοίως θεωρουμένην. τὴν δὲ γνώμην
ἤγουν τὸ θελητὸν, οὐχ εἶχεν ἡ ἁγία αὐτοῦ ψυχὴ
ἐναντίον τοῦ θείου αὐτοῦ θελήματος· οὐδὲ
ἄλλο παρὰ τὸ θεῖον αὐτοῦ θέλημα. ἡ γὰρ γνώμη
σὺν διαιρεῖται ταῖς ὑποστάσεσι· πλὴν τῆς
ἁγίας καὶ ἁπλῆς καὶ ἀσυνθέτου καὶ ἀδιαιρέτου
θεότητος. ἐκεῖ γὰρ τῶν ὑποστάσεων μὴ ἐστ' ἀπ' ἀλλήλων
διαιρουμένων καὶ διϊσταμένων, οὐδὲ τὸ θελητὸν
διαιρεῖται. κἀκεῖ μὲν ἐπειδὴ μία φύσις,
μία καὶ ἡ φυσικὴ θέλησις· ἐπειδὴ δὲ καὶ αἱ ὑπο-
στάσεις ἀδιάστατοι εἰσὶν, ἓν καὶ τὸ θελητὸν καὶ
μία ἡ κίνησις τῶν τριῶν ὑποστάσεων. ἐπὶ
δὲ τῶν ἀνθρώπων. ἐπειδὴ μὲν ἡ φύσις μία, μία
καὶ ἡ φυσικὴ θέλησις. ἐπειδὴ δὲ αἱ ὑποστάσεις
κεχωρισμέναι εἰσὶ καὶ διεστήκασιν ἀλλήλων
κατά τε τόπον καὶ χρόνον. καὶ τὴν πρὸς τὰ πρα

πράγματα διάφορα αὐτῶν· καὶ ἕτερα πλεῖστα,
τούτου ἕνεκεν διάφορα τὰ θελήματα καὶ
αἱ γνῶμαι. ἐπὶ δὲ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐπεὶ
μὲν διάφοροι αἱ φύσεις, διάφοροι καὶ αἱ θελήσεις
αἱ φυσικαὶ αὐτοῦ, τῆς αὐτοῦ θεότητος καὶ τῆς ἀνθρω-
πότητος. ἤγουν αἱ θελητικαὶ δυνάμεις. ἐπεὶ
δὲ μία ἡ ὑπόστασις καὶ εἷς ὁ θέλων· ἓν καὶ τὸ θελητὸν.
ἤγουν τὸ γνωμικὸν θέλημα, τῆς ἀνθρωπίνης αὐτοῦ
θελήσεως ἑπομένης δηλαδὴ τῇ θείᾳ αὐτοῦ
θελήσει· καὶ ταῦτα θελούσης, ἃ ἡ θεία αὐτοῦ
ἤθελε θέλησις θέλειν αὐτήν. χρὴ γινώσκειν.
ὡς ἕτερον μέν ἐστιν ἡ θέλησις· ἕτερον δὲ
βούλησις· ἕτερον δὲ τὸ θελητόν· καὶ ἕτερον
τὸ θελητικόν· καὶ ἕτερον ὁ θέλων. θέλησις
μὲν γάρ ἐστιν αὐτὴ ἡ ἁπλῆ δύναμις τοῦ θέλειν.
βούλησις δὲ, ἡ περί τι θέλησις. θελητὸν
δὲ, τὸ ὑποκείμενον τῇ θελήσει πρᾶγμα.
ἤγουν ὅπερ θέλομεν. οἷον, κινεῖται ἡ ὄρεξις
πρὸς βρῶσιν· ἡ μὲν ἁπλῶς ὄρεξις ἡ λογικὴ
θέλησίς ἐστιν· ἡ δὲ πρὸς βρῶσιν ὄρεξις, βούλησίς ἐστιν:

αὕτη δὲ ἡ κύρωσις, θελητὸν γάρ· θελητικὸν δὲ,
τὸ ἔχον τὴν θελητικὴν δύναμιν· οἷον, ὁ
ἄνθρωπος· θέλων δὲ, ὁ αὐτὸς ὁ κεχρημένος
τῇ θελήσει· δεῖ δὲ εἰδέναι ὡς τὸ θέλημα·
ποτὲ μὲν, τὴν θέλησιν δηλοῖ· ἤτοι τὴν
θελητικὴν δύναμιν, καὶ λέγεται θέλημα φυ-
σικόν· ποτὲ δὲ, τὸ θελητόν· καὶ λέγεται
θέλημα γνωμικόν:– περὶ ἐνεργείας:–

λθʹ Χρὴ γινώσκειν ὡς πᾶσαι αἱ δυνάμεις αἱ
προειρημέναι· αἵ τε γνωστικαὶ· αἵ τε ζωτικαὶ
καὶ φυσικαὶ· καὶ τεχνικαὶ, ἐνέργειαι λέγονται·
ἐνέργεια γάρ ἐστιν ἡ φυσικὴ ἑκάστης οὐσίας δύ-
ναμίς τε καὶ κίνησις· καὶ πάλιν, ἐνέργειά ἐστι
φυσικὴ, ἡ πάσης οὐσίας ἔμφυτος κίνησις· ὅθεν
δῆλον ὅτι ὧν ἡ οὐσία ἡ αὐτὴ, τούτων καὶ ἡ ἐνέργεια
ἡ αὐτή· ὧν δὲ αἱ φύσεις διάφοροι, τούτων καὶ
ἐνέργειαι διάφοροι· ἀμήχανον γὰρ οὐσίαν, ἄ-
μοιρον εἶναι φυσικῆς ἐνεργείας· ἐνέργεια
πάλιν ἐστὶ φυσικὴ, ἡ δηλωτικὴ ἑκάστης
οὐσίας δύναμις· καὶ πάλιν ἐνέργειά ἐστι

φυσικὴ καὶ ἐπιτηδειότης, ἡ ἀρχὴ κινήσεως δυνάμεως
τῆς νοβρᾶς ψυχῆς· τουτέστιν ὁ ἀρχὴ κινήσεως
αὐτῆς λόγος· φυσικῶς ἐξ αὐτῆς ἀπεργα-
-ζόμενος· ἐνέργειαι δὲ φυσικαί, ἡ ἑκάστης οὐσίας
δυνάμεις τε καὶ κινήσεις· ἧς χωρὶς μόνον
τὸ μὴ ὄν. λέγονται δὲ ἐνέργειαι καὶ αἱ πράξεις.
ὡς τὸ λαλεῖν· τὸ περιπατεῖν· τὸ ἐσθίειν.
τὸ πίνειν· καὶ τὰ τοιαῦτα· καὶ τὰ πάθη δὲ
τὰ φυσικὰ πολλάκις, ἐνέργειαι λέγονται.
οἷον, πεινᾶν· διψᾶν· καὶ τὰ τοιαῦτα. λέγεται
δὲ πάλιν ἐνέργεια, καὶ τὸ ἀποτέλεσμα τῆς
δυνάμεως· διὰ τοῦτο δὲ λέγεται καὶ τὸ δυνάμει
καὶ τὸ ἐνεργείᾳ· λέγομεν γὰρ τὸν παῖδα τὸν σχο-
-λάζοντα, δυνάμει γραμματικόν· ἔχει γὰρ
ἐπιτηδειότητα τοῦ διὰ μαθήσεως γενέσθαι
γραμματικός· λέγομεν πάλιν τὸν γραμματιστὴν
καὶ δυνάμει γραμματικόν, καὶ ἐνεργείᾳ· ἐνερ-
-γείᾳ μέν, ὅτι ἔχει τὴν γνῶσιν τῆς γραμματικῆς·
δυνάμει δέ, ὅτι δύναται ἐξηγεῖσθαι, οὐκ ἐνερ-
-γεῖ δὲ τὴν ἐξήγησιν· λέγομεν πάλιν ἐνέργεια,

γραμματικοῦ, ὅτε ἐνεργεῖ ἤγουν ὅτε ἐξηγεῖται·
χρὴ οὖν γινώσκειν ὅτι ὁ δεύτερος τρόπος
κοινός ἐστι τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ·
δεύτερος μὲν τοῦ δυνάμει, πρῶτος δὲ τοῦ
ἐνεργείᾳ· ἐνέργεια φύσεώς ἐστιν ἡ πρώτη
καὶ μόνη καὶ ἀληθὴς καὶ αὐθαίρετος ἤτοι λογική
καὶ αὐτοζωοποιὸς ζωή· καὶ τοῦ καθ' ἡμᾶς ζώου
συστατική· ἥ τοι ἀποστεροῦντες τοῦ Χριστοῦ,
οὐκ οἴδασι πῶς θεὸν αὐτὸν ἐνανθρωπῆσαι φασί
τῷ λέγουσιν· ἐνέργεια ἐστὶ φύσεως κίνησις
δραστική· δραστικὸν δὲ λέγεται, τὸ ἐξ ἑαυτοῦ
κινούμενον· περὶ ἑκουσίου καὶ ἀκουσίου·

λ Ἐπειδὴ τὸ ἑκούσιον ἐν πράξει τινί ἐστι καὶ τὸ
νομιζόμενον δὲ ἀκούσιον ἐν πράξει τινί
ἐστι· πολλοὶ δέ τινες καὶ τὸ οὕτως ἀκούσιον
οὐ μόνον ἐν τῷ πάσχειν, ἀλλὰ καὶ ἐν τῷ
πράττειν τίθενται· δεῖ εἰδέναι· ὅτι πρᾶ-
ξίς ἐστιν ἐνέργεια λογική· ταῖς δὲ πράξεσιν
ἕπεται ἔπαινος ἢ ψόγος· καὶ αἱ μὲν αὐτῶν
μεθ' ἡδονῆς· αἱ δὲ μετὰ λύπης, πράττονται·

ἤγουν ὃ πρᾶξαι· τίνα, ἤγουν τοῦ πάθους· τί, ἤγουν αὐτὸ τὸ πραχθέν· τυχὸν ἐφόνευσε· τίνι, ἤγουν ὀργάνῳ· ποῦ, ἤγουν τόπῳ· πρός τι, ἤγουν ἐπὶ ποίῳ χρέει· πῶς, ὁ τρόπος τῆς πράξεως· διὰ τί, ἤγουν διὰ ποίαν αἰτίαν. ἰστέον, ὡς ἔστι τινὰ μὲν ἑκούσια ὄντα καὶ ἀκούσια· ἅτινα ἀνάγκῃ καὶ λύπῃ παρ' οὐ τι διὰ μεῖζον κακὸν καταδεχόμεθα· ὡς διὰ ναυάγιον ἀποβάλλομεν τὰ ἐν τῷ πλοίῳ· ἰστέον ὡς τὰ παιδία καὶ τὰ ἄλογα, ἑκουσίως μὲν ποιεῖ· οὐ μὴν καὶ προαιρούμεθα· καὶ ὅσα διὰ θυμὸν πράττομεν, μὴ προβουλευσάμενοι, ἑκουσίως ποιοῦμεν· οὐ μὴν κατὰ προαίρεσιν· καὶ ὁ φίλος ἂν φανῇ ἐξαίφνης, ἑκουσίως μὲν ἥδομαι, οὐ μὴν καὶ προαιρούμενος· καὶ ὁ θησαυρῷ ἀνελπίστως περιτυχών, ἑκουσίως περιέτυχεν· οὐ μὴν καὶ προαιρούμενος· ταῦτα μὲν πάντα, ἑκούσια· διὰ τὸ ἐπ' αὐτοῖς ἥδεσθαι. οὐ μὴν καὶ ἐκ προαιρέσεως· διότι οὐκ ἀπὸ βουλῆς· δεῖ δὲ πάντη βουλὴν προηγεῖσθαι τῆς προαιρέσεως καθ' εἱρμόν.

K. m.

μα'

## περὶ τοῦ ἐφ' ἡμῖν, τουτέστι τοῦ αὐτεξουσίου·

Ὁ περὶ τοῦ αὐτεξουσίου λόγος, τουτέστι τοῦ
ἐφ' ἡμῖν· πρώτην μὲν ἔχει ζήτησιν, εἰ ἔστι
τι ἐφ' ἡμῖν· πολλοὶ γὰρ οἱ πρὸς τοῦτο ἀντιτεί-
νοντες· δεύτερον δέ, τίνα ἐστὶ τὰ ἐφ' ἡμῖν·
καὶ τίνων ἐξουσίαν ἔχομεν· τρίτην, τὴν αἰ-
τίαν ἐξετάσαι, δι' ἣν ὁ ποιήσας ἡμᾶς θεὸς
αὐτεξουσίους ἐποίησεν· ἀναλαμβάνοντες οὖν
περὶ τοῦ πρώτου, τὸ πρῶτον ἐροῦμεν·
ἀποδεικνύντες ὅτι ἔστι τινὰ ἐφ' ἡμῖν, ἐκ τῶν
παρ' ἐκείνοις ὁμολογουμένων· καὶ ἐροῦμεν
οὕτως· τῶν γινομένων ἁπάντων, ἢ θεόν
φασιν αἴτιον εἶναι, ἢ ἀνάγκην, ἢ εἱμαρμένην,
ἢ φύσιν· ἢ τύχην· ἢ τὸ αὐτόματον· ἀλλὰ τοῦ
μὲν θεοῦ ἔργον, οὐσία καὶ πρόνοια· τῆς δὲ ἀνάγκης,
τῶν ἀεὶ ὡσαύτως ἐχόντων κίνησις· τῆς
δὲ εἱμαρμένης, τὸ ἐξ ἀνάγκης ἐπιτελεῖν· τῆς δὲ φύσεως,
γένεσις· αὔξησις· φθορά· φυτά, καὶ ζῷα·
τῆς δὲ τύχης, τὰ σπάνια· καὶ τὰ ἀπροσ-
δόκητα· ὁρίζονται γὰρ τὴν τύχην, σύμπτω-

καὶ αἱ μὲν αὐτῶν εἰσιν αἱρεταί, τῶν πραττόντων·
αἱ δὲ φευκταί· καὶ τῶν αἱρετῶν αἱ μὲν ἀεὶ
αἱρεταί· αἱ δὲ κατά τινα χρόνον· ὁμοίως
καὶ τῶν φευκτῶν· καὶ πάλιν αἱ μὲν τῶν πράξεων
ἐλεούμεναι· αἱ δὲ συγγνώμης ἀξιούμεναι·
αἱ δὲ μισούμεναι καὶ κολαζόμεναι· τῶν μὲν οὖν
ἑκουσίων, πάντως ἀκολουθεῖ ἔπαινος ἢ ψόγος·
καὶ τὸ μετὰ ἡδονῆς πράττεσθαι· καὶ τὸ αἱρετὰς
εἶναι τὰς πράξεις τοῖς πράττουσιν· ἢ ἀεὶ
ἢ τότε ὅτε πράττονται· τὸ δὲ ἀκουσίων, τὸ
συγγνώμης ἢ ἐλέους ἀξιοῦσθαι· καὶ τὸ μετὰ
λύπης πράττεσθαι· καὶ τὸ μὴ εἶναι αἱρετάς·
μηδὲ δι᾽ ἑαυτοῦ τελεῖν τὸ πραττόμενον, ἀλλὰ
καὶ βιάζεσθαι. τοῦ δὲ ἀκουσίου, τὸ μὲν β´ ἢ κατὰ
βίαν· τὸ δὲ δι᾽ ἄγνοιαν· κατὰ βίαν μὲν
οὖν, ὅταν ἡ ποιητικὴ ἀρχὴ ἤγουν αἰτία,
ἔξωθεν ᾖ· ἤγουν ὅταν ὑφ᾽ ἑτέρου βιαζώμεθα,
μηδόλως πειθόμενοι· μηδὲ συμμαχόμενοι
κατὰ οἰκείαν ὁρμήν· μηδόλως συμπράττοντες.
ἢ δι᾽ ἑαυτῶν τὸ βιασθὲν ποιοῦμεν. ὃ καὶ

ὁριζόμενοι, φαμέν· ἀκούσιον ἐστὶν οὗ ἡ ἀρχὴ
ἔξωθεν· μηδὲν συμβαλλομένου κατ' οἰκεί-
αν ὁρμὴν τοῦ βιασθέντος· ἀρχὴν δὲ φαμὲν
τὴν ποιητικὴν αἰτίαν· τὸ δὲ δι' ἄγνοιαν ἀ-
κούσιον ἐστὶν ὅταν μὴ αὐτοὶ παρέχωμεν αἰτί-
αν τῆς ἀγνοίας, ἀλλ' οὕτω συμβῇ· εἰ γὰρ μεθύων
τις φόνον ποιήσει, ἀγνοῶν μὲν ἐφόνευσεν·
οὐ μὴν ἀκουσίως· τὴν γὰρ αἰτίαν τῆς ἀγνοί-
ας ἤγουν τὴν μέθην, αὐτὸς ἔπραξεν· εἰ δέ τις
ἐν τῷ οἰωνῷ ἤθει τὸ τῶν τοξευόντων τὸν πατέρα
πατροκτονίου τυχὸν ἀποκτείνει δι' ἄγνοιαν, λέγεται
ἀκουσίως, τοῦτο πεποιηκέναι· τοῦ οὖν
ἀκουσίου διττοῦ ὄντος· τοῦ μὲν κατὰ βίαν·
τοῦ δὲ δι' ἄγνοιαν, τὸ ἑκούσιον ἀμφοτέροις
ἀντίκειται· ἔστι γὰρ ἑκούσιον, τὸ μήτε κατὰ
βίαν, μήτε δι' ἄγνοιαν γινόμενον· ἑκούσι-
ον τοίνυν ἐστὶν, οὗ ἡ ἀρχὴ· τουτέστιν ἡ αἰτία ἐν ἑαυτῷ·
εἰδότι τὰ καθ' ἕκαστα· δι' ὧν ἢ ἐν οἷς ἡ πρᾶξις·
καθ' ἕκαστα δὲ ἐστὶν, ἃ καλεῖται παρὰ τοῖς
ἐν ῥήτορσι περιστατικὰ μόρια· οἷον, τίς·

οἷς ἕπεται φόβος· ἢ ἐπαινοῦμεν καὶ ἐφ' οἷς ἐστι
πρὸς θάτερον περιγενόμενον· κυρίως δὲ ἐφ' ἡμῖν
ἐστὶ τὰ τῆς ψυχῆς πάθη ταῦτα· καὶ περὶ ὧν βου-
λευόμεθα· ἡ δὲ βουλὴ τῶν ἐπίσης ἐνδεχομένων
ἐστίν· ἐπίσης δὲ ἐνδεχόμενόν ἐστι, ὃ αὐτό τε
δυνάμεθα, καὶ τὸ ἀντικείμενον αὐτοῦ· ποιεῖται
δὲ τούτων τὴν αἵρεσιν, ὁ νοῦς ὁ ἡμέτερος καὶ οὗτός ἐστιν
ἀρχὴ πράξεων· ταῦτα τοίνυν ἐστὶ τὰ ἐφ'
ἡμῖν, τὰ ἐπίσης ἐνδεχόμενα· οἷον, τὸ κι-
νεῖσθαι καὶ μὴ κινεῖσθαι· ὁρμᾶν καὶ μὴ ὁρμᾶν·
ὀρέγεσθαι τῶν μὴ ἀναγκαίων καὶ μὴ ὀρέγεσθαι·
ψεύδεσθαι καὶ μὴ ψεύδεσθαι· διδόναι καὶ μὴ
διδόναι· χαίρειν ἐφ' οἷς δεῖ καὶ μὴ χαίρειν· ὁμοίως
καὶ ἐφ' οἷς οὐ δεῖ, καὶ ὅσα τοιαῦτα· ἐν οἷς ἐστι τὰ
τῆς ἀρετῆς καὶ τῆς κακίας ἔργα· τούτων γὰρ ἐσμὲν
αὐτεξούσιοι· τῶν δὲ ἐπίσης ἐνδεχομένων
ἔστι καὶ αἱ τέχναι· ἐφ' ἡμῖν γάρ ἐστι μετελθεῖν ἣν ἂν
θελήσωμεν, καὶ μὴ μετελθεῖν· χρὴ δὲ γινώσκειν
ὡς ἡ μὲν αἵρεσις τῶν πρακτέων, ἀεὶ ἐφ' ἡμῖν
ἐστίν· ἡ δὲ πρᾶξις, κωλύεται κατά τινα τρόπον

καὶ προνοίας:- διὰ ποίαν αἰτίαν γεγόναμεν αὐτεξούσιοι:

κζ Φαμὲν τοίνυν εὐθέως τὴν λογικὴν συνεισφέρεσθαι τὸ αὐτεξούσιον· πᾶν γὰρ τὸ γενητόν, καὶ τρεπτόν ἐστιν· ὧν γὰρ ἡ ἀρχὴ τῆς γενέσεως ἀπὸ τροπῆς ἤρξατο, ἀνάγκη ταῦτα τρεπτὰ εἶναι. τροπὴ δέ ἐστι, τὸ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραχθῆναι· καὶ τὸ ἐξ ὑποκειμένης ὕλης, ἕτερόν τι γενέσθαι. τὰ μὲν ἄψυχα, καὶ ἄλογα τρέπονται, κατὰ τὰς προειρημένας σωματικὰς ἀλλοιώσεις· τὰ δὲ λογικά, κατὰ τὴν προαίρεσιν. τοῦ γὰρ λογικοῦ, τὸ μέν ἐστι θεωρητικόν· τὸ δὲ πρακτικόν· θεωρητικὸν οὖν τὸ κατανοοῦν ὡς ἔχει τὰ ὄντα· πρακτικὸν δέ, τὸ βουλευτικόν· τὸ ὁρίζον τοῖς πρακτικοῖς τὸν ὀρθὸν λόγον. καὶ καλοῦσι τὸ μὲν θεωρητικόν, νοῦν· τὸ δὲ πρακτικὸν λόγον· καὶ τὸ μὲν θεωρητικόν, σοφίαν· τὸ δὲ πρακτικόν, φρόνησιν· πᾶς οὖν ὁ βουλευόμενος· ὡς ἐπ' αὐτῷ τῆς αἱρέσεως οὔσης τῶν πρακτέων, βουλεύεται· ἵνα τὸ προκριθὲν ἐκ τῆς βουλῆς ἕληται·

καὶ σοὶ ὧδε δρομικὴν, διὸ σαφηνείων· ἀπὸ προαιρέσεως
τὴν ἀρχὴν ἐχουσῶν· ἄλλο τι παρὰ ὃ πέφυκε
ἀποτελουσῶν· ὡς ὁ τάφον ὀρύσσων καὶ
θησαυρὸν εὑρών· οὔτε γὰρ ὁ θεὶς τὸν θησαυρὸν
οὕτως ἔθηκεν ὥστε ἄλλον τοῦτον εὑρεῖν· οὔτε
ὁ ὀρύσσων οὕτως ὤρυξεν, ὥστε εὑρεῖν θη-
-σαυρόν· ἀλλ' ὁ μὲν ἵν' ὅπου ἂν θέλῃ ἀμελῆται· ὁ
δὲ, ἵνα τάφον ὀρύξῃ· σοὶ ἐπεὶ δὲ ἄλλο ἀμφοῖν
παρὰ προαίρεσιν τοῖς ἀμφοτέροις· τοῦ δὲ αὐ-
-τομάτου, καὶ τῶν ἀψύχων ἢ ἀλόγων συμπί-
-πτει, ἄνευ φύσεως ἢ τέχνης. οὕτως
αὐτοί φασι· τινὶ τοίνυν τούτων ὑπαγαγόντων
καὶ αἱ τῶν ἀψύχων γινόμεναι ἢ προαιρέσεως, οὐκ
εἶναι ἀπὸ ἀρχῆς πράξει· οὐ γὰρ θεωρητὸν μὲν τοῦ
ἐπιγράφειν· ἀλλὰ ὡς ἔαθ' ὅτε πράξεις καὶ
αἰσχοίσ· οὐδὲ ἁμαρτάνει· οὐ γὰρ τῶν ἀεὶ ὡσαύτως
ἐχόντων ἐστὶν, οὐδὲ ἡ εἱμαρμένη· οὐ γὰρ τῶν ἐν-
-δεχομένων, ἀλλὰ τῶν ἀναγκαίων καὶ τῆς
εἱμαρμένης λέγουσιν· οὔτε φύσει. φύσεως
γὰρ ζῶα καὶ φυτά, οὐδὲ τύχῃ· οὔτε γὰρ

παραμίοις καὶ ἀπροσδοκήτοις τῶν ἀνθρώπων αὐτῆς πρα-
ξεως. οὔτε τῷ αὐτομάτῳ. ἀλλ' εἴχων τὸ λέ-
γοιτο ἢ ἀλόγων ἢ ἀψύχων σωμάτων. τὰ τοῦ αὐτο-
μάτου. λείπεται δὴ αὐτὸν τὸν πράττοντα
καὶ ποιοῦντα ἄνθρωπον, ἀρχὴν εἶναι τῶν ἰδίων ἔργων
καὶ αὐτεξούσιον. εἰ δὲ μηδεμιᾶς ἐστὶν ἀρχὴ πρά-
ξεως ἄνθρωπος, περιττῶς ἔχει τὸ βουλεύεσθαι.
πρὸς τί γὰρ χρήσεται τῇ βουλῇ, μηδεμιᾶς ὢν
πράξεως κύριος. πᾶσα γὰρ βουλὴ, πράξεως
ἕνεκα. τὸ δὲ κάλλιστον καὶ τιμιώτατον τῶν ἀνθρώπων,
περιττὸν ἀποφαίνειν, τῶν ἀτοπωτάτων
ἂν εἴη. εἰ τοίνυν βουλεύεται, πράξεως ἕνεκα
βουλεύεται. πᾶσα γὰρ βουλὴ, πράξεως ἕνε-
κα καὶ διὰ πρᾶξιν: — περὶ τῶν γινομένων: —

μβ Τῶν γινομένων. τὰ μὲν, ἐστὶν ἐφ' ἡμῖν. τὰ δὲ
οὐκ ἐφ' ἡμῖν. ἐφ' ἡμῖν μὲν οὖν ἐστιν, ὧν ἡμεῖς
ἐσμὲν αὐτεξούσιοι. ποιεῖν τε καὶ μὴ ποιεῖν.
τουτέστι πάντα τὰ δι' ἡμῶν ἑκουσίως πρατ-
τόμενα. οὐ γὰρ ἑκούσια ἐλέγετο πράττεσθαι,
τῆς πράξεως οὐκ οὔσης ἐφ' ἡμῖν. καὶ ἁπλῶς

καὶ ἑλόμενος, πράξῃ· ὁ δὲ τοῦτο ἐξ ἀνάγκης
παρυφίσταται τῷ λογικῷ, τὸ αὐτεξούσιον,
οὐκ ἔσται λογικόν· ἢ λογικὸν ὄν, κύριον ἔσται
πράξεων, καὶ αὐτεξούσιον· ὅθεν καὶ τὰ ἄλογα,
οὐκ εἰσὶν αὐτεξούσια· ἄγονται γὰρ μᾶλλον ὑπὸ
τῆς φύσεως, ἤπερ ἄγουσι· διὸ οὐδὲ ἀντιλέ-
γουσι τῇ φυσικῇ ὀρέξει· ἀλλ' ἅμα ὀρεχθῶσί τινος,
ὁρμῶσι πρὸς τὴν πρᾶξιν· ὁ δὲ ἄνθρωπος λογικὸς
ὤν, ἄγει μᾶλλον τὴν φύσιν ἤπερ ἄγεται· διὸ καὶ
ὀρεγόμενος, εἴπερ ἐθέλοι, ἐξουσίαν ἔχει τὴν ὄρεξιν
ἀναχαιτίσαι, ἢ ἀκολουθῆσαι αὐτῇ· ὅθεν τὰ
μὲν ἄλογα, οὔτε ἐπαινεῖται, οὔτε ψέγεται·
ὁ δὲ ἄνθρωπος, καὶ ἐπαινεῖται καὶ ψέγεται· χρὴ δὲ γι-
νώσκειν ὅτι καὶ οἱ ἄγγελοι λογικοὶ ὄντες, αὐτε-
ξούσιοι ὑπάρχουσι· καὶ ὡς κτιστοὶ, καὶ τρεπτοί·
καὶ ἔδειξεν· ὁ μὲν διάβολος ἀγαθὸς ὑπὸ τοῦ δη-
μιουργοῦ γενόμενος, αὐτεξουσίως τῆς κακίας
εὑρετὴς γεγονώς· καὶ αἱ σὺν αὐτῷ ἀποστατικαὶ
δυνάμεις, ἤγουν οἱ δαίμονες· τὰ δὲ λοιπὰ
τάγματα τῶν ἀγγέλων ἐν τῷ ἀγαθῷ διαμέ-
νουσι:—

## περὶ τῶν οὐκ ἐφ' ἡμῖν:

ὡρ Τῶν δὲ οὐκ ἐφ' ἡμῖν· τὰ μὲν, ἐκ τῶν ἐφ' ἡμῖν
ἔχει τὰς ἀφορμάς, ἤτοι τὰς αἰτίας· τὰς
ἀμοιβὰς τῶν πράξεων ἡμῶν· ἔν τε
τῷ παρόντι, καὶ ἐν τῷ μέλλοντι αἰῶνι· τὰ
δὲ λοιπὰ πάντα, τῆς θείας βουλήσεως ἐξήρ-
τηται. καὶ ἡ μὲν γένεσις πάντων, ἐκ τοῦ θεοῦ·
ἡ δὲ φθορὰ, διὰ τὴν ἡμετέραν κακίαν ἐπει-
σήχθη, πρὸς τιμωρίαν, καὶ ὠφέλειαν. ὁ γὰρ θεὸς θά-
νατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπω-
λείᾳ ζώντων· δι' ἀνθρώπου δὲ μᾶλλον θάνατος,
τουτέστι, τῆς τοῦ Ἀδὰμ παραβάσεως· ὁμοί-
ως καὶ αἱ λοιπαὶ τιμωρίαι. τὰ δὲ λοιπὰ πάντα
τῷ θεῷ ἀνατεθέον· ἡ γὰρ γένεσις ἡμῶν,
τῆς δημιουργικῆς αὐτοῦ δυνάμεώς ἐστιν·
καὶ ἡ διαμονή, τῆς συνεκτικῆς δυνάμεως
αὐτοῦ· καὶ ἡ κυβέρνησις, τῆς προνοητικῆς
αὐτοῦ δυνάμεως· καὶ ἡ τῶν ἀγαθῶν αἰωνία ἀπό-
λαυσις, τῆς ἀγαθότητος αὐτοῦ. τοῖς φυ-
λάττουσι τὸ κατὰ φύσιν ἐφ' ᾧ καὶ ἐπλάσθημεν·
ἐπειδὴ δέ τινες ἀντιλέγουσι τῇ προνοίᾳ,

## περὶ προνοίας:—

ἔτι μέντοι ὀλίγα καὶ περὶ προνοίας:—
Πρόνοια τοίνυν ἐστὶν, ἡ ἐκ θεοῦ εἰς τὰ ὄντα κε
γινομένη ἐπιμέλεια· καὶ πάλιν· πρόνοια
ἐστὶ, βούλησις θεοῦ· δι᾽ ἣν πάντα τὰ ὄντα,
τὴν πρόσφορον διεξαγωγὴν λαμβάνει· εἰ
δὲ θεοῦ βούλησίς ἐστιν ἡ πρόνοια, πᾶσα ἀνάγκη
πάντα τὰ τῇ προνοίᾳ γινόμενα κατὰ τὸν
ὀρθὸν λόγον, κάλλιστά τε καὶ θεοπρεπέστατα,
γίνεσθαι· καὶ ὡς οὐκ ἐνὶ κρεῖττον γίνεσθαι·
ἀνάγκη γὰρ τὸν αὐτὸν εἶναι ποιητὴν τῶν ὄντων
καὶ προνοητήν· οὔτε γὰρ πρέπον οὔτε ἀκόλουθον·
ἄλλον μὲν ποιητὴν εἶναι τῶν ὄντων, ἄλλον
δὲ προνοητήν· οὕτω γὰρ ἂν ἀσθενεῖ καὶ πάντως
ἐστὶν ἀμφότεροι· ὁ μὲν τοῦ ποιεῖν· ὁ δὲ τοῦ
προνοεῖν· ὁ θεὸς τοίνυν ἐστὶν, ὅ τε ποιητὴς
καὶ προνοητής· καὶ ἡ ποιητικὴ δὲ αὐτοῦ δύναμις·
καὶ ἡ συνεκτικὴ καὶ ἡ προνοητικὴ, ἡ ἀγαθὴ αὐτοῦ
θέλησίς ἐστι· πάντα γὰρ ὅσα ἠθέλησεν ὁ κύριος
ἐποίησε· καὶ τῷ θελήματι αὐτοῦ, οὐδεὶς
ἀνθέστηκε· ἠθέλησε γενέσθαι τὰ πάντα,

καὶ λέγομεν· θέλει συνίστασθαι τὸν κόσμον,
καὶ συνίσταται· καὶ πάντα ὅσα θέλει, δύ-
ναται καὶ γίνεται. ὅτι δὲ προνοεῖ καὶ καλῶς
προνοεῖ, ὀρθότατα ἔστι σκοπήσειν ἅπαντας
οὕτως· μόνος ὁ θεὸς ἐστὶ φύσει ἀγαθὸς καὶ
σοφός. ὡς οὖν ἀγαθός, προνοεῖ· ὁ γὰρ μὴ
προνοῶν, οὐκ ἀγαθός, καὶ γὰρ οἱ ἄνθρωποι καὶ τὰ ἄλο-
γα, τῶν οἰκείων τέκνων προνοοῦσι φυσι-
κῶς· καὶ ὁ μὴ προνοῶν, ψέγεται. ὡς δὲ σο-
φός, ἄριστα τῶν ὄντων ἐπιμελεῖται. χρὴ
τοίνυν τούτοις προσέχοντας, πάντα
θαυμάζειν· πάντα ἐπαινεῖν· πάντα
ἀνεξετάστως ἀποδέχεσθαι τὰ τῆς
προνοίας ἔργα· κἂν φαίνηται τοῖς πολλοῖς
ἄδικα· διὰ τὸ ἄγνωστον καὶ ἀκατάληπτον
εἶναι, τοῦ θεοῦ τὴν πρόνοιαν· καὶ τοὺς λογισμοὺς
ἡμῶν καὶ τὰς πράξεις· καὶ τὰ μέλλοντα.
αὐτῷ δὲ μόνῳ γνωστά· πάντα δὲ λέγω,
τὰ οὐκ ἐφ' ἡμῖν· τὰ γὰρ ἐφ' ἡμῖν, οὐ τῆς
προνοίας ἐστίν· ἀλλὰ τοῦ ἡμετέρου αὐτε-

ξουσίου· τῆς δὲ προνοίας· τὰ μὲν, κατ' εὐ-
δοκίαν εἰσί, τὰ δὲ, κατὰ συγχώρησιν·
κατ' εὐδοκίαν μὲν, ὅσα ἀναμφιρρήτως
ἐστὶν ἀγαθά· κατὰ συγχώρησιν δὲ οὕτως·
συγχωρεῖ γὰρ πολλάκις καὶ τὸν δίκαιον περι-
πεσεῖν συμφοραῖς· ἵνα τὴν ἐν αὐτῷ λαν-
θάνουσαν ἀρετήν, δείξῃ τοῖς ἄλλοις, ὡς
ἐπὶ τοῦ ἰώβ· ἄλλοτε συγχωρεῖ τῶν
ἀτόπων τι πραχθῆναι· ἵνα διὰ τῆς πρά-
ξεως τῆς δοκούσης ἀτόπου, μέγα τι καὶ θαυμα-
στὸν κατορθωθῇ· ὡς διὰ τοῦ σταυροῦ τὴν σωτηρίαν
τῶν ἀνθρώπων. κατ' ἄλλον τρόπον συγχωρεῖ
τὸν ὅσιον πάσχειν κακῶς· ἵνα μὴ ἐκ τῆς
ὀρθῆς συνειδήσεως ἐκπέσῃ· ἢ ἐκ τῆς δοθεί-
σης αὐτῷ δυνάμεως τε καὶ χάριτος, εἰς
ἀλαζονείαν ἐκπέσοι· ὡς ἐπὶ τοῦ παύλου.
ἐγκαταλείπεται γάρ τις πρὸς καιρόν, πρὸς διόρ-
θωσιν ἄλλου· ἵνα τὸ κατ' αὐτὸν σκοποῦντες,
οἱ ἄλλοι παιδεύωνται· ὡς ἐπὶ τοῦ λαζάρου
καὶ τοῦ πλουσίου· φυσικῶς γὰρ ὁρῶντες,

τινὸς πάσχειν τοῦ συγχωρούμεθα· οὐ δι' οἰ-
κείας ἢ γονέων ἁμαρτίας· ὡς ὁ ἐκ γεννη-
τῆς τυφλὸς εἰς δόξαν τοῦ υἱοῦ τοῦ ἀνθρώπου.
πάλιν συγχωρεῖταί τις παθεῖν εἰς
ἄλλου ζῆλον· ἵνα τῆς δόξης τοῦ παθόν-
τος, μεγαλυνθείσης, ἄοκνον τὸ πάθος
τοῖς ἄλλοις γένηται. ἐλπίδι τῆς μελ-
λούσης δόξης καὶ ἐπιθυμίας, τῶν μελ-
λόντων ἀγαθῶν ὡς ἐπὶ τῶν μαρτύρων.
παραχωρεῖται τις καὶ εἰς αἰσχρὰν ἐμ-
πεσεῖν πρᾶξιν, ἤγουν ὅτε πρὸς διόρθωσιν
ἑτέρου χείρονος πάθους· οἷον ἐάν τις
ἐπαιρόμενος ἐπὶ ταῖς ἀρεταῖς καὶ
τοῖς κατορθώμασιν αὐτοῦ· παραχω-
ρεῖ τοῦτον ὁ θεὸς εἰς πορνείαν πεσεῖν·
ὅπως διὰ τοῦ πτώματος εἰς συναί-
σθησιν τῆς οἰκείας ἀσθενείας ἐλθ(ὼν)
ταπεινωθῇ· καὶ προσελθὼν ἐξομολο-
γήσηται τῷ κυρίῳ. χρὴ δὲ γινώσκειν ὅτι
ἡ μὲν αἵρεσις τῶν πρακτέων, ἐφ' ἡμῖν

ιβ. τὸ δὲ τέλος τῶν μὲν ἀγαθῶν τῆς τοῦ
θεοῦ συμβουλίας· εἰ καὶ ὡς συνεργοῦντος τοῦ
θεοῦ τοῖς προαιρουμένοις τὸ ἀγαθόν· ὀρθῶς
συνειδότος κατὰ τὴν πρόγνωσιν αὐτοῦ.
τῶν δὲ πονηρῶν τῆς ἐγκαταλείψεως τοῦ
θεοῦ· πάλιν κατὰ τὴν πρόγνωσιν αὐτοῦ
δικαίως ἐγκαταλιμπανομένων· τῆς δὲ ἐγκα-
ταλείψεως εἰσὶν εἴδη δύο· ἔστι γὰρ ἐγκα-
τάλειψις οἰκονομικὴ· καὶ ἔστιν ἐγκατάλει-
ψις τελεία ἀπογνωστική· οἰκονομικὴ
μὲν καὶ παιδευτικὴ πρὸς διόρθωσιν καὶ
σωτηρίαν καὶ δόξαν τοῦ πάσχοντος γινομένη·
καὶ πρὸς ἄλλων ζῆλον καὶ μίμησιν· ἢ καὶ πρὸς
δόξαν θεοῦ· ἡ δὲ τελεία ἐγκατάλειψις, ὅτε
τοῦ θεοῦ πάντα πρὸς σωτηρίαν πεποιηκότος,
ἀνεπαίσθητος καὶ ἀνίατος μένει· μᾶλλον δὲ
ἀνίατος ἐξ οἰκείας προθέσεως διαμένει
ὁ ἄνθρωπος· τότε παραδίδοται εἰς τελείαν
ἀπώλειαν ὡς ὁ Ἰούδας. φείσεται ἡμῶν ὁ θεὸς
καὶ ἐξέλοιτο ἡμᾶς τῆς τοιαύτης ἐγκαταλείψεως.

χρὴ δὲ εἰδέναι ὡς πολλοὶ εἰσὶν οἱ τρόποι τῆς τοῦ θεοῦ προνοίας καὶ μὴ λόγῳ ἑρμηνευθῆναι μήτε νῷ καταληφθῆναι δυνάμενοι· δεῖ γινώσκειν ὡς αἱ σκυθρωπαὶ ἐπιφοραὶ τοῖς μετ' εὐχαριστίας δεχομένοις πρὸς σωτηρίαν ἐπάγονται καὶ πάντως ὠφελείας γίνονται πρόξενοι· χρὴ εἰδέναι ὡς ὁ θεὸς προηγουμένως θέλει πάντας σωθῆναι καὶ τῆς βασιλείας αὐτοῦ τυχεῖν· οὐ γὰρ ἐπὶ τὸ κολάσαι ἔπλασεν ἡμᾶς· ἀλλ' ἐπὶ τὸ μετασχεῖν τῆς ἀγαθότητος αὐτοῦ· ἁμαρτάνοντας δὲ θέλει κολάζεσθαι· λέγεται οὖν τὸ μὲν πρῶτον, προηγούμενον θέλημα καὶ εὐδοκία ἐξ αὐτοῦ ὄν· τὸ δὲ δεύτερον ἑπόμενον θέλημα καὶ παραχώρησις ἐξ ἡμετέρας αἰτίας· καὶ αὕτη διττή· ἡ μὲν οἰκονομικὴ καὶ παιδευτικὴ πρὸς σωτηρίαν· ἡ δὲ ἀπογνωστικὴ πρὸς τελείαν κόλασιν ὡς εἰρήκαμεν· ταῦτα δὲ ἐπὶ τῶν οὐκ ἐφ' ἡμῖν· τῶν δὲ ἐφ' ἡμῖν· τὰ

μὲν ἀγαθὰ προηγουμένως θέλει καὶ εὐδο-
κεῖ· τὰ δὲ πονηρὰ καὶ ὄντως κακὰ, οὔτε
προηγουμένως· οὔτε ἑπομένως θέλει·
παραχωρεῖ δὲ τῷ αὐτεξουσίῳ· τὸ γὰρ κατὰ
βίαν γινόμενον, οὐ λογικὸν· οὐδὲ ἀρετή·
προνοεῖ δὲ ὁ θεὸς πάσης τῆς κτίσεως εὐερ-
γετῶν καὶ παιδεύων καὶ δι' αὐτῶν πολλάκις
τῶν δαιμόνων ὥσπερ ἐπὶ τοῦ ἰὼβ καὶ τῶν
χοίρων:- περὶ προγνώσεως καὶ προορισμοῦ:-

Χρὴ γινώσκειν ὡς πάντα μὲν προγινώσκει μγ
ὁ θεός· οὐ πάντα δὲ προορίζει· προγινώσκει
γὰρ καὶ τὰ ἐφ' ἡμῖν· οὐ προορίζει δὲ αὐτά·
οὐ γὰρ θέλει τὴν κακίαν γίνεσθαι· οὐδὲ βι-
άζεται τὴν ἀρετήν· προορίζει δὲ τὰ οὐκ
ἐφ' ἡμῖν κατὰ τὴν πρόγνωσιν αὐτοῦ· ἤδη γὰρ
κατὰ τὴν πρόγνωσιν αὐτοῦ, προέκρινε
πάντα ὁ θεός, κατὰ τὴν ἀγαθότητα καὶ
δικαιοσύνην αὐτοῦ· χρὴ δὲ γινώσκειν ὅτι ἡ μὲν
ἀρετὴ ἐκ τοῦ θεοῦ ἐδόθη ἐν τῇ φύσει· καὶ αὐτός ἐστι
παντὸς ἀγαθοῦ ἀρχὴ καὶ αἰτία· καὶ ἐκτὸς

τῆς αὐτοῦ συνεργίας καὶ βοηθείας, ἀδύνατον ἀγαθὸν θελῆσαι ἢ πρᾶξαι ἡμᾶς· ἐφ' ἡμῖν δέ ἐστιν ἢ ἐμμεῖναι τῇ ἀρετῇ καὶ ἀκολουθῆσαι τῷ θεῷ, πρὸς ταύτην καλοῦντι, ἢ ἀποφοιτῆσαι τῆς ἀρετῆς· ὅπερ ἐστὶν ἐν τῇ κακίᾳ γενέσθαι καὶ ἀκολουθῆσαι τῷ διαβόλῳ, πρὸς ταύτην καλοῦντι ἀβιάστως· ἡ γὰρ κακία, οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ἀναχώρησις τοῦ ἀγαθοῦ· ὥσπερ καὶ τὸ σκότος τοῦ φωτός ἐστιν ἀναχώρησις. ~~τοῦ ἀγαθοῦ ὥσπερ καὶ τὸ σκότος τοῦ φωτὸς ἐστὶν ἀναχώρησις~~. μένοντες οὖν ἐν τῷ κατὰ φύσιν, ἐν τῇ ἀρετῇ ἐσμέν· ἐκκλίνοντες δὲ ἐκ τοῦ κατὰ φύσιν, παρὰ φύσιν ἐρχόμεθα καὶ ἐν τῇ κακίᾳ γινόμεθα. μετάνοιά ἐστιν, ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ κατὰ φύσιν· καὶ ἐκ τοῦ διαβόλου πρὸς τὸν θεὸν ἐπάνοδος, δι' ἀσκήσεως καὶ πόνων· τοῦτον τοίνυν τὸν ἄνθρωπον ἀμοίρου, ὁ δημιουργὸς ἄρρενα κατεσκεύασε, μεταδοὺς αὐτῷ τῆς ἑαυτοῦ

θείας χάριτος· καὶ τῆς κοινωνίας ἑαυτοῦ διὰ
ταύτης αὐτὸν ποιησάμενος· ὅθεν καὶ τὴν
τῶν ζώων ὀνομασίαν προφητικῶς
ὡς δούλων αὐτῷ δοθέντων δεσποτικῶς
ἐποιήσατο· κατ' εἰκόνα τοῦ θεοῦ λογικὸς
γενόμενος καὶ αὐτεξούσιος γινόμενος, ἀκόλουθον
ἦν τὴν ἐπιγείων ἀρχὴν ἐνεχειρίζετο ὑπὸ
τοῦ κοινοῦ τῶν ἁπάντων δημιουργοῦ τε
καὶ δεσπότου· ᾔδει ὡς δὲ ὁ προγνώστης θεὸς
ὡς ἐν παραβάσει γενήσεται καὶ τῇ φθορᾷ
ὑποπεσεῖται, ἐποίησεν ἐξ αὐτοῦ τὸ θῆλυ
βοηθὸν αὐτῷ κατ' αὐτόν· βοηθὸν δὲ πρὸς
τὴν διὰ γεννήσεως μετὰ τὴν παράβασιν
τοῦ γένους ἐκ διαδοχῆς σύστασιν· καὶ τὴν πρώτην
πλάσις γένεσις λέγεται, καὶ οὐ γέννησις.
γένεσις μὲν γάρ, ἡ ἐκ θεοῦ πρώτη πλάσις.
γέννησις δέ, ἡ ἐκ καταδίκης τοῦ θανάτου
διὰ τὴν παράβασιν διαδοχή. τοῦτον ἔθετο
ἐν τῷ παραδείσῳ τῷ τε νοητῷ καὶ αἰσθητῷ.
ἐν μὲν γὰρ τῷ αἰσθητῷ παραδείσῳ, ἐπὶ γῆς

σωματικῶς διὰ γῆς μὲν· ψυχικῶς δὲ
τοῖς ἀγγέλοις συναναστρεφόμενος, τὰς θείας
γεωργῶν ἐννοίας· καὶ ταύταις τρεφόμενος·
γυμνὸς τῇ ἁπλότητι καὶ ζωῇ τῇ ἀτέχνῳ·
πρὸς μόνον τὸν δημιουργὸν διὰ τῶν αὐτοῦ
κτισμάτων ἀναγόμενος· καὶ τῇ αὐτοῦ θεω-
ρίᾳ ἐνηδυνόμενός τε καὶ εὐφραινόμενος.
ἐπειδὴ τοίνυν αὐτὸν αὐτεξουσίῳ θελή-
ματι φυσικῶς κατεκόσμησε, δίδωσι
νόμον αὐτῷ μὴ γεύσασθαι τοῦ ξύλου τῆς
γνώσεως· περὶ οὗ ξύλου αὐτάρκως ἐν
τῷ περὶ παραδείσου κεφαλαίῳ, κατά
γε τὴν ἡμετέραν εἰρήκαμεν δύναμιν· ταύ-
την δὲ τὴν ἐντολὴν αὐτῷ δίδωσιν ἐπαγγειλάμενος,
ὡς εἰ μὲν φυλάξει, τὸ τῆς ψυχῆς ἀξίωμα
τῷ λόγῳ τὴν νίκην διδοὺς ἐπιγινώσκων
τὸν κτίσαντα· καὶ τούτου φυλάττων τὸ πρό-
σταγμα, τῆς ἀϊδίου μεθέξει μακαριό-
τητος· καὶ ζήσεται εἰς τὸν αἰῶνα, κρείσ-
σων θανάτου γενόμενος· εἰ δέ γε τὴν ψυχὴν

ὑποτάξει τῷ σώματι· καὶ τὰ τοῦ σώματος
προτιμήσει τοῦ πρέποντος, τὴν οἰκείαν τιμὴν
ἀγνοήσας· καὶ τοῖς ἀνοήτοις παρεικασθεὶς
κτήνεσι τοῦ πεποιηκότος τὴν ζεύγλην
ἀποσεισάμενος· καὶ τὸ θεῖον αὐτοῦ παριδὼν
ἐπίταγμα, θανάτῳ ἐστὶν ὑπεύθυνος·
καὶ φθορᾷ καὶ πόνῳ, καθυποβληθήσεται·
τὸν παλαιὸν πώρον ἑλκωμένον· οὐ γὰρ ἦν λυσι-
τελὲς ἀπείραστον ἔτι τὸν ἀγῶνα καὶ ἀδό-
κιμον, τῆς ἀφθαρσίας τυχεῖν, ἵνα μὴ εἰς τύ-
φον ἐμπέσῃ καὶ κρίματι τοῦ διαβόλου· ἐχρῆν
γὰρ αὐτὸν ἄφθαρτον μὲν διὰ τὴν ἐκ προαιρέ-
σεως ἄπτωσιν, τὴν ἐν τῷ κακῷ ἀμετάληπτον
ἔχειν καὶ ἄτρεπτον παγιότητα· ὥσπερ δ' αὐτοὶ πάλιν
καὶ οἱ ἄγγελοι· μὲν διὰ τὴν ἐκ προαιρέσεως τῆς
ἀρετῆς ἐκλογήν· τὴν ἐν τῷ καλῷ δὲ διὰ τῆς
χάριτος ἀμετακίνητον ἵδρυσιν· ἔδει τοίνυν
πρότερον δοκιμασθῆναι τὸν ἄνθρωπον· καὶ τῇ
πείρᾳ διὰ τῆς τηρήσεως τῆς ἐντολῆς
τελειωθέντα, οὕτω τὴν ἀφθαρσίαν, ἀρετῆς

κομίσασθαι ἔπαθλον· μέσος τε θεοῦ καὶ
ὕλης γενόμενος· διὰ μὲν τῆς τηρήσεως
τῆς ἐντολῆς μετὰ τὴν ἀπαλλαγὴν τῆς
πρὸς τὰ αὐτοῦ τῆς φυσικῆς σχέσεως ἑνωθεὶς
τῷ θεῷ καθ' ἕξιν τὴν περὶ τὸ καλὸν ταυ-
τότητα, λαμβάνειν ἀμετακίνητον ἔμελλε· ἀλλὰ
διὰ δὲ τῆς παρορμήσεως πρὸς τὴν ὕλην
μᾶλλον κινηθεὶς καὶ τῆς αὐτοῦ αἰτίας τοῦ
φημί· ἀποσπάσας τὸν νοῦν, τῇ φθορᾷ
προσοικειοῦσθαι· καὶ παθητὸς ἀντὶ ἀπαθοῦς,
καὶ θνητὸς, ἀντὶ ἀθανάτου γενέσθαι· καὶ
συνδυασμοῦ καὶ ῥευστῆς γεννήσεως ἐπι-
δέεσθαι· καὶ τῇ ἐφέσει τῆς ζωῆς· τῶν μὲν
ἡδέων ὡς δῆθεν ταύτην συνιστώντων
ἀντέχεσθαι· περὶ δὲ τοὺς τούτων προθύμου
μένοντας τὴν στέρησιν ἀδεῶς ἀπεχθάνεσθαι·
καὶ τὴν μὲν ἔφεσιν ἐκ θεοῦ πρὸς τὴν ὕλην· τὸν
δὲ θυμὸν ἐκ τοῦ τῆς σπασμὸν τρόπον ἐλθεῖν
μεταφέρειν πρὸς τὸ ὁμόφυλον· φθόνῳ,
τοῖν ὡς διαμόλου ἢ πλήθους ἄμεινος· οὐ τὰ

ἐφθόνησεν ὁ φθονερὸς καὶ μισόκαλος δαίμων· αὐτὸς γὰρ διὰ τὴν ἔπαρσιν κάτω γενόμενος, ἡμᾶς τῶν ἄνω τυχεῖν· ὅθεν καὶ θεότητος ἐλπίδι ὁ ψεύστης δελεάζει τὸν ἄθλιον· καὶ πρὸς τὸ ἴδιον τῆς ἐπάρσεως ὕψος ἀναγαγὼν· πρὸς τὸ ὅμοιον καταφέρει τῆς πτώσεως βάραθρον:-

## Περὶ τῆς θείας οἰκονομίας· καὶ τῆς περὶ ἡμᾶς κηδεμονίας καὶ τῆς ἡμῶν σωτηρίας :- μζ

Ταύτῃ τοίνυν τῇ προσβολῇ τοῦ ἀρχεκάκου δαίμονος, δελεασθέντα τὸν ἄνθρωπον· καὶ τὴν τοῦ δημιουργοῦ ἐντολὴν οὐ φυλάξαντα· καὶ γυμνωθέντα τῆς χάριτος· καὶ τὴν πρὸς θεὸν παρρησίαν ἀπεκδυσάμενον· καὶ σκεπασθέντα τῇ τοῦ μοχθηροῦ βίου τραχύτητι· τοῦτο γὰρ τὰ φύλλα τῆς συκῆς· καὶ περιβληθέντα τὴν νέκρωσιν· ἤτοι τὴν θνητότητα καὶ παχύτητα τῆς σαρκός· τοῦτο γὰρ ἡ τῶν νεκρῶν δερμάτων ἀμφίασις· καὶ τοῦ παραδείσου κατὰ τὴν

τοῦ θεοῦ δι' ἀχαριστίαν γεγονότα ἀσκό-
-ρίστου· καὶ θανάτῳ κατακρίτου καὶ φθορᾷ
ὑποχειρίου· οὐ παρεῖδεν ὁ συμπαθὴς
ὁ τὸ εἶναι δοὺς, καὶ τὸ εὖ εἶναι χαρισάμενος·
ἀλλὰ πολλοῖς πρὸ τούτου παιδαγωγήσας·
καὶ πρὸς ἐπιστροφὴν καλέσας, στόνῳ καὶ τρό-
-μῳ· ὕδατι κατακλυσμοῦ, καὶ παντὸς
τοῦ γένους, μικροῦ δεῖν παμολεθρίᾳ,
συγχύσει καὶ διαιρέσει γλωσσῶν· ἀγγέλων
ἐπιστασίαις· πόλεων ἐμπρησμῷ· τυπικαῖς
θεοφανείαις· πολέμοις· νίκαις· ἥτταις·
σημείοις καὶ τέρασι· καὶ ποικίλαις δυνά-
-μεσι· νόμῳ· προφήταις· δι' ὃ τὸ σπου-
-δαζόμενον ἦν, ἡ τῆς ἁμαρτίας ἀναίρεσις
πολυειδῶς χυθείσης· καὶ καταδουλω-
-σαμένης τὸν ἄνθρωπον· καὶ πᾶν εἶδος κακίας
ἐπισωρευσάσης τῷ βίῳ· καὶ ἡ πρὸς τὸ
εὖ εἶναι τοῦ ἀνθρώπου ἐπάνοδος· ἐπειδὴ διὰ ἁ-
-μαρτίας ὁ θάνατος εἰς τὸν κόσμον εἰσῆλ-
-θεν· ὥσπερ τι θηρίον ἄγριον καὶ ἀνήμερον

τὸν ἀνθρωπίνου λυμαινόμενον γένους· ἔδει δὲ τὸν
λυτροῦσθαι μέλλοντα ἀναμάρτητον
εἶναι· καὶ μὴ τῷ θανάτῳ διὰ τῆς ἁμαρ-
τίας ὑπεύθυνον· ἔτι δὲ νευρωθῆναι
καὶ ἀνακαινισθῆναι τὴν φύσιν καὶ ἔργῳ,
παιδαγωγηθῆναι καὶ διδαχθῆναι ἀρετῆς
ὁδόν· τῆς μὲν φθορᾶς ἀπάγουσαν· πρὸς
δὲ τὴν ζωὴν ὁδηγοῦσαν τὴν αἰώνιον·
τέλος, τὸ μέγα περὶ αὐτὸν τῆς φιλανθρωπίας
ἐνδείκνυται πέλαγος· αὐτὸς γὰρ ὁ δημι-
ουργός τε καὶ κύριος, τὴν ὑπὲρ τοῦ οἰκείου
πλάσματος ἀναδέχεται πάλην· καὶ ἔργῳ
διδάσκαλος γίνεται· καὶ ἐπειδὴ θεότητος
ἐλπίδι ὁ ἐχθρὸς δελεάζει τὸν ἄνθρωπον· σαρ-
κὸς προβλήματι δελεάζεται· καὶ δείκνυται
ἅμα τὸ ἀγαθόν τε καὶ σοφόν· τὸ δίκαιόν
τε καὶ τὸ δυνατὸν τοῦ θεοῦ· τὸ μὲν ἀγαθὸν,
ὅτι οὐ παρεῖδε τοῦ οἰκείου πλάσματος
τὴν ἀσθένειαν· ἀλλ' ἐσπλαγχνίσθη ἐπ'
αὐτῷ πεσόντι καὶ χεῖρα ὤρεξε· τὸ δίκαιον,

ὅτι ἀμνοῦ καὶ τεχθέντος οὐχ ἕτερον ποιεῖν νι-
κῆσαι τὸν τύραννον· οὐδὲ βίᾳ ἐξαρ-
πάξει τοῦ θανάτου τοῦ ἀμνοῦ· ἀλλ' οὖν τὸν πα-
λαιὸν διὰ τῆς ἁμαρτίας καταδουλοῦται
ὁ θάνατος· τοῦτον ὁ ἀγαθὸς καὶ ἔσχατος
νίκη τὴν πάλαι πεποίηκε· τῷ ὁμοίῳ
τὸ ὅμοιον ἀμεσώσατο· ὅπερ ἄπορον
ἦν· τὸ δὲ σοφόν, ὅτι εὗρε τοῦ ἀπόρου
λύσιν εὐπρεπεστάτην· εὐδοκίᾳ τοῦ θεοῦ
καὶ πατρὸς ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ· καὶ
θεός· ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ὁ ὁμοού-
σιος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι· ὁ προαιώνιος·
ὁ ἄναρχος· ὁ ἐν ἀρχῇ ὤν· καὶ πρὸς τὸν θεὸν καὶ πρὸ-
ὢν καὶ θεὸς ὤν· ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων· κλίνει
οὐρανοὺς καὶ κατέρχεται· τουτέστι τὸ ἀταπ-
γωτον αὐτοῦ ὕψος· ἀταπεινώτως τα-
πεινώσας συγκαταβαίνει τοῖς ἑαυτοῦ
δούλοις· συγκατάβασιν ἄφραστόν τε καὶ
ἀκατάληπτον· τοῦτο γὰρ δηλοῖ ἡ κατάβασις·
καὶ θεὸς ὢν τέλειος, ἄνθρωπος τέλειος γίνεται.

καὶ ἐπιτελεῖται τὸ πάντων καινῶν καινό-
τατον· τὸ μόνον καινὸν ὑπὸ τὸν ἥλιον· δι'
οὗ ἡ ἄπειρος τοῦ θεοῦ ἐμφανίζεται δύναμις·
τί γὰρ μεῖζον τοῦ θεὸν γενέσθαι ἄνθρωπον· καὶ ὁ λόγος
σὰρξ ἀτρέπτως ἐγένετο· ἐκ πνεύματος ἁγίου καὶ Μαρί-
ας τῆς ἁγίας παρθένου καὶ θεοτόκου· καὶ μεσίτης
θεοῦ καὶ ἀνθρώπων χρηματίζει ὁ μόνος φιλάνθρωπος· οὐκ
ἐκ θελήματος ἢ ἐπιθυμίας ἢ συναφείας
ἀνδρός, ἢ γεννήσεως ἡδονικῆς· ἐν τῇ ἀχράντῳ
μήτρᾳ τῆς παρθένου συλληφθείς· ἀλλ' ἐκ
πνεύματος ἁγίου καὶ τῆς πρώτης τοῦ Ἀδὰμ
γεννήσει· καὶ γίνεται ὑπήκοος τῷ πατρὶ τὸ
καθ' ἡμᾶς καὶ ἐξ ἡμῶν θελήματι· τὴν
ἡμετέραν παρακοὴν ἰώμενος· καὶ ὑπογραμμὸς
ἡμῖν ὑπακοῆς γινόμενος· ἧς ἐκτός, οὐκ ἔστι σωτηρίας
τυχεῖν :–

## Περὶ τοῦ τρόπου τῆς συλλήψεως τοῦ θεοῦ λόγου καὶ τῆς θείας αὐτοῦ σαρκώσεως :– μη

Ἄγγελος τοῦ κυρίου ἀπεστάλη πρὸς τὴν ἁγίαν παρθένον·
ἐκ Δαυιτικοῦ φύλου καταγομένην· πρό-
δηλον γὰρ ὡς ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος

ἡμῶν· ἐξ ἧς φυλῆς, οὐδεὶς προσέσχηκε
τῷ θυσιαστηρίῳ. ὡς ὁ θεῖος ἔφη ἀπόστολος·
παρὰ ἰουδαίου ὕστερον [illegible] ἄχρι γαβριήλου· ὃς
εὐαγγελιζόμενος ἔλεγε· χαῖρε κεχαριτωμένη
ὁ κύριος μετὰ σοῦ· ἡ δὲ διεταράχθη ἐπὶ τῷ λόγῳ,
καὶ φησὶ πρὸς αὐτὴν ὁ ἄγγελος· μὴ φοβοῦ μαριάμ·
εὗρες γὰρ χάριν παρὰ κυρίῳ· καὶ τέξῃ υἱόν· καὶ κα-
-λέσεις τὸ ὄνομα αὐτοῦ ἰησοῦν, αὐτὸς γὰρ σώσει
τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν·
ὅθεν τὸ ἰησοῦς, σωτὴρ ἑρμηνεύεται· ἡ δὲ διὰ
-ἀπορίας· πῶς ἔσται μοι τοῦτο ἐπεὶ ἄνδρα
οὐ γινώσκω· πάλιν φησὶ πρὸς αὐτὴν ὁ ἄγγελος·
πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ· καὶ δύναμις
ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον
ἅγιον κληθήσεται υἱὸς θεοῦ· ἡ δὲ πρὸς αὐτόν·
ἰδοὺ ἡ δούλη κυρίου γένοιτό μοι κατὰ τὸ ῥῆμα
σου· μετὰ οὖν τὴν συγκατάθεσιν τῆς ἀει-
παρθένου, πνεῦμα ἅγιον ἐπῆλθεν ἐπ' αὐτὴν
κατὰ τὸν τοῦ χριστοῦ λόγον ὃν εἶπεν ὁ ἄγγελος,
καθαῖρον αὐτήν. καὶ δύναμιν δεκτικὴν τῆς

τοῦ λόγου θεότητα, παρέχων· ἅμα δὲ καὶ
δεκτικήν· καὶ τότε ἐπεσκίασεν ἐπ' αὐτὴν
ἡ τοῦ θεοῦ τοῦ ὑψίστου ἐνυπόστατος σοφία καὶ
δύναμις· οἱονεὶ θεῖος σπόρος· καὶ συνέπη-
-ξεν ἑαυτῷ ἐκ τῶν ἁγνῶν καὶ καθαρωτάτων αὐτῆς
αἱμάτων· σάρκα ἐμψυχωμένην λογικῇ,
ψυχῇ τε καὶ νοερᾷ ἀπαρχὴν τοῦ ἡμετέρου
φυράματος· οὐ σπερματικῶς, ἀλλὰ δη-
-μιουργικῶς, διὰ τοῦ ἁγίου πνεύματος· οὐ τῷ
κατὰ μικρὸν προσθήκαις ἀπαρτιζομένου
τοῦ σχήματος, ἀλλ' ὑφ' ἓν τελειωθέντος·
αὐτὸς ὁ τοῦ θεοῦ λόγος χρηματίσας τῇ σαρ-
-κὶ ὑπόστασις· οὐ γὰρ προϋποστάσῃ καθ' ἑαυτὴν
σαρκὶ ἡνώθη ὁ θεῖος λόγος· ἀλλ' ἐνοικήσας τῇ γα-
-στρὶ τῆς ἁγίας παρθένου· ἀπεριγράπτως ἐν τῇ
ἑαυτοῦ ὑποστάσει ἐκ τῶν ἁγνῶν τῆς ἀειπαρ-
-θένου αἱμάτων, σάρκα ἐμψυχωμένην, ψυχῇ
λογικῇ τε καὶ νοερᾷ, ὑπεστήσατο· ἀπαρχὴν
προσλαβόμενος τοῦ ἀνθρωπείου φυράματος· αὐτὸς
ὁ λόγος γενόμενος τῇ σαρκὶ ὑπόστασις· ὥστε

ἅμα σὰρξ ἔμψυχος λογική τε καὶ νοερά·
δι' ὃ οὐκ ἄνθρωπον ἀποθεωθέντα λέγομεν·
ἀλλὰ θεὸν ἐνανθρωπήσαντα· ὢν γὰρ φύσει
τέλειος θεός, γέγονε φύσει τέλειος ἄνθρωπος ὁ αὐτός·
οὐ τραπεὶς τὴν φύσιν· οὐδὲ φαντάσας
τὴν οἰκονομίαν· ἀλλὰ τῇ ἐκ τῆς ἁγίας
παρθένου ληφθείσῃ λογικῶς τε καὶ νοερῶς·
ἐμψυχωμένῃ σαρκί· καὶ ἐν αὐτῷ τὸ εἶναι
λαχούσῃ· ἑνωθεὶς καθ' ὑπόστασιν ἀσυγ-
χύτως καὶ ἀναλλοιώτως καὶ ἀδιαιρέτως· μὴ
μεταβαλὼν τὴν τῆς θεότητος αὐτοῦ φύσιν
εἰς τὴν τῆς σαρκὸς οὐσίαν· μήτε μὴν τὴν
οὐσίαν τῆς σαρκὸς αὐτοῦ εἰς τὴν φύσιν
τῆς αὐτοῦ θεότητος· οὐδὲ ἐκ τῆς θείας αὐτοῦ
φύσεως καὶ ἧς προσελάβετο ἀνθρωπίνης φύσεως μίαν
φύσιν ἀποτελέσας σύνθετον:

μθ Ἀτρέπτως δὲ καὶ ἀναλλοιώτως· περὶ τῶν δύο φύσεων
ἡνώθησαν ἀλλήλαις αἱ φύσεις· μήτε
τῆς θείας φύσεως ἐκστάσης τῆς οἰκεί-
ας ἁπλότητος· μήτε μὴν τῆς ἀνθρωπίνης

ἢ τραπείσης εἰς θεότητος φύσιν· ἢ ἀπὸ
ἀνυπάρξιαν χωρησάσης· μήτε ἐκ τῶν
δύο μίαν ἀπογεγεννημένης συνθέτου φύσεως·
ἢ τῆς συνθέτου φύσεως· οὐδὲ ἀποτέλεσμα τῶν
ἐξ ὧν συνετέθη φύσεων· ὁμοούσιον ὑπάρχειν
δύναται· ἐξ ἑτέρου ἀποτελεσθεῖσα
ἑτερούσιον· οἷον, τὸ σῶμα τὸ ἐκ τῶν τεσσάρων
στοιχείων συντεθειμένον· οὔτε τῷ πυρὶ
λέγεται ὁμοούσιον· οὔτε τὸ πῦρ ὀνομά-
-ζεται· οὔτε ἀὴρ λέγεται· οὔτε ὕδωρ· οὔτε γῆ·
οὐδὲ τινὶ τούτων ἐστὶν ὁμοούσιον· εἰ τοίνυν
κατὰ τοὺς αἱρετικοὺς μιᾶς φύσεως σύν-
θετος ὁ Χριστός, μετὰ τὴν ἕνωσιν ἐχρημάτισεν·
ἐξ ἁπλῆς φύσεως οὔτε τῷ πατρὶ ὁμοούσιος· οὔτε τῇ
μητρί· οὐδὲ ἐκ θεότητος καὶ ἀνθρωπότητος αὐτὴ
συντέθειται· οὔτε μὴν ἐν θεότητι καὶ ἀν-
-θρωπότητι· οὔτε δὲ θεὸς ὀνομασθήσεται,
οὐδὲ ἄνθρωπος· ἀλλὰ Χριστὸς μόνον· καὶ ἔσται τὸ Χριστοῦ
τῆς ὑποστάσεως αὐτοῦ ὄνομα· ἀλλὰ τῆς μι-
κτῆς κατ' αὐτοὺς φύσεως· καὶ μιᾶς δὲ οὐ μιᾶς συνθέτου

φύσεως τοῦ Χριστοῦ δοξάζομεν· οὐδὲ ἐξ ἑτέρων
ἕτερον· ὥσπερ ἐκ ψυχῆς καὶ σώματος
ἄνθρωπον· ἢ ὡς ἐκ τεσσάρων στοιχείων σῶμα·
ἀλλ' ἐξ ἑτέρων ταὐτόν· ἐκ θεότητος γὰρ καὶ
ἀνθρωπότητος, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον· τὸν
αὐτὸν καὶ εἶναι καὶ λέγεσθαι ἐκ δύο τε καὶ ἐν δυσὶ
φύσεσιν ὁμολογοῦμεν· τὸ δὲ Χριστὸς ὄνομα
τῆς ὑποστάσεως λέγομεν· οὐ μονοτρόπως
λεγόμενον· ἀλλὰ τῶν δύο φύσεων ὑπάρχον
σημαντικόν· αὐτὸς γὰρ ἑαυτὸν ἔχρισε· χρίων
μὲν ὡς θεὸς τὸ σῶμα τῇ θεότητι αὐτοῦ·
χριόμενος δὲ, ὡς ἄνθρωπος. αὐτὸς γάρ ἐστι τοῦτο
κἀκεῖνο· χρίσις δὲ ἡ θεότης τῆς ἀνθρω-
πότητος· εἰ γὰρ μιᾶς φύσεως συνθέτου ὢν ὁ Χριστὸς
ὁμοούσιός ἐστι τῷ πατρί· ἔσται ἄρα καὶ ὁ πατὴρ
σύνθετος καὶ τῇ σαρκὶ ὁμοούσιος, ὅπερ ἄτοπον· καὶ πάσης
βλασφημίας ἀνάπλεον. πῶς δὲ καὶ μία
φύσις τῶν ἐναντίων οὐσιωδῶν διαφορῶν
δεκτικὴ γενήσεται· πῶς γὰρ δυνατὸν τὴν
αὐτὴν φύσιν κατὰ ταὐτὸ κτιστὴν εἶναι καὶ ἄκτιστον·

θνητὴν καὶ ἀθάνατον· περιγραπτὴν καὶ ἀπε-
ρίγραπτον· εἰ δὲ καὶ μιᾶς λέγοντες τοῦ Χριστοῦ φύσεως,
ἁπλῆν ταύτην εἶναι ποιεῖν· ἢ γυμνὸν αὐτὸν θεὸν
ὁμολογήσουσιν· ἢ ψιλὸν ἄνθρωπον κατὰ νεστόριον·
καὶ ποῦ τὸ τέλειον ἐν θεότητι καὶ τὸ ἐν ἀνθρωπότητι
τέλειον· πότε δὲ καὶ δύο τοῦ Χριστοῦ λέξουσι
φύσεις· μιᾶς συντεθείσης τῆς φύσεως αὐτοῦ μετὰ τὴν
ἕνωσιν λέγοντες· ὅτι γὰρ μιᾶς ὁ Χριστὸς φύσεως
πρὸ τῆς ἑνώσεως, παντί που δῆλον· ἀλλὰ
τοῦτό ἐστι τὸ ποιοῦν τῶν αἱρετικῶν τὴν πλάνην,
τὸ ταὐτὸ λέγειν τὴν φύσιν καὶ τὴν ὑπόστασιν·
ἐπειδὴ μίαν τῶν ἀνθρώπων φύσιν φαμέν· ἰστέον
ὡς οὐχ ἀφορῶντες πρὸς τὸν τῆς ψυχῆς
καὶ τοῦ σώματος λόγον, τοῦτο λέγομεν· ἀδύ-
νατον γὰρ μιᾶς φύσεως λέγειν τὴν ψυχὴν καὶ τὸ
σῶμα πρὸς ἄλληλα συγκρινόμενα· ἀλλ'
ἐπεὶ πλεῖσται ὑποστάσεις τῶν ἀνθρώπων εἰσί·
πᾶσαι δὲ τὸν αὐτὸν ἐπιδέχονται τὸν λόγον
τῆς φύσεως· πᾶσαι γὰρ ἐκ ψυχῆς εἰσι συντεθει-
μέναι καὶ σώματος· καὶ πᾶσαι τῆς φύσεως τῆς

Μ·m

ψυχῆς μετειλήφασι· καὶ τὴν οὐσίαν τοῦ
σώματος κέκτηνται τὸ κοινὸν εἶδος·
πλείστων καὶ διαφόρων ὑποστάσεων μίαν
φύσιν φαμὲν ἐκ τῆς δηλαδὴ ὑποστάσεις δύο
φύσεις ἐχούσης καὶ ἐν δυσὶ τελείως ταῖς
φύσεσι· ψυχῆς λέγω καὶ σώματος· ἐπὶ δὲ
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐκ ἔστι κοινὸν εἶδος
λαβεῖν· οὔτε γὰρ ἐγένετο· οὐδὲ ἔστιν· οὔτε
ποτὲ γενήσεται ἄλλος Χριστὸς ἐκ θεότητος
καὶ ἀνθρωπότητος· θεὸς τέλειος ὁ αὐτὸς, καὶ ἄνθρωπος
τέλειος· ὅθεν οὐκ ἔστιν εἰπεῖν μίαν
φύσιν ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· διὸ δὴ ἐκ δύο
φύσεων τελείων· θείας τε καὶ ἀνθρωπίνης φαμὲν
γεγενῆσθαι τὴν ἕνωσιν· οὐ κατὰ φυρμόν·
ἢ σύγχυσιν· ἢ ἀνάκρασιν ὡς ὁ θεήλατος
ἔφη Διόσκορος· Σευῆρος τε καὶ ἡ τούτων
ἐναγὴς συμμορία· οὐδὲ προσωπικήν· ἢ σχετικὴν
ἢ κατ' ἀξίαν· ἢ ταυτοβουλίαν· ἢ ὁμοτιμίαν·
ἢ ὁμωνυμίαν· ἢ εὐδοκίαν, ὡς ὁ θεοστυγὴς
ἔφη Νεστόριος· Διόδωρός τε καὶ ὁ Μοψου

-εστίας θεόδωρος· καὶ ἡ τούτων δαιμονιώδης
ὁμήγυρις· ἀλλὰ κατὰ σύνθεσιν ἤτοι
καθ' ὑπόστασιν ἀτρέπτως καὶ ἀσυγχύτως
καὶ ἀναλλοιώτως· καὶ ἀδιαιρέτως· καὶ ἀδια-
-σπάστως· καὶ ἐν δυσὶ φύσεσι τελείαις ἐχούσαις
μίαν ὑπόστασιν ὁμολογοῦμεν τὸν υἱὸν τοῦ θεοῦ.
καὶ σεσαρκωμένου τὴν αὐτὴν ὑπόστασιν λέγοντες
τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος αὐτοῦ· καὶ
τὰς δύο φύσεις ὁμολογοῦντες σώζεσθαι
ἐν αὐτῷ μετὰ τὴν ἕνωσιν· οὐ χωρὶς δὲ καὶ ἀνὰ
μέρος τιθέντες ἑκάστην· ἀλλ' ἡνωμένας
ἀλλήλαις ἐν τῇ μιᾷ συνθέτῳ ὑποστάσει·
οὐσιώδη γάρ φαμεν, τὴν ἕνωσιν· τουτέστιν
ἀληθῆ καὶ οὐ κατὰ φαντασίαν· οὐσιώδη δὲ
οὐχ ὡς τῶν δύο φύσεων ἀποτελεσασῶν
μίαν φύσιν σύνθετον· ἀλλ' ἑνωθεισῶν ἀλλή-
-λαις κατὰ ἀλήθειαν εἰς μίαν ὑπόστασιν σύν-
-θετον τοῦ υἱοῦ τοῦ θεοῦ καὶ σώζεσθαι αὐτῶν τὴν
οὐσιώδη διαφορὰν ὁρίζομεν. τὸ γὰρ κτιστὸν,
μεμένηκε κτιστόν· καὶ τὸ ἄκτιστον, ἄκτιστον·

τὸ θνητόν, ἔμεινε θνητόν· καὶ ἀθάνατον,
τὸ ἀθάνατον· καὶ τὸ περίγραπτον, περι-
γραπτόν· καὶ τὸ ἀπερίγραπτον, ἀπερίγρα-
-πτον· τὸ ὁρατόν, ὁρατόν· καὶ ἀόρατον, τὸ
ἀόρατον· τὸ μέν, διαλάμπει τοῖς θαύ-
-μασι· τὸ δέ, ταῖς ὕβρεσιν ὑποπέπτωκεν·
οἰκειοῦται δὲ τἀνθρώπινα ὁ λόγος· αὐτοῦ γὰρ
ἐστὶ τὰ τῆς ἁγίας αὐτοῦ σαρκὸς ὄντα· καὶ
μεταδίδωσι τῇ σαρκὶ τῶν ἰδίων κατὰ τὸν
τῆς ἀντιδόσεως τρόπον· διὰ τὴν εἰς ἀλ-
-λήλα τῶν μερῶν περιχώρησιν· καὶ τὴν καθ'
ὑπόστασιν ἕνωσιν· καὶ ὅτι εἷς ἦν καὶ ὁ αὐτὸς
καὶ ὁ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα ἐνεργῶν ἐν ἑκα-
-τέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας·
διὸ δὴ καὶ ὁ κύριος τῆς δόξης ἐσταυρῶσθαι λέγεται·
καίτοι τῆς θείας αὐτοῦ μὴ παθούσης
φύσεως· καὶ υἱὸς τοῦ ἀνθρώπου πρὸ τοῦ πάθους
ἐν οὐρανῷ εἶναι ὡμολόγηται, ὡς αὐτὸς
ὁ κύριος ἔφησεν· εἷς γὰρ ἦν καὶ ὁ αὐτὸς ὁ κύριος τῆς
δόξης ὁ φύσει καὶ ἀληθείᾳ υἱὸς ἀνθρώπου· ἤτοι

ἀμφοτέρων γινόμενον· καὶ αὐτοῦ τά τε θαύματα
καὶ τὰ πάθη γινώσκομεν· ἄλλο καὶ κατ' ἄλλο
ἐθαυματούργει· καὶ κατ' ἄλλο τὰ πάθη
ὁ αὐτὸς ὑπέμενεν· ἴσμεν δὲ ὡς ἀφορμὴν
αὐτῶν τὴν ὑπόστασιν· οὕτω καὶ τὴν τῶν φύσεων
οἰκειώδη διαφορὰν σώζεσθαι· πῶς δὲ
συνθετικὴ διαφορὰ μὴ σωζομένων τῶν τὴν
διαφορὰν ἐχόντων πρὸς ἄλληλα· δια-
φορὰ γάρ, διαφερόντων ἐστὶ διαφορά· τῷ
μὲν οὖν λόγῳ, ᾧ διαφέρει ἀλλήλων αἱ φύσεις
τοῦ Χριστοῦ· τουτέστι τῷ λόγῳ τῆς οὐσίας φαμὲν
συνάπτεσθαι αὐτὸν τοῖς ἄκροις· κατὰ
μὲν τὴν θεότητα· τῷ πατρί τε καὶ τῷ πνεύματι·
κατὰ δὲ τὴν ἀνθρωπότητα· τῇ μητρί τε καὶ ἡμῖν·
ὁμοούσιος γὰρ ὁ αὐτὸς κατὰ μὲν τὴν θεότητα,
τῷ τε πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι· κατὰ δὲ τὴν
ἀνθρωπότητα, τῇ μητρί τε καὶ πᾶσι τοῖς ἀνθρώποις·
ᾧ δὲ λόγῳ, συνάπτονται αἱ φύσεις αὐτοῦ,
διαφέρειν φαμὲν· τοῦ τε πατρὸς καὶ τοῦ πνεύματος·
τῆς τε μητρὸς καὶ τῶν λοιπῶν ἀνθρώπων· συνά-

–πον ταυτότητα φύσεως αὐτοῦ τῇ ὑποστάσει μὲν
ὑπόστασιν οὖν ἔθετο μὲν ἔχουσαν· καθ' ἣν δια-
φέρει· τοῦ πατρὸς καὶ τοῦ πνεύματος· τῆς μητρὸς
καὶ ἡμῶν:–

μη̅ **περὶ τοῦ τρόπου τῆς ἀντιδόσεως.**

Τί μὲν οὖν ἕτερόν ἐστιν οὐσία καὶ ἕτερον ὑπόστασις,
πλειστάκις εἰρήκαμεν· καὶ ὅτι ἡ μὲν οὐσία,
τὸ κοινὸν καὶ περιεκτικὸν εἶδος τῶν ὁμοειδῶν
ὑποστάσεων σημαίνει· οἷον θεός, ἄνθρωπος· ἡ δὲ
ὑπόστασις ἄτομον δηλοῖ ἤτοι τὸν πατέρα καὶ
υἱὸν καὶ πνεῦμα ἅγιον· πέτρον παῦλον· ἰστέον
τοίνυν ὅτι τὸ μὲν θεότητος καὶ τῆς ἀνθρω-
πότητος ὄνομα, τῶν οὐσιῶν ἤτοι φύσεων ἐστὶ
παραστατικόν· τὸ δὲ θεὸς καὶ ἄνθρωπος, καὶ ἐπὶ τῆς
φύσεως τάττεται· ὁπόταν λέγωμεν· θεός ἐστιν
ἀκατάληπτος οὐσία· καὶ ὅτι εἷς θεός· λαμβάνεται
δὲ καὶ ἐπὶ τῶν ὑποστάσεων· ὡς τοῦ μερικωτέ-
ρου δεχομένου τὸ τοῦ καθολικωτέρου
ὄνομα· ὡς ὅταν φησὶν ἡ γραφή· διὰ τοῦτο
ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου· ἰδοὺ γὰρ τὸν πατέρα καὶ
τὸν υἱὸν ἐδήλωσε· καὶ ὡς ὅταν λέγῃ· ἄνθρωπος

πρὸς τὴν ὑποχώραν τὴν ἀσσυρίων· τὸ δὲ, τὸν λαὸν ἰωσὴφ
μόνον ἐδήλωσεν· ἐπὶ οὖν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ·
ἐπειδὴ δύο μὲν τὰς φύσεις γινώσκομεν·
μίαν δὲ τὴν ὑπόστασιν ἐξ ἀμφοτέρων συνθέτην·
ὅτε μὲν τὰς φύσεις ἀναθεωροῦμεν, θεότητα
καὶ ἀνθρωπότητα καλοῦμεν· ὅτε δὲ τὴν ἐκ τῶν
φύσεων συντεθεῖσαν ὑπόστασιν, ποτὲ μὲν
ἐκ τοῦ συναμφοτέρου, χριστὸν ὀνομάζομεν·
καὶ θεὸν καὶ ἄνθρωπον κατὰ ταυτὸ καὶ θεὸν σεσαρκωμένον·
ποτὲ δὲ, ἐξ ἑνὸς τῶν μερῶν θεὸν μόνον· καὶ υἱὸν
θεοῦ· καὶ ἄνθρωπον μόνον· καὶ υἱὸν ἀνθρώπου· καὶ ποτὲ μὲν
ἐκ τῶν ὑψηλῶν μόνων· ποτὲ δὲ, ἐκ τῶν
ταπεινῶν μόνων· εἷς γὰρ ἐστὶν ὁ κἀκεῖνο καὶ τοῦτο
ὁμοίως ὑπάρχων· τὸ μὲν ὢν ἀεὶ· ἀναιτίως
ἐκ πατρός· τὸ δὲ, γενόμενος ὕστερον διὰ φιλανθρωπίαν.
θεότητα μὲν οὖν λέγοντες, οὐ κατονομά-
-ζομεν αὐτῆς τὰ τῆς ἀνθρωπότητος ἰδιώματα·
οὐ γὰρ φαμὲν θεότητα παθητὴν ἢ κτιστήν·
οὐδὲ τῆς σαρκὸς ἤτοι τῆς ἀνθρωπότητος κατηγο-
-ροῦμεν τὰ τῆς θεότητος ἰδιώματα· οὐ γὰρ

φαμὲν σάρκα ἤτοι ἄνθρωπον ταὐτὸν κτιστόν· ἐπὶ
δὲ τῆς ὑποστάσεως· καὶ ἐκ τοῦ συναμφο-
τέρου· καὶ ἐξ ἑνὸς τῶν μερῶν ταύτην ὀνο-
μάσωμεν· ἀμφοτέρων τῶν φύσεων τὰ
ἰδιώματα αὐτῇ ἐπιτίθεμεν· καὶ γὰρ ὁ Χριστὸς
ὅπερ ἐστὶ τὸ συναμφότερον· καὶ θεὸς καὶ ἄνθρωπος
λέγεται· καὶ κτιστὸς καὶ ἄκτιστος· καὶ παθητὸς
καὶ ἀπαθής· καὶ ὅταν ἐξ ἑνὸς τῶν μερῶν
υἱὸς θεοῦ καὶ θεὸς ὀνομάζηται, δέχεται τὰ
τῆς συνυφεστηκυίας φύσεως ἰδιώματα·
ἤτοι τῆς σαρκός· θεὸς παθητὸς ὀνομαζόμενος
καὶ κύριος τῆς δόξης ἐσταυρωμένος· οὐ καθὸ θεός, ἀλλὰ
καθὸ καὶ ἄνθρωπος ὁ αὐτός· καὶ ὅταν ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου
ὀνομάζηται, δέχεται τὰ τῆς θείας οὐσίας
ἰδιώματα καὶ αὐχήματα· παιδίον προαι-
ώνιον καὶ ἄνθρωπος ἄναρχος· οὐ καθὸ παιδίον καὶ
ἄνθρωπος· ἀλλὰ καθὸ θεὸς ὢν προαιώνιος,
γέγονεν ἐπ' ἐσχάτων παιδίον· καὶ οὗτός ἐστιν
ὁ τρόπος τῆς ἀντιδόσεως· ἑκατέρας φύσεως
ἀντιδιδούσης τῇ ἑτέρᾳ τὰ ἴδια· διὰ

τὴν τῆς ὑποστάσεως ταυτότητα· καὶ τὴν
εἰς ἀλλήλας αὐτῶν περιχώρησιν· κατὰ
τοῦτο δυνάμεθα εἰπεῖν περὶ χριστοῦ· οὗτος
ὁ θεὸς ἡμῶν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς
ἀνθρώποις συνανεστράφη· καὶ ὁ ἄνθρωπος οὗτος, ἄκτιστός
ἐστι καὶ ἀπαθὴς καὶ ἀπερίγραπτος:—

## περὶ ἀριθμοῦ τῶν φύσεων:— μα

Ὥσπερ δὲ ἐπὶ τῆς θεότητος μίαν φύσιν
ὁμολογοῦμεν· τρεῖς δὲ ὑποστάσεις κατ'
ἀλήθειαν οὔσας φαμέν· καὶ πάντα μὲν τὰ
φυσικὰ καὶ οὐσιώδη ἁπλᾶ φαμέν· τὴν δὲ
διαφορὰν τῶν ὑποστάσεων ἐν μόναις ταῖς
τρισὶν ἰδιότησι· τῇ ἀναιτίῳ καὶ πατρικῇ· καὶ τῇ
αἰτιατῇ υἱϊκῇ· καὶ τῇ ἐκπορευτῇ ἐπιγινώσκομεν·
ἀνεκφοιτήτους δὲ αὐτὰς καὶ ἀδιαστάτους ἀλλή-
λων καὶ ἡνωμένας. καὶ ἐν ἀλλήλαις ἀσυγχύτως
περιχωρούσας ἐπιστάμεθα· καὶ ἡνωμένας μὲν
ἀσυγχύτως· τρεῖς γάρ εἰσι καὶ ἥνωνται· διαι-
ρουμένας δὲ ἀδιαστάτως. εἰ γὰρ καὶ ἕκαστον καθ'
ἑαυτὴν ὑφέστηκεν· ἤγουν τελεία ἐστὶν ὑπόστασις·

καὶ τὴν οἰκείαν ἰδιότητα ἤτοι τὸν τῆς ὑπάρξεως τρόπον διάφορον κέκτηνται· ἀλλ' ἥνωνται τῇ οὐσίᾳ· καὶ τοῖς φυσικοῖς ἰδιώμασι· καὶ τῷ μὴ ἰστασθαι· μηδὲ ἐκφοιτᾶν τῆς πατρικῆς ὑποστάσεως· καὶ εἷς θεός εἰσί τε καὶ λέγονται· τοῦ αὐτοῦ τρόπου καὶ ἐπὶ τῆς θείας καὶ ἀπορρήτου καὶ πάντα νοῦν καὶ κατάληψιν ὑπερεχούσης οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας τριάδος θεοῦ λόγου· καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δύο φύσεις ὁμολογοῦμεν θείαν τε καὶ ἀνθρωπίνην συνελθούσας ἀλλήλαις καὶ καθ' ὑπόστασιν ἑνωθείσας· μίαν δὲ ὑπόστασιν ἐκ τῶν δύο φύσεων ἀποτελεσθεῖσαν σύνθετον· σώζεσθαι δέ φαμεν τὰς δύο φύσεις, καὶ μετὰ τὴν ἕνωσιν ἐν τῇ μιᾷ συνθέτῳ ὑποστάσει· ἤγουν ἐν τῷ ἑνὶ Χριστῷ, κατὰ ἀλήθειαν εἶναι αὐτάς· καὶ τὰ τούτων φυσικὰ ἰδιώματα· ἡνωμένας μέντοι ἀσυγχύτως καὶ ἀδιαιρέτως διαφερούσας τε καὶ ἀριθμουμένας· καὶ ὥσπερ αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας τριάδος ἀσυγχύτως τε ἥνωνται καὶ ἀδιαιρέτως διῄρηνται Καὶ

ἀριθμοῦνται· καὶ ὁ ἀριθμὸς διαιρέσεως ἢ διαστάσεως·
ἢ ἀλλοτριώσεώς ἐστιν· καὶ διὰ τοῦτο μὲν ἐν αὐταῖς οὐ χωρί-
-ζεται· ἓν αὐτὸ θεὸν ἐπιγινώσκομεν· τοῦ πατρὸς καὶ
τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου, τὸν αὐτὸν τρόπον
καὶ αἱ τοῦ Χριστοῦ φύσεις εἰ καὶ ἥνωνται, ἀλλ᾽ ἀσυγχύτως
ἥνωνται· καὶ εἰ ἐν ἀλλήλαις περιχωροῦσιν, ἀλλὰ
τὴν εἰς ἀλλήλας τροπήν τε καὶ μεταβολήν, οὐ προσ-
ίενται· φυλάττει γὰρ ἑκατέρα φύσις, τὴν ἑαυτῆς
φυσικὴν ἰδιότητα ἀμιγῆ καὶ ἄμικτον· διὸ καὶ ἀριθ-
-μοῦνται· καὶ ὁ ἀριθμός, οὐκ εἰσάγει διαίρεσιν· εἷς
γὰρ ὁ Χριστός· ἐν θεότητι καὶ ἀνθρωπότητι τέλειος·
ὁ γὰρ ἀριθμός, οὐ διαιρέσεως ἢ ἑνώσεως αἴτιος
πέφυκεν, ἀλλὰ τῆς ποσότητος τῶν ἀριθμου-
-μένων σημαντικός· εἴτε ἡνωμένων εἴτε διῃρημένων·
ἡνωμένων μέν, ὅτι πεντήκοντα λίθους ἔχει ὁ
τοῖχος οὗτος· διῃρημένων δέ, ὅτι πεντήκοντα
λίθοι κεῖνται ἐν τῷ πεδίῳ τούτῳ· καὶ ἡνωμένων
μέν, ὅτι δύο φύσεις εἰσὶν ἐν τῷ ἄνθρακι· πυρὸς
λέγω καὶ ξύλου· διῃρημένων δέ, ὅτι ἡ φύσις τοῦ
πυρὸς ἑτέρα ἐστί, καὶ ἡ τοῦ ξύλου ἑτέρα.

ἄλλους τρόπους ἑνοῦνται καὶ διαφέρουσι τῶν αὐτῶν,
καὶ οὐ τοῦ ἀριθμοῦ. ὥσπερ τοίνυν ἀδύνατον
τὰς τρεῖς ὑποστάσεις τῆς θεότητος καίπερ
ἡνωμένας ἀλλήλαις μίαν ὑπόστασιν εἰπεῖν·
διὰ τὸ μὴ σύγχυσιν καὶ ἀφανισμὸν τῆς τῶν
ὑποστάσεων διαφορᾶς ἐργάσασθαι, οὕτω
καὶ τὰς δύο φύσεις τοῦ Χριστοῦ καθ᾽ ὑπόστασιν
ἡνωμένας, ἀδύνατον μίαν φύσιν εἰπεῖν,
ἵνα μὴ ἀφανισμὸν καὶ σύγχυσιν καὶ ἀνυπαρξίαν
τῆς αὐτῶν διαφορᾶς ἐργασώμεθα:–

+ ὅτι πᾶσα ἡ θεία φύσις ἐν μιᾷ τῶν αὐτῆς
ὑποστάσεων, ἡνώθη πάσῃ τῇ ἀνθρωπίνῃ φύσει·

μβ Τὰ κοινὰ καὶ καθολικὰ ∴ καὶ οὐ μέρος μέρος:–
κατηγοροῦνται τῶν ἐν αὐτοῖς ὑποκειμένων
μερικῶν. κοινὸν τοίνυν ἡ οὐσία. μερικὸν δέ,
ἡ ὑπόστασις. μερικὸν δέ, οὐχ ὅτι μέρος τῆς φύσεως
ἔχει, ἀλλὰ μερικὸν τῷ ἀριθμῷ, ὡς ἄτομον.
ἀριθμῷ γὰρ καὶ οὐ φύσει διαφέρειν λέγονται αἱ
ὑποστάσεις. κατηγορεῖται δὲ ἡ οὐσία τῆς
ὑποστάσεως. διότι ἐν ἑκάστῃ τῶν ὁμοειδῶν

ὑποστάσεων, τελεία ἡ οὐσία ἐστί· διὸ οὐ διαφέρουσιν ἀλλήλων αἱ ὑποστάσεις κατὰ οὐσίαν. ἀλλὰ κατὰ τὰ συμβεβηκότα· ἅτινα ἐστὶ τὰ χαρακτηριστικὰ ἰδιώματα· χαρακτηριστικὰ δὲ, ὑποστάσεώς εἰσιν οὐ φύσεως· ἐπεὶ τὴν ὑπόστασιν ὁρίζονται οὐσίαν μετὰ συμβεβηκότων· ὥστε τὸ κοινὸν, μετὰ τοῦ ἰδιάζοντος ἔχει ἡ ὑπόστασις· ἡ οὐσία δὲ καθ᾽ αὑτὴν οὐχ ὑφίσταται· ἀλλ᾽ ἐν ταῖς ὑποστάσεσι θεωρεῖται. πασχούσης τοίνυν μιᾶς τῶν ὑποστάσεων, πᾶσα ἡ οὐσία καθ᾽ ἣν ἡ ὑπόστασις πέπονθεν, πεπονθέναι λέγεται, ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων· οὐ μέντοι γε ἀνάγκη καὶ πάσας τὰς ὁμοειδεῖς ὑποστάσεις συμπάσχειν τῇ πασχούσῃ ὑποστάσει. οὕτω τοίνυν ὁμολογοῦμεν τὴν τῆς θεότητος φύσιν, πᾶσαν ἐν υἱῷ· πᾶσαν ἐν ἁγίῳ πνεύματι· διὸ καὶ τέλειος θεὸς ὁ πατήρ· τέλειος θεὸς ὁ υἱός· τέλειος θεός, τὸ πνεῦμα τὸ ἅγιον· οὕτω καὶ ἐν τῇ ἐνανθρωπήσει τοῦ ἑνὸς τῆς ἁγίας τριάδος θεοῦ λόγου φαμέν· πᾶσαν καὶ τελείαν

τὴν φύσιν τῆς θεότητος, ἢ μία τῶν αὐτῆς
ὑποστάσεων ἡ ἑνωθεῖσα πάσῃ τῇ ἀνθρωπίνῃ φύσει
καὶ οὐ μέρος μέρει· φησὶ γοῦν ὁ θεῖος ἀπόστολος
ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς
θεότητος, σωματικῶς· τουτέστιν ἐν τῇ σαρκὶ
αὐτοῦ· καὶ ὁ τούτου φοιτητὴς ὁ θεοφόρος
καὶ τὰ θεῖα πολὺς Διονύσιος ὁ Ἀρεοπαγίτης.
ὁλικῶς ἡμῖν ἐν μιᾷ τῶν ἑαυτῆς ἐκοινω-
νηκέναι ὑποστάσεων· οὐ μὴν δὲ λέγειν ἀναγκασθη-
σόμεθα· πάσας τὰς ὑποστάσεις τῆς ἁγίας
θεότητος, ἤτοι τὰς τρεῖς, πάσαις ταῖς τῆς
ἀνθρωπότητος ὑποστάσεσι καθ' ὑπόστασιν ἡνῶσθαι·
κατ' οὐδένα γὰρ λόγον κεκοινώνηκε ὁ πατὴρ καὶ τὸ
πνεῦμα τὸ ἅγιον τῇ σαρκώσει τοῦ θεοῦ λόγου, ἀλλ' ἢ
κατ' εὐδοκίαν καὶ βούλησιν· πάσῃ δὲ τῇ ἀνθρωπίνῃ
φύσει φαμὲν ἡνῶσθαι, πᾶσαν τὴν τῆς θεότητος
οὐσίαν· οὐδὲν γὰρ ὧν ἐνεφύτευσε τῇ ἡμετέρᾳ φύσει
ὁ θεὸς λόγος ἀρχῆθεν πλάσας ἡμᾶς ἐλλιπὲς,
ἀλλὰ πάντα ἀνέλαβε· σῶμα, ψυχὴν νοερὰν καὶ
λογικήν, καὶ τὰ τούτων ἰδιώματα· τὸ γὰρ ἑνὸς

τούτων ἀμφοτέρων ζῶον, ὁ χάριτος· ὅλον γὰρ
ὅλος ἀνέλαβέ με· καὶ ὅλος ὅλῳ ἡνώθη, ἵνα ὅλῳ
τὴν σωτηρίαν χαρίσηται· τὸ γὰρ ἀπρόσληπτον, ἀθε-
ράπευτον· ἡνῶσθαι τοίνυν ὦ σαρκὶ διὰ μέσου νοῦ
ὁ λόγος τοῦ θεοῦ· μεσιτεῦον τῇ θεοῦ καθαρότητι
καὶ σαρκὸς παχύτητι· ἡγεμονικὸν μὲν γὰρ ψυχῆς τε
καὶ σαρκός, νοῦς· τῆς ψυχῆς τὸ καθαρώτατον·
ἀλλὰ καὶ νοῦ ὁ θεός· καὶ ὅτε μὲν παραχωρεῖται ὑπὸ
τοῦ κρείττονος, τὴν οἰκείαν ὁ νοῦς ἡγεμονίαν ἐν-
δείκνυται· ἐκνικᾶται δὲ καὶ ἐπέχεται τῷ κρείττονι·
καὶ ταῦτα ὥσπερ εἰ ἀεὶ ἡ θεία βούλεται θέλησις· χω-
ρίον ὁ νοῦς γέγονε τῆς καθ᾽ ὑπόστασιν αὐτῶν ἑ-
νωμένης θεότητος· ὥσπερ δηλαδὴ καὶ ἡ σὰρξ τοῦ
σώματος, ὡς ἡ τῶν αἱρετικῶν ἐναγὴς πλα-
νᾶται οἴησις· οὐ γὰρ ἂν μεσιτεύων λέγοιτο, χω-
ρήσει δὲ ἡ μεδίαμεσον· σωματικῶς τὰ ἄϋλα
κρίνονται· τὸ δὲ θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος· καὶ ὁμο-
ούσιος τῷ πατρὶ καὶ ἡμῖν ὁ Χριστὸς λεχθήσεται, ἡ μορφὴ
τῆς θείας φύσεως, μορφῇ τῆς ἀνθρωπίνης ἐν ἑαυτῷ,
ἡνῶσθαι φύσεως· λέγομεν γὰρ τὴν φύσιν ἡμῶν ἐγηγέρθαι·

N. η·

ἐκ νεκρῶν· καὶ ἀνεληλύθασι καὶ κεκαθίκασιν
ἐν δεξιᾷ ἐκ δεξιῶν τοῦ πατρός· οὐ καθὸ πᾶσαι αἱ τῶν
ἀνθρώπων ὑποστάσεις ἀνέστησαν· καὶ ἐκάθισαν
ἐκ δεξιῶν τοῦ πατρός· ἀλλὰ πᾶσα ἡ φύσις
ἐν τῇ τοῦ Χριστοῦ ὑποστάσει· φησὶ γοῦν ὁ θεῖος
ἀπόστολος· συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς
ἐν τῷ Χριστῷ· καὶ τοῦτο δέ φαμεν, ὅτι ἐκ κοινῶν
οὐσιῶν ἡ ἕνωσις γέγονε· πᾶσα γὰρ οὐσία κοι-
νή ἐστι πασῶν τῶν ὑπ' αὐτὴν περιεχομένων
ὑποστάσεων· καὶ οὐκ ἔστιν εὑρεῖν μερικὴν καὶ ἰ-
διάζουσαν φύσιν ἤτοι οὐσίαν· ἐπεὶ ἀνάγκη
τὰς αὐτὰς ὑποστάσεις, καὶ ὁμοουσίους καὶ ἑτε-
ροουσίους λέγειν· καὶ τὴν ἁγίαν τριάδα καὶ ὁμο-
ούσιον· καὶ ἑτεροούσιον κατὰ τὴν θεότητα
λέγειν· ἡ αὐτὴ τοίνυν φύσις, ἐν ἑκάστῃ τῶν
ὑποστάσεων θεωρεῖται· καὶ ὅτε εἴπωμεν
τὴν φύσιν τοῦ λόγου σεσαρκῶσθαι· κατὰ τοὺς
μακαρίους Ἀθανάσιόν τε καὶ Κύριλλον, τὴν
θεότητα φαμὲν ἡνῶσθαι τῇ σαρκί· διὸ οὐ δυνά-
μεθα εἰπεῖν ἡ φύσις τοῦ λόγου ἔπαθεν·

οὐδὲ τὸ ἔπαθεν ἡ θεότης ἐν αὐτῷ. λέγομεν δὲ τὴν ἀνθρωπίνην φύσιν πεπονθέναι ἐν τῷ χριστῷ· οὐ μὴν πάσας τὰς τῶν ἀνθρώπων ὑποστάσεις ἐμφαίνοντες· ἀλλὰ τὴν ἀνθρωπίνην φύσιν ὁμολογοῦντες πεπονθέναι ἐν τῷ χριστῷ· ὥσπερ φύσιν τοῦ λόγου λέγοντες, αὐτὸν τὸν λόγον σημαίνομεν· ὁ δὲ λόγος καὶ τὸ κοινὸν τῆς οὐσίας κέκτηται· καὶ τὸ ἰδιάζον καὶ τῆς ὑποστάσεως:—

## Περὶ τῆς τοῦ θεοῦ λόγου συνθέτου ὑποστάσεως :— νγ

Προαιώνιον μὲν οὖν ἀχρόνως καὶ ἀϊδίως φαμὲν τὴν θείαν τοῦ θεοῦ λόγου ὑπόστασιν· ἁπλῆν ὑπάρχουσαν καὶ ἀσύνθετον· ἄκτιστον· ἀσώματον· ἀόρατον· ἀναφῆ· ἀπερίγραπτον· πάντα ἔχουσαν· ὅσα ἔχει ὁ πατήρ· ὡς αὐτῷ ὁμοούσιον τῷ τῆς γεννήσεως τρόπῳ· καὶ σχέσει τῆς πατρικῆς ὑποστάσεως διαφέρουσαν· τελείως ἔχουσαν· οὐδέποτε τῆς πατρικῆς ἐκφοιτῶσαν ὑποστάσεως· ἐπ' ἐσχάτων δὲ τῶν χρόνων τῶν πατρικῶν οὐκ ἀποστὰς τῶν κόλπων ὁ λόγος, ἀπεριγράπτως ἐνῳκηκέναι ἐν τῇ γαστρὶ τῆς ἁγίας παρθένου· ἀσπόρως

καὶ ἀπεριγράπτως ὡς οἶδεν αὐτός· καὶ ἐν αὐτῇ
τῇ προαιωνίῳ αὐτοῦ ὑποστάσει, ὑποστήσασθαι
ἑαυτῷ σάρκα ἐκ τῆς ἁγίας παρθένου· ἐν
πᾶσι μὲν οὖν καὶ ὑπὲρ πάντα τὸν νοῦν· καὶ ἐν τῇ γαστρὶ
ὑπάρχων τῆς ἁγίας θεοτόκου· ἀλλ' ἐν αὐτῇ ἐνερ-
γείᾳ σαρκώσεως· σεσάρκωται τοιγαροῦν ἐξ
αὐτῆς προσλαβόμενος τὴν ἀπαρχὴν τοῦ ἡ-
μετέρου φυράματος σάρκα ἐμψυχωμένην
ψυχῇ λογικῇ τε καὶ νοερᾷ· ὥστε αὐτὴν
χρηματίσαι τῇ σαρκὶ ὑπόστασιν, τὴν τοῦ
θεοῦ λόγου ὑπόστασιν καὶ σύνθετον γενέσθαι,
τὴν πρότερον ἁπλῆν οὖσαν τοῦ λόγου ὑπόστασιν·
σύνθετον δὲ ἐκ δύο τελείων φύσεων θεό-
τητός τε καὶ ἀνθρωπότητος· καὶ φέρειν αὐτὴν τῆς
τε θείας τοῦ θεοῦ λόγου υἱότητος, τὸ χαρακτη-
ριστικὸν καὶ ἀφοριστικὸν ἰδίωμα· καθ' ὃ διακέ-
κριται τοῦ πατρὸς καὶ τοῦ πνεύματος· τά τε τῆς σαρ-
κὸς χαρακτηριστικὰ καὶ ἀφοριστικὰ ἰδιώματα,
καθ' ἃ διαφέρει τῆς τε μητρὸς καὶ λοιπῶν ἀνθρώπων·
φέρειν δὲ καὶ τὰ τῆς θείας φύσεως ἰδιώματα,

καθ᾽ αὑτὴν ὡς ταυτῷ, πατρὶ καὶ τῷ πνεύματι· καὶ τῇ αὐτῇ
ἀμιγὴς ὅλου, γνωριζόμεναι, καθ᾽ αὑτὴν ὡς ταυτὸν
τῇ τε μητρὶ καὶ ἡμῖν· ἐπειδὴ δὲ διαφέρει τοῦ τε
πατρὸς καὶ τοῦ πνεύματος· τῆς τε μητρὸς καὶ ἡμῶν, κατὰ
τὸ ὑπάρχειν θεόν τε ὁμοῦ καὶ ἄνθρωπον τὸν αὐτόν·
τοῦτο δὲ τῆς τοῦ Χριστοῦ ὑποστάσεως ἰδιάζον ταῦτα
ἰδιώματα γινώσκομεν· τοιγαροῦν ὁμολογοῦμεν
αὐτοῦ τὰς δύο γεννήσεις θεοῦ, καὶ μητρὸς αὐτὴν τὴν ἀπαθῆ σὺν· καὶ
υἱὸν ἕνα τὸν αὐτὸν ἕνα Χριστόν, ἕνα κύριον· τὸν μόνον
μονογενῆ υἱὸν καὶ λόγον τοῦ θεοῦ· Ἰησοῦν τὸν Χριστὸν ἡμῶν·
δύο αὐτοῦ τὰς γεννήσεις σέβομεν τε· μίαν
τὴν ἐκ πατρὸς προαιώνιον ὑπὲρ αἰτίαν καὶ λόγον·
καὶ χρόνον καὶ φύσιν· καὶ μίαν τὴν ἐπ᾽ ἐσχάτων
δι᾽ ἡμᾶς καὶ καθ᾽ ἡμᾶς καὶ ὑπὲρ ἡμᾶς· δι᾽ ἡμᾶς μέν,
ὅτι διὰ τὴν ἡμετέραν σωτηρίαν· καὶ καθ᾽ ἡμᾶς,
ὅτι γέγονεν ἄνθρωπος ἐκ γυναικός, καὶ χρόνῳ κυή-
σει ὑπὲρ ἡμᾶς, ὅτι οὐκ ἐκ σπορᾶς, ἀλλ᾽ ἐξ
ἁγίου πνεύματος καὶ τῆς ἁγίας παρθένου ὑπὲρ τὸν νόμον
κυήσεως· οὐ θεὸν μόνον αὐτὸν κηρύττοντες
γυμνὸν τῆς καθ᾽ ἡμᾶς ἀνθρωπότητος· οὐδὲ μὴν

ἀνθρώπου μόνον, δηλοῦντες τὸ αὐτοῦ τῆς θεότητος.
οὐχ ἄλλον καὶ ἄλλον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν θεὸν
τε καὶ ἄνθρωπον· θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον· ὅλον
θεὸν, καὶ ὅλον ἄνθρωπον τὸν αὐτόν. ὅλον θεὸν καὶ μετὰ
τῆς σαρκὸς αὐτοῦ· καὶ ὅλον ἄνθρωπον μετὰ τῆς
ὑπερθέου αὐτοῦ θεότητος. διὰ τοῦ εἰπεῖν
τέλειον θεὸν καὶ ἄνθρωπον τέλειον, τὸ πλῆρες καὶ
ἀνελλιπὲς, δηλοῦντες τῶν φύσεων· διὰ
δὲ τοῦ εἰπεῖν ὅλον θεὸν καὶ ὅλον ἄνθρωπον, τὸ μοναδι-
δικὸν καὶ ἄτμητον δεικνύντες τῆς ὑποστάσεως·
καὶ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην ὁμο-
λογοῦμεν· τὴν τῆς σαρκὸς οὐσίαν σημαίνοντες
κατὰ τὸν μακάριον Κύριλλον· καὶ σεσάρ-
κωται τοίνυν ὁ λόγος, καὶ τῆς οἰκείας ἀϋλότη-
τος οὐκ ἐξέστηκε· καὶ ὅλος σεσάρκωται, καὶ ὅλος
ἐστὶν ἀπερίγραπτος· σωματικῶς σμικρύνεται,
καὶ συστέλλεται· καὶ θεϊκῶς ἐστὶν ἀπερίγραπτος·
οὐ συμπαρεκτεινομένης τῆς σαρκὸς αὐτοῦ
τῇ ἀπεριγράπτῳ αὐτοῦ θεότητι· ὅλος
μὲν οὖν ἐστι θεὸς τέλειος· οὐχ ὅλον δὲ θεός·

οὐ γὰρ μόνον θεός, ἀλλὰ καὶ ἄνθρωπος· καὶ ὅλος ἄνθρωπος
τέλειος· οὐχ ὅλον δὲ ἄνθρωπος· οὐ μόνον γὰρ ἄνθρωπος,
ἀλλὰ καὶ θεός· τὸ μὲν γὰρ ὅλον, φύσεώς ἐστι παρα-
στατικόν· τὸ ὅλος δέ, ὑποστάσεως· ἴσμεν δέ
ὡς εἰ καὶ περιχωρεῖν ἐν ἀλλήλαις τὰς τοῦ
κυρίου φύσεις φαμέν, ἀλλ' οἴδαμεν ὡς ἐκ τῆς
θείας φύσεως ἡ περιχώρησις γέγονεν· αὕτη μὲν γὰρ
διὰ πάντων διήκει καθὼς βούλεται
καὶ περιχωρεῖ· δι' αὐτῆς δέ, οὐδέν· καὶ αὕτη
μὲν τῶν οἰκείων αὐχημάτων τῇ σαρκὶ μετα-
δίδωσι· μένουσα αὐτὴ ἀπαθὴς, καὶ τῶν τῆς
σαρκὸς παθῶν ἀμέτοχος· εἰ γὰρ ὁ ἥλιος ἡμῖν τῶν
οἰκείων ἐνεργειῶν μεταδιδοὺς, μένει τῶν
ἡμετέρων ἀμέτοχος, πόσῳ μᾶλλον ὁ τοῦ ἡλίου
ποιητής τε καὶ κύριος:– **Πρὸς τοὺς λέγοντας εἰ**
**ὑπὸ τὸ συνεχὲς ποσὸν ἀνάγονται αἱ τοῦ κυρίου**
**φύσεις, ἢ ὑπὸ τὸ διωρισμένον:–** μθ
Εἰ δέ τις ἐρωτᾷ περὶ τῶν τοῦ κυρίου φύσεων, εἰ
ὑπὸ τὸ συνεχὲς ποσὸν ἀνάγονται, ἢ ὑπὸ
τὸ διωρισμένον, ἐροῦμεν· ὅτι αἱ τοῦ κυρίου

φύσεις οὔτε ἓν σῶμά ἐστιν, οὔτε μία ἐπι-
φάνεια· οὔτε μία γραμμή· οὔτε τόπος·
οὐ χρόνος· ἵν' ὑπὸ τὸ συνεχὲς ἀναχθῶσι πο-
σόν· ταῦτα γὰρ εἰσὶ τὰ συνεχῶς ἀριθμού-
μενα· ἰστέον δὲ ὡς ὁ ἀριθμὸς τῶν διαφερόντων
ἐστὶ καὶ ἀδύνατον ἀριθμεῖσθαι τὰ κατὰ
μηδὲν διαφέροντα· καθὸ δὲ διαφέρουσι,
κατὰ τοῦτο καὶ ἀριθμοῦνται· οἷον ὁ Πέτρος
καὶ ὁ Παῦλος· καθὸ μὲν ἥνωνται, οὐκ ἀριθ-
μοῦνται· τῷ λόγῳ γὰρ τῆς οὐσίας ἑνούμενοι,
δύο φύσεις οὐ δύνανται λέγεσθαι· καθ'
ὑπόστασιν δὲ διαφέροντες, δύο ὑποστάσεις
λέγονται· ὥστε ὁ ἀριθμὸς τῶν διαφερόν-
των ἐστί, καὶ ὃν τρόπον διαφέρει τὰ διαφέ-
ροντα, τούτῳ τῷ τρόπῳ, καὶ ἀριθμεῖται·
ἥνωνται μὲν οὖν αἱ τοῦ Χριστοῦ φύσεις ἀσυγ-
χύτως καθ' ὑπόστασιν· διῄρηνται δὲ
ἀδιαιρέτως τῷ λόγῳ καὶ τρόπῳ τῆς διαφορᾶς·
καὶ ᾧ μὲν τρόπῳ ἥνωνται, οὐκ ἀριθμοῦνται·
οὐ γὰρ καθ' ὑπόστασιν δύο φαμὲν εἶναι τὰς

φύσεις τοῦ Χριστοῦ· ὧν δὲ πρὸς τὴν ἀδιαιρέτως
δηλονότι ἡνωμένων, ἀριθμοῦμεν τὰς δύο οὐσίας ἤτοι τὰς
φύσεις τοῦ Χριστοῦ· λόγῳ καὶ τρόπῳ τῆς διαφο-
ρᾶς· ἥνωνται γὰρ καθ' ὑπόστασιν· καὶ τὴν
ἐν ἀλλήλαις περιχώρησιν ἔχουσαι, ἀσυγ-
χύτως ἥνωνται, τὴν οἰκείαν ἑκάστη φύ-
σις καὶ διαφορὰν διασώζουσαι· τῷ τρόπῳ
τοιγαροῦν τῆς διαφορᾶς καὶ μόνῳ ἀριθμού-
μεναι, ὑπὸ τὸ διωρισμένον ποσὸν ἀναχθή-
σονται· εἷς τοίνυν ἐστὶν ὁ Χριστὸς θεὸς τέλειος,
καὶ ἄνθρωπος τέλειος· ὃν προσκυνοῦμεν σὺν πατρὶ
καὶ πνεύματι, μιᾷ προσκυνήσει μετὰ τῆς ἀχράντου
σαρκὸς αὐτοῦ· οὐκ ἀπροσκύνητον τὴν
σάρκα λέγοντες· προσκυνεῖται γὰρ ἐν τῇ μιᾷ
τοῦ λόγου ὑποστάσει· ἥτις αὐτῇ ὑπόστασις
γέγονεν· οὐ τῇ κτίσει λατρεύοντες· οὐ γὰρ
ὡς ψιλῇ σαρκὶ προσκυνοῦμεν, ἀλλ' ὡς ἑ-
νωμένῃ θεότητι· καὶ ὡς εἰς ἓν πρόσωπον
καὶ μίαν ὑπόστασιν τοῦ θεοῦ λόγου, τῶν δύο
αὐτοῦ ἀναγομένων φύσεων· δέδοικα τοῦ

ἄνθρακος ἅψασθαι διὰ τὸ τῷ ξύλῳ συνημ-
μένον πῦρ· προσκυνῶ τοῦ Χριστοῦ τὸ συναμ-
φότερον, διὰ τὴν τῇ σαρκὶ ἡνωμένην
θεότητα· οὐ τέταρτον προστίθημι πρό-
σωπον· ὁμολογῶ τοῦ Θεοῦ Λόγου καὶ τῆς σαρκὸς
αὐτοῦ· τριὰς γὰρ ἔμεινεν ἡ τριάς, καὶ μετὰ
τὴν τοῦ Λόγου σάρκωσιν:— πρὸς τὸ εἰ οὐκ
ἔστι φύσις ἀνυπόστατος ἀπάντησις:—
με Εἰ γὰρ καὶ μὴ ἔστι φύσις ἀνυπόστατος, ἢ οὐσία
ἀπρόσωπος· ἐν ὑποστάσεσι γὰρ καὶ προσώποις
ἥ τε καὶ φύσις καὶ οὐσία θεωρεῖται· ἀλλ' οὐκ ἀνάγ-
κη τὰς ἀλλήλαις ἑνωθείσας φύσεις καθ'
ὑπόστασιν, ἑκάστην ἰδίαν κεκτῆσθαι ὑπόστασιν·
δύνανται γὰρ εἰς μίαν δραμοῦσαι ὑπόστασιν,
μήτε ἀνυπόστατοι εἶναι, μήτε ἰδιάζουσαν
ἑκάστη ἔχειν ὑπόστασιν· ἀλλὰ μίαν καὶ τὴν
αὐτὴν ὑπόστασιν ἀμφότεραι· ἡ αὐτὴ γὰρ τοῦ
Λόγου ὑπόστασις, ἀμφοτέρων τῶν φύσεων
ὑπόστασις χρηματίσασα· οὔτε ἀνυπόστατον
μίαν αὐτῶν εἶναι συγχωρεῖ, οὔτε μὴν ἑτε-

ρου ὑποστάτοις ἀλλήλων εἶναι περιχώρησιν·
οὐδέποτε μὲν τῆσδε, ποτὲ δὲ ἐκείνης·
ἀλλ' ἀεὶ ἀμφοτέρων ἀδιαιρέτως καὶ ἀχωρί-
στως ὑπάρχει ὑπόστασις· οὐ μεριζομένη
καὶ διαιρουμένη· καὶ μέρος μὲν ἑαυτῆς τῇδε· μέρος
δὲ τῇδε διανέμουσα, ἀλλ' ὅλη πάσα ταύτης· καὶ
πάσα ἐκείνης· ἀμερῶς καὶ ὁλοσχερῶς ὑπάρχουσα·
οὐ γὰρ ἰδιοσυστάτως ὑπέστη ἡ τοῦ θεοῦ λόγου
σάρξ· οὐδὲ ἑτέρα ὑπόστασις γέγονε παρὰ τὴν
τοῦ θεοῦ λόγου ὑπόστασιν· ἀλλ' ἐν αὐτῇ ὑποστᾶσα,
ἐνυπόστατος μᾶλλον, καὶ οὐ καθ' ἑαυτὴν ἰδιοσύστατος
ὑπόστασις γέγονε· διὸ οὐδὲ ἀνυπόστατός ἐστιν· οὐ-
δὲ ἑτέραν τῇ τριάδι παρεισφέρει ὑπόστασιν: —

## περὶ τοῦ τρισαγίου: — νς

Ἐντεῦθεν καὶ τὴν ἐν τῷ τρισαγίῳ προσθήκην,
ὑπὸ τοῦ ματαιόφρονος πέτρου τοῦ κναφέως γεγενημένην βλάσφημον ὁριζόμεθα,
ὡς τετάρτον παρεισάγουσαν πρόσωπον,
καὶ ἀνὰ μέρος τιθεῖσαν τὸν τοῦ θεοῦ υἱόν· τὴν
τοῦ πατρὸς ἐνυπόστατον δύναμιν· καὶ ἀνὰ μέρος

τὸν ἐσταυρωμένον ὡς ἄλλον ὄντα παρὰ τὸν
ἰσχυρόν· ἢ παθητὴν τὴν ἁγίαν τριάδα
δοξάζουσαν· καὶ συσταυροῦσαν τῷ υἱῷ τὸν πατέρα,
καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἄπαγε ταύτην τὴν βλάσ-
φημον καὶ παρέγγραπτον φλυαρίαν· ἡμεῖς γὰρ τὸ
ἅγιος ὁ θεὸς ἐπὶ τοῦ πατρὸς ἐκλαμβάνομεν·
οὐ καθ' αὐτὸν μόνον τὸ τῆς θεότητος ἀφορίζοντες
ὄνομα· ἀλλὰ καὶ τὸν υἱὸν θεὸν εἰδότες καὶ τὸ πνεῦ-
μα τὸ ἅγιον· καὶ τὸ ἅγιος ἰσχυρὸς ἐπὶ τοῦ υἱοῦ τί-
θεμεν· οὐκ ἀπαμφιαννύντες τῆς ἰσχύος
τὸν πατέρα καὶ τὸ πνεῦμα τὸ ἅγιον· καὶ τὸ ἅγιος ἀθά-
νατος, ἐπὶ τοῦ ἁγίου πνεύματος τάττομεν· οὐ χωρίζοντες
τῆς ἀθανασίας τὸν θεὸν τὸν πατέρα καὶ τὸν υἱόν·
ἀλλ' ἐφ' ἑκάστης τῶν ὑποστάσεων πάσας τὰς
θεωνυμίας ἁπλῶς καὶ ἀπολύτως ἐκλαμβά-
νοντες· καὶ τὸν θεῖον ἀπόστολον ἐκμιμούμενοι
φάσκοντα· ἡμῖν δὲ εἷς θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ
πάντα· καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς
δι' οὗ τὰ πάντα· καὶ ἡμεῖς δι' αὐτοῦ· οὐ μὴν
ἀλλὰ καὶ τὸν θεολόγον Γρηγόριον· ὧδέ πη λέγοντα·

ἡμῖν δὲ εἷς θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ πάντα· καὶ εἷς κύριος ἰησοῦς χριστὸς δι' οὗ τὰ πάντα· καὶ ἓν πνεῦμα ἅγιον ἐν ᾧ τὰ πάντα. τὸ ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ, οὐ φύσεις τέμνοντα· οὐδὲ γὰρ ἂν μετέπιπτον αἱ προθέσεις· ἢ αἱ τάξεις τῶν ὀνομάτων· ἀλλὰ χαρακτηρίζοντα μιᾶς καὶ ἀσυγχύτου φύσεως, ἰδιότητας. καὶ τοῦτο δῆλον, ἐξ ὧν εἰς ἓν συνάγονται πάλιν· εἴ τῳ μὴ παρέργως ἐκεῖνο ἀναγινώσκεται παρὰ τῷ ἀποστόλῳ. τὸ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν. ὅτι γὰρ οὐκ εἰς τὸν υἱὸν μόνον λέγεται τὸ τρισάγιον· ἀλλ' εἰς τὴν ἁγίαν τριάδα, μάρτυς ὁ θεῖος καὶ ἱερὸς ἀθανάσιος· βασίλειός τε καὶ γρηγόριος· καὶ πᾶς ὁ τῶν θεοφόρων πατέρων χορός· ὅτι διὰ μὲν τῆς τρισσῆς ἁγιότητος, τὰς τρεῖς τῆς ὑπερουσίου θεαρχίας ὑποστάσεις τὰ ἅγια σεραφὶμ ὑπεμφαίνουσι· διὰ δὲ τῆς μιᾶς κυριότητος τὴν μίαν τῆς θεαρχικῆς τριάδος οὐσίαν τε καὶ βασιλείαν

γνωρίζουσι· φησὶ γοῦν ὁ θεολόγος Γρηγόριος·
οὕτω μὲν τὰ ἅγια τῶν ἁγίων ἃ καὶ τοῖς
σεραφὶμ συγκαλύπτεται· καὶ δοξάζεται ὑπὸ
τρισὶν ἁγιασμοῖς εἰς μίαν συνιόντων κυριό-
τητα καὶ θεότητα· ὃ καὶ ἄλλῳ τινὶ τῶν πρὸ ἡμῶν
πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα·
φησὶ μὲν οὖν οἱ τὴν ἐκκλησιαστικὴν ἱστορίαν
συντάξαντες· λιτανεύοντος τοῦ ἐν κων-
σταντινουπόλει λαοῦ διά τινα θεήλατον
ἀπειλὴν ἐπὶ Πρόκλου τοῦ ἀρχιεπισκόπου
γεγενημένην, ἀφαρπαγῆναι παιδίον τοῦ
λαοῦ, καὶ οὕτω μυηθῆναι ὑπὸ ἀγγελικῆς τῆς
διδασκαλίας, τὸν τρισάγιον ὕμνον· ἅγιος
ὁ θεός· ἅγιος ἰσχυρός· ἅγιος ἀθάνατος ἐλέ-
ησον ἡμᾶς· καὶ αὖθις ἐπιστραφέντος τοῦ
παιδίου καὶ τὸ μυηθὲν ἀπαγγείλαντος· ᾆσαι
τὸν ὕμνον ἅπαν τὸ πλῆθος, καὶ οὕτω κοπάσαι
τὴν ἀπειλήν· καὶ ἐν τῇ ἁγίᾳ δὲ καὶ μεγάλῃ οἰκου-
μενικῇ τετάρτῃ συνόδῳ τῇ ἐν Χαλκηδόνι
φημί, οὕτως ὑμνηθῆναι τὴν ἁγίαν τριάδα, ὁ

τρισάγιος ὕμνος παραδέδοται· οὕτως τὸ
τοῖς πεπλανημένοις παρὰ τῆς αὐτῆς ἁγί-
ας συνόδου ἐμφέρεται· γέλως οὖν οὕτως καὶ
παίγνιον, τὴν διὰ ἀγγέλων ὑμνηθεῖσαν· καὶ τῇ,
τῆς ἐπαγωγῆς λέξει πιστωθεῖσαν· καὶ τῇ το-
σούτων ἀξίων πατέρων συνόδῳ κυρωθεῖσαν·
καὶ πρότερον ὑπὸ τῶν σεραφὶμ ὑμνηθεῖσαν
τρισάγιον ᾠδήν· ὡς τῆς τρισυποστάτου θεό-
τητος ἐμφαντικήν· τῇ τοῦ κναφέως, οἷον
καταπατηθῆναι ἀλόγῳ οἰήσει· καὶ δῆθεν διορ-
θωθῆναι ὡς τοὺς σεραφὶμ ὑπερμάλλοντος·
ἀλλ' ὢ τῆς αὐθαδείας, ἵνα μὴ λέγω τῆς
ἀνοίας· ἡμεῖς δὲ οὕτω φαμέν, καὶ δαίμονες
διαρρήγνυνται· ἅγιος ὁ θεός· ἅγιος ἰσχυρός·
ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς:—

περὶ τῆς ἐν εἴδει καὶ τῆς ἐν ἀτόμῳ θεωρου-
μένης φύσεως καὶ σαρκώσεως· καὶ πῶς ἐκληπτέον τὴν
μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην:— νξ

Ἡ φύσις ἢ ψιλῇ θεωρίᾳ κατανοεῖται, καθ'
αὑτὴν γὰρ οὐχ ὑφέστηκεν, ἢ κοινῶς ἐν πάσαις

ταῖς δὲ ὁμοειδέσιν ὑποστάσεσι ταύταις συνάπτουσα· καὶ λέγεται ἡ ἐν τῷ εἴδει θεωρουμένη φύσις· ἢ ὁλικῶς ἡ αὐτὴ μετὰ προσλήψεως συμβεβηκότων ἐν μιᾷ ὑποστάσει· καὶ λέγεται ἐν ἀτόμῳ θεωρουμένη φύσις· ὁ οὖν θεὸς λόγος σαρκωθείς· οὔτε τὴν ἐν ψιλῇ θεωρίᾳ κατανοουμένην φύσιν ἀνέλαβεν· οὐ γὰρ σάρκωσις τοῦτο· ἀλλ' ἀπάτη καὶ πλάσμα σαρκώσεως· οὔτε τὴν ἐν τῷ εἴδει θεωρουμένην· οὐ γὰρ πάσας ὑποστάσεις ἀνέλαβεν· ἀλλὰ τὴν ἐν ἀτόμῳ τὴν αὐτὴν οὖσαν τῷ εἴδει· ἀπαρχὴν γὰρ ἀνέλαβε τοῦ ἡμετέρου φυράματος· οὐ καθ' αὐτὴν ὑποστᾶσαν καὶ ἄτομον χρηματίσασαν πρότερον· καὶ οὕτως ὑπ' αὐτοῦ προσληφθεῖσαν· ἀλλ' ἐν τῇ αὐτοῦ ὑποστάσει ὑπάρξασαν· αὐτὴ γὰρ ἡ ὑπόστασις τοῦ θεοῦ λόγου ἐγένετο τῇ σαρκὶ ὑπόστασις· καὶ κατὰ τοῦτο ὁ λόγος σὰρξ ἐγένετο, ἀτρέπτως δηλαδή· καὶ ἡ σὰρξ λόγος ἀμεταβλήτως· καὶ ὁ θεὸς ἄνθρωπος· θεὸς γὰρ ὁ λόγος· καὶ ὁ ἄνθρωπος θεὸς διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν· ταυτὸν οὖν ἐστιν

εἰπεῖν φύσιν τοῦ λόγου καὶ τὴν ἐν αὐτῷ μίαν φύσιν·
οὔτε τὸ ἄτομον ἤγουν τὴν ὑπόστασιν χωρὶς
καὶ μόνως δηλοῖ· οὐδὲ τὸ κοινὸν τῶν ὑποστάσεων·
ἀλλὰ τὴν κοινὴν φύσιν ἐν μιᾷ τῶν ὑποστάσεων
θεωρουμένην καὶ ἐξεταζομένην· ἄλλο μὲν γὰρ ὅ φησιν
ἕνωσις καὶ ἕτερον σάρκωσις· ἡ μὲν γὰρ ἕνωσις
μόνην δηλοῖ τὴν συνάφειαν· πρὸς τί δὲ γέγονεν
ἡ συνάφεια, οὐκέτι· ἡ δὲ σάρκωσις, ταυτὸν
δὲ εἰπεῖν καὶ ἐνανθρώπησις· τὴν πρὸς σάρκα ἤτοι
πρὸς ἄνθρωπον συνάφειαν δηλοῖ· καθάπερ καὶ ἡ πύρω-
σις τὴν πρὸς τὸ πῦρ ἕνωσιν· αὐτὸς μὲν οὖν ὁ μα-
κάριος Κύριλλος ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ
ἐπιστολῇ ἑρμηνεύων τὸ μίαν φύσιν τοῦ θεοῦ
λόγου σεσαρκωμένην οὕτω φησί· εἰ μὲν γὰρ μίαν
εἰπόντες τοῦ λόγου φύσιν, σεσιγήκαμεν· οὐκ ἐπε-
νεγκόντες τὸ σεσαρκωμένην· ἀλλ' οἷον ἔξω τι-
θέντες τὴν οἰκονομίαν, ἦν αὐτοῖς τάχα που καὶ
οὐκ ἀπίθανος ὁ λόγος προσποιουμένοις ἐρωτᾶν·
ἡ μία φύσις τὸ ὅλον, ποῦ τὸ τέλειον ἐν ἀνθρώποις·
ἢ πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία· ἐπειδὴ

δὲ ἐν ἡμῖν ἅμα ὅτι τὸ τέλειον τῆς ἐν τῇ καθ' ἡ-
-μᾶς οὐσίας ἡ δήλωσίς ἐστι κεκοινωνηκέναι αὐτῆς· διὰ
τοῦ λέγειν σεσαρκωμένην· παυσάσθωσαν
καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες.
ἐνταῦθα μὲν οὖν τὴν φύσιν τοῦ λόγου ἐπὶ
τῆς θεότητος, τὴν φύσιν παρειλήφαμεν· οὐκ ἄτοπον
ἦν ἐνδέχεται διὰ τοῦ σεσαρκωμένην τοῦτο εἰπεῖν·
μίαν γὰρ ὑπόστασιν ἀπολύτως λέγομεν, οὐ
σφαλλόμεθα· ὁμοίως δὲ καὶ λέγοντες τὸ σῶ-
-ζαμεν τι, ἐπὶ τῆς θεότητος, τὸ ἐκ τῶν ὁ κοινῶν· οὐχ
ἁμαρτία τῆς ὑποστάσεως· ἐν δὲ τῇ πρὸς τὰς
θεοδωρίτου μέμψεις τοῦ δευτέρου ἀνα-
-θεματισμοῦ, οὕτω φησὶν ὁ μακάριος Κύριλλος·
ἡ φύσις τοῦ λόγου ἤγουν ὑπόστασις· ὅ ἐστιν αὐτὸς
ὁ λόγος. ὥστε τὸ εἰπεῖν φύσιν τοῦ λόγου, οὔτε
τὴν ὑπόστασιν μόνην σημαίνει· οὔτε τὸ κοινὸν
τῶν ὑποστάσεων· ἀλλὰ τὴν κοινὴν φύσιν ἐν τῇ
τοῦ λόγου ὑποστάσει ὁλικῶς θεωρουμένην·
ὅτι μὲν οὖν ἡ φύσις τοῦ λόγου ἐσαρκώθη
ἤτοι ἡνώθη σαρκί, εἴρηται· φύσιν δὲ τοῦ

λόγου παθόντος σαρκί, οὐδέποτε καὶ νῦν ἀ-
κηκόαμεν· Χριστοῦ δὲ παθόντος σαρκὶ ἐδιδάχθημεν·
ὥσπερ οὖν τὴν ὑπόστασιν δηλοῖ τὸ εἰπεῖν Θεὸν καὶ
τοῦ λόγου· λείπεται τοίνυν εἰπεῖν ὅτι τὸ σε-
σαρκῶσθαι μέν, ἡνῶσθαι ἐστὶ σαρκί· τὸ δὲ σάρκα
γενέσθαι τὸν λόγον, αὐτὴν τὴν τοῦ λόγου ὑπόστασιν
ἀτρέπτως γενέσθαι τῆς σαρκὸς ὑπόστασιν· καὶ ὅτι
μὲν ὁ Θεὸς ἄνθρωπος γέγονε, καὶ ὁ ἄνθρωπος Θεός, εἴρηται· Θεὸς
γὰρ ὁ λόγος· γέγονε δὲ ἀμεταβλήτως· ὅτι δὲ ἡ θε-
ότης ἄνθρωπος γέγονεν, ἢ ἐσαρκώθη, ἢ ἐνηνθρώ-
πησεν, οὐδαμῶς ἀκηκόαμεν· ὅτι δὲ ἡ θεότης
ἡνώθη τῇ ἀνθρωπότητι ἐν μιᾷ τῶν αὐτῆς ὑπο-
στάσεων μεμαθήκαμεν· καὶ ὅτι ὁ Θεὸς μορφοῦται,
ἤγουν οὐσιοῦται τὸ ἀλλότριον, ἤγουν τὸ καθ' ἡμᾶς
εἴρηται· ἐφ' ἑκάστης γὰρ τῶν ὑποστάσεων τὸ Θεὸς
ὄνομα τάττεται· θεότητα δὲ ἐπὶ ὑποστάσεως
εἰπεῖν οὐ δυνάμεθα· θεότητα γὰρ τὸν πατέρα
μόνον, ἢ τὸν υἱὸν μόνον, ἢ μόνον τὸ πνεῦμα τὸ ἅγιον,
οὐκ ἀκηκόαμεν· θεότης μὲν γάρ, τὴν φύσιν δηλοῖ·
τὸ δὲ πατήρ, τὴν ὑπόστασιν· ὥσπερ καὶ ἀνθρωπότης

τὴν θεότητα· ποτὲ πρὸς δὲ τὴν ὑπόστασιν· θεὸς δὲ
καὶ τὸ κοινὸν τῆς θεότητος σημαίνει· καὶ ἐφ' ἑκάστης
τῶν ὑποστάσεων τάττεται παρωνύμως
ὥσπερ καὶ ἄνθρωπος· θεὸς γάρ ἐστιν ὁ θείαν ἔχων θεότητα·
καὶ ὁ ἄνθρωπος, ἀνθρωπίνην· ἐπὶ πᾶσι τούτοις ἰστέον
ὡς ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον κατ' οὐδένα λόγον
τῇ σαρκώσει τοῦ λόγου κεκοινώνηκεν· εἰ μὴ
κατὰ τὰς θεοσημείας καὶ κατ' εὐδοκίαν καὶ
βούλησιν:— ὅτι θεοτόκος ἡ ἁγία παρθένος:—
μη̄ Θεοτόκον δὲ κυρίως καὶ ἀληθῶς τὴν ἁγίαν παρθένον
κηρύττομεν· ὡς γὰρ θεὸς ἀληθὴς ὁ ἐξ αὐτῆς
γεννηθείς· ἀληθὴς θεοτόκος ἡ τὸν ἀληθινὸν θεὸν
ἐξ αὐτῆς σεσαρκωμένον γεννήσασα· θεὸν
γάρ φαμεν ἐξ αὐτῆς γεγεννῆσθαι· οὐχ ὡς τῆς
θεότητος τοῦ λόγου ἀρχὴν τοῦ εἶναι λαβούσης
ἐξ αὐτῆς· ἀλλ' ὡς αὐτοῦ τοῦ θεοῦ λόγου τοῦ πρὸ
αἰώνων ἀχρόνως ἐκ τοῦ πατρὸς γεννηθέντος
καὶ ἀνάρχως καὶ ἀϊδίως ὑπάρχοντος σὺν τῷ
πατρὶ καὶ τῷ πνεύματι ἐπ' ἐσχάτων τῶν ἡμερῶν
διὰ τὴν ἡμετέραν σωτηρίαν· ἐν τῇ γαστρὶ αὐτῆς

ἐνοικήσαντος· καὶ ἐξ αὐτῆς ἀμέσως ἀλήπτως
σαρκωθέντος καὶ γεννηθέντος· οὐ γὰρ ἄνθρωπον ψιλὸν
ἐγέννησε, ἀλλὰ θεὸν ἀληθινόν· οὐ γυμνόν, ἀλλὰ
σεσαρκωμένον· οὐκ οὐρανόθεν τὸ σῶμα κατα-
γαγόντα· καὶ ὡς διὰ σωλῆνος δι' αὐτῆς παρε-
ληλυθότα· ἀλλ' ἐξ αὐτῆς ὁμοούσιον ἡμῖν
σάρκα ἀναλαβόντα, καὶ ἐν ἑαυτῷ ὑποστήσαντα.
εἰ γὰρ οὐρανόθεν τὸ σῶμα κεκόμισται. καὶ οὐκ ἐκ
τῆς καθ' ἡμᾶς φύσεως εἴληπται, τίς
χρεία τῆς ἐνανθρωπήσεως· ἡ γὰρ ἐνανθρώπησις τοῦ
θεοῦ λόγου διὰ τοῦτο γέγονεν, ἵνα ἡ ἁμαρτήσασα
καὶ πεσοῦσα καὶ φθαρεῖσα φύσις, νικήσῃ τὸν
ἀπατήσαντα τύραννον· καὶ οὕτω τῆς φθο-
ρᾶς ἐλευθερωθῇ καθὼς φησὶν ὁ θεῖος ἀπόστολος·
ἐπειδὴ δι' ἀνθρώπου ὁ θάνατος καὶ δι' ἀνθρώπου ἀνάστασις
νεκρῶν· καὶ τὸ πρῶτον ἀληθῶς καὶ τὸ δεύτερον·
εἰ δὲ λέγει ὁ πρῶτος ἀδὰμ ἐκ γῆς χοϊκός· ὁ δεύ-
τερος ἀδὰμ ὁ κύριος ἐξ οὐρανοῦ· ἀλλὰ δηλῶν
ὡς οὐ ψιλὸς ἄνθρωπός ἐστιν· ἰδοὺ γὰρ καὶ ἀδὰμ αὐτὸν
ὠνόμασε καὶ χριστὸν τὸν ἐξ ἀμφοτέρων σημαίνων.

O. m.

ἀδὰμ τουτέστι βροτὸν μηνύει τὸν γηγενῆ· γηγενὴς δὲ
δηλονότι ὡς ἐστὶν ἡ τοῦ ἀνθρώπου φύσις, ἡ ἐκ χοὸς
πλασθεῖσα· Χριστὸς δὲ τῆς θείας οὐσίας ἐστὶ
παραστατικόν· πάλιν δὲ ὅταν ὁ ἀπόστολος λέγει ἐξα-
πέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γεννώμενον ἐκ
γυναικός· οὐκ εἶπε διὰ γυναικὸς, ἀλλ' ἐκ γυναι-
κός· ἐσήμανεν οὖν ὁ θεῖος ἀπόστολος ὡς αὐτός ἐστιν
ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ καὶ θεός· ὁ ἐκ τῆς παρθένου
γεννηθείς· γεννηθεὶς δὲ σωματικῶς καθὸ
γέγονεν ἄνθρωπος· οὐ προδιαπλασθέντι ἀνθρώπῳ ἐν-
οικήσας ὡς ἐν προφήτῃ· ἀλλ' αὐτὸς οὐσιωδῶς
καὶ ἀληθῶς γενόμενος ἄνθρωπος· ἤτοι ἐν τῇ ὑποστάσει
αὐτοῦ ἐμψυχωμένην σάρκα· ψυχῇ λογικῇ τε καὶ
νοερᾷ ὑποστήσας· αὐτὸς γέγονεν αὐτῇ ὑπόστασις·
τοῦτο γὰρ σημαίνει τὸ γεννώμενον ἐκ γυναικός·
πῶς γὰρ ἂν αὐτὸς ὁ τοῦ θεοῦ λόγος ὑπὸ νόμον γέ-
γονεν, εἰ μὴ ἄνθρωπος ἡμῖν ὁμοούσιος, γέγονεν· ὅθεν
δικαίως καὶ ἀληθῶς θεοτόκον τὴν ἁγίαν μαρίαν
ὀνομάζομεν· τοῦτο γὰρ τὸ ὄνομα ἅπαν τὸ
μυστήριον τῆς οἰκονομίας συνίστησιν· ε

τὸ θεοτόκος ἡ γεννήσασα, πάντως θεὸς ὁ ἐξ αὐτῆς
γεννηθείς, πάντως δὲ καὶ ἄνθρωπος· πῶς τὸ ἀνθρώπου
ἐκ γυναικὸς γεννηθείη θεὸς ὁ προαιώνιον ἔχων
τὴν ὕπαρξιν, καὶ νῦν ἄνθρωπος γέγονεν· ὁ τὸ υἱὸς ἀνθρώπου,
ἄνθρωπος δηλονότι· καὶ δὲ αὐτὸς ὁ γεννηθεὶς ἐκ γυ-
ναικὸς θεὸς ἐστίν, καὶ θεὸς ἐστὶ δηλονότι ἐκ θεοῦ πρὸς
γεννηθεὶς κατὰ τὴν θείαν καὶ ἄναρχον οὐσίαν·
καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκ τῆς παρθένου
τεχθεὶς κατὰ τὴν ἡμετέραν καὶ ὑπὸ χρόνον
οὐσίαν, ἤτοι τὴν ἀνθρωπίνην· τοῦτο δὲ μίαν ὑπό-
στασιν καὶ δύο φύσεις, καὶ δύο γεννήσεις σημαίνει
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· Χριστοτόκον δέ, οὐ διαφέρει
φαμέν, τὴν ἁγίαν παρθένον· διότι ἐπ' ἀναιρέσει
τῆς θεοτόκου φωνῆς ὁ μιαρὸς καὶ βδελυρὸς καὶ ἰουδαι-
όφρων Νεστόριος, τὸ σκεῦος τῆς ἀτιμίας.
καὶ ἐπὶ ἀτιμίᾳ τῆς μόνης οὕτως τετιμη-
μένης ὑπὲρ πᾶσαν κτίσιν θεοτόκου, καθ' αὐτὸς
διαρρήγνυται, σὺν τῷ πατρὶ αὐτοῦ τῷ σατανᾷ,
ἐξηύρατο ὡς ἐπηρεαζομένην· Χριστὸς γὰρ καὶ Δαυὶδ
ὁ βασιλεύς· καὶ Ἀαρὼν ὁ ἀρχιερεύς· ταῦτα

τὸ τοῦ χριστοῦ ὄνομα βασιλεία τε καὶ ἱερω-
σύνη. καὶ πᾶς ὁ θεοφόρος ἅγιος χριστὸς δύ-
ναται λέγεσθαι, ἀλλ' οὐ θεὸς φύσει· ὡς καὶ
γρηγόριος ὁ θεηγόρος τὸν ἐκ παρθένου τε-
χθέντα θεοφόρον εἰπεῖν ἐφρίξατο· ἡμᾶς
δὲ μὴ γνοίη τὸ θεοφόρον αὐτὸν εἰπεῖν ἢ νοῆσαι·
ἀλλὰ θεὸν σεσαρκωμένον· αὐτὸς γὰρ ὁ λόγος σὰρξ
ἐγένετο· κυηθεὶς μὲν ἐκ τῆς παρθένου· προ-
ελθὼν δὲ θεὸς μετὰ τῆς προσλήψεως· ἤδη
καὶ αὐτῆς ὑπ' αὐτοῦ θεωθείσης ἅμα τῇ εἰς
τὸ εἶναι ταύτης παραγωγῇ· ὡς ὁμοῦ γενέσθαι
τὰ τρία. τὴν πρόσληψιν· τὴν ὕπαρξιν· τὴν
θέωσιν αὐτῆς ὑπὸ τοῦ λόγου· καὶ οὕτω νο-
εῖσθαι καὶ λέγεσθαι θεοτόκον τὴν ἁγίαν παρθένον· οὐ μόνον
διὰ τὴν φύσιν τοῦ λόγου· ἀλλὰ καὶ διὰ τὴν θέ-
ωσιν τοῦ ἀνθρωπίνου· ὧν ἅμα ἡ σύλληψις καὶ ἡ
ὕπαρξις τεθαυματούργηται· ἡ μὲν σύλληψις
τοῦ λόγου· τῆς δὲ σαρκὸς ἡ ἐν αὐτῷ τῷ λόγῳ
ὕπαρξις αὐτῆς τῆς θεομήτορος ὑπερφυῶς
χορηγούσης τὸ πλασθῆναι τῷ πλάστῃ· καὶ

τὸ ἀμφότερον τὴν ἀληθινὴν τῷ θεῷ καὶ ποιητῇ τῶν πάντων· θεὸς ὢν τὸ πρόσλημμα σωζούσης τῆς γνώσεως καὶ γνωσθὲν τοῖς αὐτοῦ οἷα καὶ ἡμῶν αὐτοῦ· οὐ τὸ θεῖον λέγω μόνον, ἀλλὰ καὶ τὸ ἀνθρώπινον τοῦ Χριστοῦ· τὸ ὑπὲρ ἡμᾶς καὶ καθ᾽ ἡμᾶς· οὔτε γὰρ γινόμενον πρότερον καθ᾽ ἡμᾶς ὕστερον γέγονεν ὑπὲρ ἡμᾶς· ἀλλ᾽ ἀεὶ ἐκ πρώτης ὑπάρξεως ἀμφότερα ὑπῆρξε, διὰ τὸ ἐξ ἄκρας συλλήψεως ἐν αὐτῷ τῷ λόγῳ τὴν ὕπαρξιν ἐσχηκέναι· ἀνθρώπινον μὲν οὖν ἐστι κατὰ τὴν οἰκείαν φύσιν· θεοῦ δὲ καὶ θεῖον ὑπερφυῶς· ἔτι δὲ καὶ τῆς ἐμψύχου σαρκὸς τὰ ἰδιώματα ἔσχε· κατεδέξατο γὰρ αὐτὰ ὁ λόγος οἰκονομίας λόγῳ φυσικῆς κινήσεως τάξει κατὰ ἀλήθειαν φυσικῶς γινόμενα: – περὶ τῶν ἰδιωμάτων τῶν δύο φύσεων: – νθ

Τέλειον δὲ θεὸν ὁμολογοῦντες τὸν αὐτὸν Χριστὸν καὶ ἄνθρωπον Ἰησοῦν Χριστόν, καὶ τέλειον ἄνθρωπον, φαμὲν τὸν αὐτὸν πάντα ἔχειν ὅσα ὁ πατήρ· πλὴν ἀγεννησίας· καὶ πάντα ἔχειν ὅσα ὁ Ἀδάμ, ὁ πρὸ τοῦ δηλαδὴ μόνης τῆς ἁμαρτίας· ἅπερ ἐστὶ

σῶμα ἔμψυχον, λογικόν τε καὶ νοερόν· ἔχειν
δὲ καταλλήλως ταῖς δύο φύσεσι, διπλᾶ
καὶ τὰ τῶν δύο φύσεων φυσικά· δύο θελήσεις
φυσικάς· τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην· καὶ ἐνερ-
γείας δύο φυσικάς θείαν τε καὶ ἀνθρωπίνην· καὶ
αὐτεξούσια δύο φυσικά· θεῖόν τε καὶ ἀνθρώπινον·
καὶ σοφίαν καὶ γνῶσιν θείαν τε καὶ ἀνθρωπίνην· ὁμο-
ούσιος ὢν τῷ θεῷ καὶ πατρί, αὐτεξουσίως θέλει
καὶ ἐνεργεῖ ὡς θεός· ὁμοούσιος δὲ ὢν καὶ ἡμῖν, αὐ-
τεξουσίως θέλει καὶ ἐνεργεῖ ὡς ἄνθρωπος ὁ αὐτός·
αὐτοῦ γὰρ τὰ θαύματα, αὐτοῦ καὶ τὰ πα-
θήματα: — Περὶ θελημάτων καὶ αὐτεξουσίων
ιδʹ Ἐπειδὴ μὲν οὖν δύο φύσεις — τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ: —
τοῦ Χριστοῦ, δύο αὐτοῦ καὶ τὰς φυσικὰς θελή-
ματα καὶ τὰς φυσικὰς ἐνεργείας, φαμέν·
ἐπειδὴ δὲ μία τῶν δύο αὐτοῦ φύσεων
ἡ ὑπόστασις, ἕνα καὶ τὸν αὐτόν φαμεν θέλοντά
τε καὶ ἐνεργοῦντα φυσικῶς κατ' ἀμφοτέρας
τὰς φύσεις· ἐξ ὧν καὶ ἐν αἷς καὶ ἅπερ ἐστὶ Χριστὸς
ὁ θεὸς ἡμῶν· θέλειν δὲ καὶ ἐνεργεῖν οὐ διῃ-

-ρημένως· ἀλλὰ ἡ γνωμική· θέλει γὰρ καὶ ἐνερ-
-γεῖ ἑκατέρα μορφὴ, μετὰ τῆς θατέρου
κοινωνίας· ὧν γὰρ ἡ οὐσία ἡ αὐτὴ, τούτων
καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια ἡ αὐτή· ὧν δὲ διά-
-φορος ἡ οὐσία, τούτων διάφορος καὶ ἡ θέλησις,
καὶ ἡ ἐνέργεια· καὶ τὸ ἀνάπαλιν· ὧν ἡ θέλησις
καὶ ἡ ἐνέργεια ἡ αὐτὴ, τούτων καὶ ἡ οὐσία ἡ αὐτή·
ὧν δὲ διάφορος ἡ θέλησις καὶ ἡ ἐνέργεια, τούτων
καὶ ἡ οὐσία διάφορος· διὸ δὴ ἐπὶ μὲν πατρὸς καὶ
υἱοῦ καὶ ἁγίου πνεύματος ἐκ τῆς ταυτότητος τῆς
τε ἐνεργείας καὶ τοῦ θελήματος, τὴν ταυτό-
-τητα τῆς φύσεως ἐπιγινώσκομεν· ἐπὶ
δὲ τῆς θείας οἰκονομίας ἐκ τῆς διαφορᾶς
τῶν ἐνεργειῶν καὶ τῶν θελημάτων καὶ τὴν τῶν
φύσεων διαφορὰν ἐπιγνόντες συνομολογοῦμεν.
καὶ τὸ τῶν θελημάτων καὶ ἐνεργειῶν διάφορον.
ὥσπερ γὰρ τῶν τοῦ αὐτοῦ Χριστοῦ φύσεων ὁ
ἀριθμὸς εὐσεβῶς νοούμενός τε καὶ λεγόμενος, οὐ
διαιρεῖ τὸν ἕνα Χριστὸν, ἀλλὰ σωζομένην καὶ ἐν τῇ
ἑνώσει παρίστησι τῶν φύσεων τὴν διαφοράν,

οὕτω καὶ ὁ ἀριθμὸς τῶν οὐσιωδῶς προσό-
ντων ταῖς αὐτοῦ φύσεσι θελημάτων καὶ ἐνερ-
γειῶν· κατ' ἄμφω γὰρ τὰς φύσεις θελητι-
κὸς ἦν καὶ ἐνεργητικὸς τῆς ἡμῶν σωτηρίας· οὐ
διαίρεσιν εἰσάγει μὴ γένοιτο· ἀλλὰ τὴν αὐτῶν
δηλοῖ καὶ μόνον· καὶ ἐν τῇ ἑνώσει φυλακὴν καὶ
σωτηρίαν· φυσικὰ γὰρ καὶ οὐχ ὑποστατικὰ φαμὲν
τὰ θελήματα καὶ τὰς ἐνεργείας. λέγω
δὲ αὐτῆς τὴν θελητικὴν καὶ ἐνεργητικὴν
δύναμιν· καθ' ἣν θέλει καὶ ἐνεργεῖ τὰ θέλοντα
καὶ ἐνεργοῦντα· εἰ γὰρ ὑποστατικὰ δώσομεν
αὐτὰ, ἑτεροθελεῖς καὶ ἑτεροενεργεῖς τὰς
τρεῖς ὑποστάσεις τῆς ἁγίας τριάδος εἰπεῖν
ἀναγκασθησόμεθα. ἰστέον γὰρ ὡς οὐ ταὐτόν
ἐστι θέλειν καὶ πῶς θέλειν· τὸ μὲν γὰρ θέλειν φύσεως
ὥσπερ καὶ τὸ ὁρᾶν· πᾶσι γὰρ ἀνθρώποις πρόσεστι·
τὸ δὲ πῶς θέλειν οὐ φύσεως, ἀλλὰ τῆς ἡμετέρας
γνώμης ὥσπερ καὶ τὸ πῶς ὁρᾶν καλῶς
ἢ κακῶς· οὐ γὰρ πάντες ἄνθρωποι ὁμοίως ὁρῶ-
σι· τοῦτο καὶ ἐπὶ τῶν ἐνεργειῶν δώσομεν·

τὸ δὲ πῶς θέλειν· τουτέστι τὸ ὁρᾶν· τουτέστιν ὀρέγειν,
τρόπος ἐστὶ τῆς τοῦ θέλειν καὶ ὁρᾶν καὶ ὀρέγειν
χρήσεως, μόνῳ τῷ κεχρημένῳ· προσὸν καὶ
τῶν ἄλλων αὐτὸν κατὰ τὴν κοινῶς λεγομένην
διαφορὰν χωρίζων. λέγεται οὖν τὸ μὲν ἁπλῶς
θέλειν, θέλησις· ἤτοι θελητικὴ δύναμις
λογικὴ οὖσα ὄρεξις καὶ θέλημα φυσικόν· τὸ δὲ
πῶς θέλειν ἤτοι τὸ τῇ θελήσει ὑποκείμενον
θελητὸν καὶ θέλημα γνωμικόν· θελητὸν δέ ἐστιν
ἡ θεία φύσις, ὡσαύτως καὶ ἡ ἀνθρωπίνη· θέλων
δέ ἐστιν ὁ κεχρημένος τῇ θελήσει ἤτοι ὑπόστασις·
οἷον, ὁ Πέτρος· ἐπειδὴ τοίνυν εἷς μέν ἐστιν
ὁ Χριστὸς καὶ μία αὐτοῦ ἡ ὑπόστασις· εἷς καὶ ὁ αὐτός
ἐστιν ὁ θέλων θεϊκῶς τε καὶ ἀνθρωπίνως· ἐπειδὴ
δύο φύσεις ἔχει θελητικάς· πᾶν γὰρ λογικὸν
θελητικόν τε καὶ αὐτεξούσιον· δύο θελήσεις
ἤτοι θελήματα φυσικά, ἐπ' αὐτοῦ δοξάζομεν·
θελητικὸς γάρ ἐστιν ὁ αὐτὸς κατ' ἄμφω τὰς
αὐτοῦ φύσεις· τὴν γὰρ φυσικῶς ἐνυπάρ-
χουσαν ἡμῖν θελητικὴν δύναμιν ἀνέλαβεν.

καὶ ἐπειδὴ εἷς ἐστιν ὁ Χριστὸς καὶ ὁ αὐτὸς ὁ θέλων
καθ' ἑκατέραν φύσιν, τὸ αὐτὸ θελητὸν λέ-
γομεν ἐπ' αὐτοῦ· οὐχ ὡς μόνα θέλοντος
ἃ φυσικῶς ὡς θεὸς ἤθελεν· οὐ γὰρ θεότητος
τὸ θέλειν φαγεῖν· πιεῖν καὶ τὰ τοιαῦτα·
ἀλλὰ καὶ τὰ συστατικὰ τῆς ἀνθρωπίνης φύσεως·
οὐ κατ' ἀντιγνωμίαν, ἀλλ' ἐν τῇ ἰδιότητι τῶν
φύσεων· τότε γὰρ ταῦτα φυσικῶς ἤθελεν· ὅτε
ἡ θεία αὐτοῦ θέλησις ἤθελε· καὶ παρεχώρει
τῇ σαρκὶ πάσχειν καὶ πράττειν τὰ ἴδια· ὅτι
δὲ φυσικῶς πρόσεστι τῷ ἀνθρώπῳ ἡ θέλησις ἐν-
τεῦθεν δῆλον· ὑπεξαιρουμένης τῆς θείας,
τρία εἴδη ζωῆς ἐστιν· ἡ φυτική· ἡ αἰσθητική·
ἡ νοερά· τῆς μὲν οὖν φυτικῆς ἴδιον, ἡ θρε-
πτικὴ καὶ αὐξητικὴ καὶ γεννητικὴ κίνησις· τῆς
δὲ αἰσθητικῆς, ἡ καθ' ὁρμὴν κίνησις· τῆς
δὲ λογικῆς καὶ νοερᾶς, ἡ αὐτεξούσιος· εἰ οὖν κατὰ
φύσιν πρόσεστι τῇ φυτικῇ, ἡ θρεπτική· καὶ τῇ
αἰσθητικῇ ἡ καθ' ὁρμὴν κίνησις, κατὰ φύσιν
ἄρα πρόσεστι καὶ τῇ λογικῇ καὶ νοερᾷ ἡ αὐτεξούσιος·

αὐτεξούσιος· τῆς δὲ, οὐδὲν ἔτι βουλῆς· καὶ μὴν
θελήσεως· γέγονε τοίνυν ὁ λόγος σὰρξ ἔμψυχος
καὶ νοερὰ καὶ αὐτεξούσιος· γέγονε καὶ θελητικός· ἔτι
δὲ ἀδίδακτά εἰσι τὰ φυσικά· οὐδεὶς γὰρ
λογίζεσθαι ἢ ζῆν· ἢ πεινῆν· ἢ διψᾶν· ἢ ὑπνοῦν
μανθάνει· οὔτε δὲ θέλειν μανθάνομεν·
ὥστε φυσικὸν τὸ θέλειν· καὶ ἐν τοῖς ἀλόγοις
ἄγει μὲν ἡ φύσις· ἄγεται δὲ ἐν τῷ ἀνθρώπῳ ἐξου-
σιαστικῶς κατὰ θέλησιν κινουμένῳ· ἄρα
φύσει θελητικὸς ὁ ἄνθρωπος. καὶ πάλιν εἰ κατ' εἰκό-
να τῆς μακαρίας καὶ ὑπερουσίου θεότητος ὁ
ἄνθρωπος γέγονεν· αὐτεξούσιος δὲ φύσει καὶ θελητικὴ
ἡ θεία φύσις· ἄρα καὶ ὁ ἄνθρωπος ὡς αὐτῆς εἰκὼν
αὐτεξούσιος φύσει καὶ θελητικός· τὸ γὰρ αὐτεξούσιον
θέλησιν ὡρίσαντο οἱ πατέρες· ἔτι δὲ εἰ πᾶσιν
ἀνθρώποις ὑπάρχει τὸ θέλειν· καὶ οὐ τοῖς μὲν ὑπάρχει,
τοῖς δὲ οὐχ ὑπάρχει· τὸ δὲ κοινῶς πᾶσιν
ἐνθεωρούμενον φύσιν χαρακτηρίζει ἐν τοῖς
ὑπ' αὐτὸ ἀτόμοις· ἄρα φύσει θελητικὸς ὁ ἄνθρωπος.
καὶ αὖθις· εἰ τὸ μᾶλλον + ἡ φύσις οὐκ ἐπιδέχεται· + καὶ ἧττον

ἐπ' ἴσης δὲ πᾶσιν ἐνυπάρχει ἡ φύσις οὐχ
~~ἐπιδέχεται~~ τοῦ θέλειν· καὶ οὐ τοῖς μὲν
πλέον· τοῖς δὲ ἔλαττον· ἄρα φύσει θελη-
τικὸς ὁ ἄνθρωπος· καὶ ὁ Χριστὸς, οὐ μόνον καθὸ θεὸς,
ἀλλὰ καὶ καθὸ ἄνθρωπος γέγονε, φύσει θελητικός
ἐστι· ὥσπερ γὰρ τὴν ἡμετέραν φύσιν ἀνέλα-
βεν, οὕτω καὶ τὸ ἡμέτερον θέλημα φυσι-
κὸν εἴληφε· καὶ κατὰ τοῦτο οἱ πατέρες τὸ
ἡμέτερον ἐν αὐτῷ τυπῶσαι αὐτὸν
ἔφησαν θέλημα· εἰ φυσικὸν οὐκ ἔστι τὸ
θέλημα, ἢ ὑποστατικὸν ἔσται, ἢ παρὰ φύσιν·
ἀλλ' εἰ μὲν ὑποστατικὸν, ἑτεροβούλος
οὕτω γε ἔσται ὁ υἱὸς τῷ πατρί· μόνης γὰρ
ὑποστάσεως χαρακτηριστικὸν τὸ ὑποστα-
τικόν· εἰ δὲ παρὰ φύσιν ἔκπτωσις τῆς
φύσεως ἔσται τὸ θέλημα· φθαρτικὰ γὰρ τῶν
κατὰ φύσιν τὰ παρὰ φύσιν, ὁ τῶν ὅλων θεὸς
καὶ πατήρ· καθὸ πατὴρ θέλει ἢ καθὸ θεός· ἀλλ'
εἰ μὲν καθὸ πατήρ, ἄλλο αὐτοῦ ἔσται παρὰ τὸ
τοῦ υἱοῦ θέλημα· οὐ γὰρ πατὴρ ὁ υἱός· εἰ δὲ

καθὸ θεός, θεὸς δὲ ὁ υἱός. θεὸς δὲ καὶ τὸ πνεῦμα
τὸ ἅγιον. ἄρα τὸ θέλημα φύσεως ἤγουν
φυσικόν. ἔτι εἰ κατὰ τοὺς πατέρας, ὧν τὸ
θέλημα ἕν, τούτων καὶ ἡ οὐσία μία. ἓν δὲ θέ-
λημα τῆς θεότητος τοῦ χριστοῦ καὶ τῆς ἀνθρωπότητος
αὐτοῦ, ἄρα μία καὶ ἡ αὐτὴ τούτων ἔσται καὶ
ἡ οὐσία. καὶ πάλιν εἰ κατὰ τοὺς πατέρας ἡ τῆς φύσεως
διαφορὰ τῷ ἑνὶ θελήματι οὐ διαφαίνεται,
ἅμα δὲ καὶ ἓν θέλημα λέγοντας, φυσικὴν ἐν
χριστῷ μὴ λέγειν διαφοράν. ἢ φυσικὴν διαφο-
ρὰν λέγοντας, τὸ ἓν θέλημα μὴ λέγειν. καὶ
πάλιν εἰ καθὼς φησὶ τὸ ἅγιον εὐαγγέλιον.
ἐλθὼν ὁ χριστὸς εἰς τὰ μέρη τύρου καὶ σιδῶνος.
καὶ εἰσελθὼν εἰς οἶκον οὐδένα ἠθέλησε γνῶ-
ναι καὶ οὐκ ἠδυνήθη λαθεῖν. εἰ τὸ θεῖον αὐτοῦ
θέλημα πάντων δυνατόν. θελήσας δὲ λαθεῖν
οὐ δεδύνηται, ἄρα καθὸ ἄνθρωπος θελήσας
οὐκ ἠδυνήθη. καὶ θελητικὸς ἦν καὶ καθὸ ἄνθρωπος.
καὶ πάλιν ἐλθὼν φησὶν εἰς τὸν τόπον εἶπε,
διψῶ. καὶ ἔδωκαν αὐτῷ οἶνον μετὰ χολῆς

μεμιγμένον· καὶ γευσάμενος οὐκ ἤθελε
πιεῖν· ἐμπαθὴς ἄρα καθὸ θεός, πάθους
γὰρ ἥ τε δίψα καὶ ἡ γεῦσις· εἰ δὲ οὐ καθὸ θεός,
πάντως καθὸ ἄνθρωπος· καὶ θελητικὸς ἦν καὶ καθὸ
ἄνθρωπος· καὶ ὁ μακάριος δὲ Παῦλος ὁ ἀπόστολός φησι· γενόμενος
ὑπήκοος μέχρι θανάτου· θανάτου δὲ
σταυροῦ· ἡ ὑπακοὴ τοῦ ὄντος θελήματος ἐστὶν ὑπό-
ταξις· οὐ τοῦ μὴ ὄντος· οὔτε τὸ ἄλογον ὑπή-
κοον, ἢ παρήκοον λέγομεν· ὑπήκοος δὲ γενό-
μενος τῷ πατρὶ ὁ κύριος· οὐ καθὸ θεὸς γέγονεν, ἀλλὰ
καθὸ ἄνθρωπος· καθὸ γὰρ θεὸς οὔτε ὑπήκοος,
οὔτε παρήκοος· τῶν ὑπὸ χεῖρα γὰρ ταῦτα,
καθὼς ὁ θεηγόρος ἔφη Γρηγόριος· θελητικὸς
ἄρα καὶ καθὸ ἄνθρωπος ὁ Χριστός· φυσικὸν δὲ τὸ θέλημα
λέγοντες, οὐκ ἠναγκασμένον δὲ τοῦτό φαμεν,
ἀλλ' αὐτεξούσιον· εἰ γὰρ λογικόν, πάντως καὶ
αὐτεξούσιον· οὐ μόνον γὰρ ἡ θεία καὶ ἄκτιστος φύσις
οὐδὲν ἠναγκασμένον ἔχει, ἀλλ' οὐδὲ ἡ νοερὰ
καὶ κτιστή· τοῦτο δὲ δῆλον· φύσει γὰρ ὢν ἀγαθὸς
ὁ θεὸς καὶ φύσει δημιουργός, καὶ φύσει θεός, οὐκ

ἀνάγκη ταῦτα ἐστί· τὸ γὰρ τὴν ἀνάγκην
ἐπάθομεν· δεῖ δὲ εἰδέναι ὡς ἡ αὐτεξουσιότης,
ὁμωνύμως λέγεται· ἄλλως μὲν ἐπὶ θεοῦ· ἄλλως
δὲ ἐπὶ ἀγγέλων· καὶ ἄλλως ἐπὶ ἀνθρώπων· ἐπὶ θεοῦ
μὲν γὰρ ὑπερουσίως· ἐπὶ δὲ ἀγγέλων ὡς συντρε-
χούσης τῇ ἕξει τῆς προχειρήσεως· καὶ
παρενθήκην ὅλως χρόνου μὴ παραδεχομένης·
ἔχων γὰρ φυσικῶς τὸ αὐτεξούσιον· ἀπαρεμ-
ποδίστως τοῦτο κέχρηται· μήτε τὴν ἐκ σώ-
ματος ἀντιπάθειαν ἔχων· μήτε τὸν προσ-
βάλλοντα· ἐπὶ δὲ ἀνθρώπων, ὡς χρονικῶς
τῆς ἕξεως προεπινοουμένης τῆς
ἐγχειρήσεως· αὐτεξούσιος μὲν γὰρ ὁ ἄνθρωπος·
καὶ φυσικῶς ἔχει τὸ αὐτεξούσιον· ἔχει δὲ καὶ
τὴν ἐκ τοῦ διαβόλου προσβολήν· καὶ τὴν τοῦ
σώματος κίνησιν· διὰ οὖν τὴν προσβολὴν
καὶ τὸ βάρος τοῦ σώματος, ἐφυστερίζει ἡ
προχείρησις τοῦ σώματος· εἰ οὖν θέλων
ὁ Ἀδὰμ ὑπήκουσε· καὶ θελήσας ἔφαγεν, ἄρα
πρωτοπαθὴς ἐν ἡμῖν ἡ θέλησις· ταῦτα·

μηδαὶ τῆς τοῦ θεοῦ ὁ λόγος σαρκωθεὶς, οὐκ ἀνε-
-λαβεν· οὐ κἂν ἄρα ἔξω τῆς ἁμαρτίας γεγόναμεν.
ἔτι δὲ εἰ ἔργον αὐτοῦ ἡ αὐτεξουσιότης τοῦ θεοῦ
ὑπάρχει δύναμις· ταύτην δὲ οὐκ ἀνέλαβεν·
ἢ καταγνοὺς τῆς οἰκείας δημιουργίας ὡς
οὐ καλῆς· ἢ φθονήσας ἡμῖν τῆς κατ' αὐτὴν
θεραπείας· ἑαυτὸν δὲ ὑπὸ πάθος οὕτω δει-
-κνὺς τὸ μὴ θέλειν· ἢ τὸ μὴ δύνασθαι τε-
-λείως σώζειν· οὐ δυνατὸν δὲ ὡς τὸ σύν-
-θετον ἐκ τῶν δύο θελημάτων λέγειν ὥσπερ
ἐκ τῶν φύσεων σύνθετον τὴν ὑπόστασιν·
πρῶτον μὲν ὅτι αἱ συνθέσεις τῶν ἐνυπο-
-στάτων εἰσὶ καὶ οὐ τῶν ἐν ἑτέρῳ λόγῳ καὶ
οὐκ ἰδίῳ θεωρουμένων εἰσί· δεύτερον δὲ ὅτι
ἐκ τῶν θελημάτων καὶ ἐνεργειῶν σύνθεσιν λέ-
-ξωμεν, καὶ τῶν ἄλλων φυσικῶν ἰδιωμάτων
σύνθεσιν εἰπεῖν ἀναγκασθησόμεθα,
τοῦ ἀκτίστου καὶ τοῦ κτιστοῦ· τοῦ ἀοράτου καὶ
τοῦ ὁρατοῦ καὶ τῶν τοιούτων· πῶς δὲ καὶ
τὸ ἐκ τῶν θελημάτων σύνθετον θέλημα

προσαγορευθήσεται· ἀδύνατον γὰρ τὸ ἰδίως σύν-
θετον τῆς τοῦ συνθέτου ὀνομάζεσθαι
προσηγορίας· ἐπεὶ καὶ τὸ ἐκ τῶν φύσεων
σύνθετον φύσιν προσαγορεύσομεν καὶ
οὐχ ὑπόστασιν. ἔτι δὲ καὶ ἄλλως σύνθετον θέ-
λημα ἐπὶ Χριστοῦ λέγοντες, θελήματι τοῦ πατρὸς
αὐτὸν χωρίζομεν· οὐ γὰρ σύνθετον τὸ τοῦ
πατρὸς θέλημα. λείπεται τοίνυν καὶ εἰπεῖν μόνην
τὴν ὑπόστασιν τοῦ Χριστοῦ σύνθετον καὶ κοινήν·
ὥσπερ τῶν φύσεων, οὕτω καὶ τῶν φυσικῶν
αὐτοῦ· γνώμην δὲ καὶ προαίρεσιν ἐπὶ Χριστοῦ λέγειν
ἀδύνατον, εἴπερ κυριολεκτεῖν βουλόμε-
θα· ἡ γνώμη γὰρ μετὰ τὴν περὶ τοῦ ἀγνοου-
μένου ζήτησιν καὶ βούλευσιν, ἤτοι βουλὴν καὶ
κρίσιν πρὸς τὸ κριθὲν διάθεσίς ἐστι· μεθ᾽ ἣν ἡ
προαίρεσις ἐκλεγομένη καὶ αἱρουμένη πρὸ
τοῦ ἑτέρου τὸ ἕτερον· ὁ δὲ Χριστὸς οὐ ψιλὸς ὢν
ἄνθρωπος, ἀλλὰ καὶ Θεὸς καὶ πάντα εἰδώς, ἀπροσδεὴς
σκέψεως καὶ ζητήσεως καὶ βουλῆς ὑπάρχει καὶ
κρίσεως· καὶ φυσικῶς τήν τε πρὸς τὸ

καλοῦ εἴληχεν οἰκείωσιν· καὶ τὴν περὶ τὸ κακὸν
ἀλλοτρίωσιν· οὕτως οὖν καὶ Ἡσαΐας φησίν·
ὅτι πρὶν ἢ γνῶναι τὸ παιδίον, ἢ προελέσθαι
πονηρὰ ἐκλέξεται τὸ ἀγαθόν· διότι πρὶν ἢ
γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ πο-
νηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν· τὸ δὲ πρὶν
δηλοῖ, ὅτι οὐ καθ' ἡμᾶς ἐν ζητήσει καὶ βουλευσά-
μενος· ἀλλὰ θεὸς ὢν καὶ θεϊκῶς καὶ τὸ κατὰ σάρκα
ὑποστάς· τουτέστι καθ' ὑπόστασιν ἑνωμένος
τῇ σαρκὶ αὐτὸ τὸ εἶναι καὶ παρ' αὐτοῦ δεδέχθαι τὸ ἐκ
θεοῦ εἴληχεν ἀγαθόν· φυσικαὶ γάρ εἰσιν αἱ ἀρεταὶ καὶ
φυσικῶς ἐπίσης πᾶσιν ἐνυπάρχουσιν, εἰ καὶ
μὴ παρ' αὐτῶν ἐπίσης ἐνεργοῦμεν ταῖς τῆς θεοῦ
ἐκ τοῦ κατὰ φύσιν διὰ τῆς παραβάσεως
ἠλάσαμεν· ὁ δὲ Χριστὸς ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ κατὰ
θεοῦ ἡμᾶς ἐπανήγαγε· τοῦτο δέ ἐστι τὸ κατ'
ἀρχαῖον καὶ καθ' ὁμοίωσιν· καὶ ἡ ἄσκησις καὶ οἱ
ταύτης πόνοι οὐ πρὸς τὸ ἐπικτήσασθαι
τὰς ἀρετὰς ἔξωθεν ἐπεισάκτους οὔσας· ἀλλὰ
πρὸς τὸ τὴν ἐπείσακτον καὶ παρὰ φύσιν κακί-

ἀποκαλεῖσθαι· ὥσπερ καὶ τὸν τοῦ σιδήρου
ἰόν, οὐ φυσικὸν ὄντα, ἀλλ' ἐξ ἀμελείας ἐπιγι-
νόμενον διὰ μόχθου ἀποβάλλοντες τὴν φυ-
σικὴν τοῦ σιδήρου λαμπρότητα ἐμφανίζομεν·
ἰστέον δὲ ὡς τὸ τῆς γνώμης ὄνομα πολύτροπον
καὶ πολύσημόν ἐστι· ποτὲ μὲν γὰρ δηλοῖ τὴν
παραίνεσιν ὡς φησὶν ὁ ἀπόστολος· περὶ δὲ τῶν
παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω· γνώμην δὲ
δίδωμι· ποτὲ δὲ βουλὴν ὡς ὅταν φησὶν ὁ
προφήτης δαβίδ· ἐπὶ τὸν λαόν σου κατεπα-
νουργεύσαντο γνώμην· ποτὲ δὲ ψῆφον ὡς
φησὶν ὁ δανιήλ· περὶ τίνος ἐξῆλθεν ἡ γνώμη
ἡ ἀναιδὴς αὕτη· ποτὲ δὲ ἐπὶ πίστεως ἢ δό-
ξης ἢ φρονήματος· καὶ ἁπλῶς εἰπεῖν ὅτι κατὰ
εἰκοσιοκτὼ σημαινόμενα λαμβάνεται τὸ
τῆς γνώμης ὄνομα:—

## περὶ ἐνεργειῶν τῶν ἐν τῷ κυρίῳ ἡμῶν ἰησοῦ χριστῷ:— ξα

Δύο δὲ καὶ τὰς ἐνεργείας φαμὲν ἐπὶ τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ· ἔχει γὰρ ὡς μὲν θεὸς καὶ τῷ πατρὶ
ὁμοούσιος, τὴν θείαν ἐνέργειαν· καὶ ὡς ἄνθρωπος

γινόμενος καὶ ἡμῖν ὁμοούσιος τῆς ἀμείνονος [illegible]
τὴν ὠφέλειαν· ἰστέον δὲ ὡς ἄλλο ἐστὶν ἡ ὠφέ-
λεια· καὶ ἄλλο ὠφελητικόν· καὶ ἄλλο ὠφέλημα·
καὶ ἄλλο ὠφέλιμον· ὠφέλεια μὲν οὖν ἐστιν ἡ δρα-
στικὴ καὶ οἰκειώδης τῆς φύσεως κίνησις·
ὠφελητικὸν δὲ ἡ φύσις, ἐξ ἧς ἡ ὠφέλεια προέ-
ρχεται· ὠφέλημα δὲ τὸ τῆς ὠφελείας ἀποτέ-
λεσμα· ὠφέλιμον δὲ, ὁ κεχρημένος τὴν ὠφέλειαν,
ἤτοι ἡ ὑπόστασις· λέγεται δὲ καὶ ἡ ὠφέλεια
ὠφέλημα· καὶ τὸ ὠφέλημα ὠφέλεια· ὡς καὶ τὸ
κτίσμα κτίσις· τὰ κτίσματα δηλοῦντες·
οὕτω δὲ φαμὲν πᾶσα ἡ κτίσις τὰ κτίσματα
δηλοῦντες· ἰστέον ὡς ἡ ὠφέλεια κίνησίς ἐστι·
καὶ ὠφελεῖται μᾶλλον ἢ ὠφελεῖ καθὼς φησὶν ὁ θε-
ολόγος Γρηγόριος ἐν τῷ περὶ τοῦ ἁγίου πνεύματος
λόγῳ· ἡ δὲ ὠφέλεια ἐστίν· ὠφεληθήσεται δηλο-
νότι καὶ οὐκ ὠφελήσει· καὶ ὁμοῦ τὸ ὠφεληθῆναι
παύσεται· δεῖ δὲ εἰδέναι· ὅτι αὕτη ἡ ζωὴ ὠφέ-
λειά ἐστιν· καὶ ἡ πρώτη τοῦ ζώου ὠφέλεια· καὶ
πᾶσα ἡ τοῦ ζώου οἰκονομία· ἡ τε θρεπτικὴ

καὶ αὐξητικὴ· ἤγουν φυτικὴ καὶ καθ' ὁρμὴν κι-
νήσεως· ἤγουν αἰσθητικὴ καὶ ἡ νοερὰ καὶ αὐτε-
ξούσιος κίνησις· δυνάμεως δὲ ἀποτέλε-
σμα ἡ ἐνέργεια· ζητοῦν ταῦτα παρὰ τῷ θεω-
ροῦμεν ἐν τῷ χω· ἄρα καὶ ἀμιγῆ ἐνέργειαν μετ'
αὐτῶν φήσομεν· ἐνέργεια λέγεται τὸ πρῶτον
ἐν κινήσει συνιστάμενον νόημα· καὶ ἔστιν ἁπλῆ καὶ
ἄσχετος ἐνέργεια τοῦ νοῦ κατ' αὐτὸν ἀφανῶς
τὰ ἴδια νοήματα προβαλλομένου· ὧν χωρὶς
οὐδ' ἐννοῖς ἂν κληθείη δικαίως. λέγεται πάλιν
ἐνέργεια, καὶ ἡ διὰ τῆς προφορᾶς τοῦ λόγου
ἐμφάνισις καὶ ἐξάπλωσις τῶν νενοημένων·
αὕτη δὲ οὐκέτι ἄσχετος ἐστὶ καὶ ἁπλῆ, ἀλλ' ἐν σχέσει
θεωρουμένη· ἐκ νοήματος καὶ λόγου συντεθειμένη.
καὶ αὐτὴ δὲ ἡ σχέσις ἣν ἔχει ὁ ποιῶν πρὸς τὸ γινό-
μενον· ἐνέργεια ἐστί· καὶ αὐτὸ τὸ ἀποτελούμενον
ἐνέργεια λέγεται. καὶ τὸ μὲν ἐστὶ ψυχῆς μόνης·
τὸ δὲ, σώματος νοερῶς ἐμψυχωμένου.
τὸ δὲ ἀποτέλεσμα· ὁμοίως τε προθεωρηθὲν
τὸ ἐσόμενον, οὕτως διὰ τοῦ σώματος

ἐργάζεται· τῆς ψυχῆς τοίνυν ἐστὶν ἡ ἡγεμο-
νία· κέχρηται δὲ ὥσπερ ὀργάνῳ τῷ σώματι
ἄγουσα τοῦτο καὶ ἰθύνουσα· ἑτέρα δὲ ἐστὶν
ἡ τοῦ σώματος ἐνέργεια· ἀγομένου ὑπὸ τῆς
ψυχῆς καὶ κινουμένου· τὸ δὲ ἀποτέλεσμα
τοῦ μὲν σώματος ἡ ἀφὴ καὶ ἡ κράτησις· καὶ ἡ
ὁλκὴ τοῦ ποιουμένου οἷον εἰ παρέγχυσις· τῆς ψυχῆς
ἡ τοῦ γινομένου οἷον εἰ μόρφωσις καὶ σχη-
ματισμός· οὕτω καὶ ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
ἡ μὲν τῶν θαυμάτων δύναμις τῆς θεότητος
αὐτοῦ ὑπάρχει ἐνέργεια· ἡ δὲ χειρουργία
καὶ τὸ θελῆσαι· καὶ τὸ εἰπεῖν θέλω καθαρίσθητι·
τῆς ἀνθρωπότητος αὐτοῦ ὑπάρχει ἐνέργεια·
ἀποτέλεσμα δὲ τῆς μὲν ἀνθρωπίνης, ἡ τῶν
ἄρτων κλάσις· τὸ ἀκοῦσαι τοῦ λεπροῦ
τὸ θέλω· τῆς δὲ θείας ὁ τῶν ἄρτων πλη-
θυσμὸς καὶ ἡ τοῦ λεπροῦ καθαρσις· διὰ ἀμ-
φοτέρων δὲ δηλαδὴ τῆς ψυχικῆς ἐνεργείας
καὶ τοῦ σώματος· μίαν καὶ τὴν αὐτὴν συγγενῆ
καὶ ἴσην ἐπιδεικνύντος αὐτοῦ τὴν ἐνέργειαν·

ὥσπερ γὰρ ἡνωμένως τὰς φύσεις γινώ-
-σκομεν· καὶ τὴν ἐν ἀλλήλαις ἐχούσας περιχώ-
-ρησιν· καὶ τὴν τούτων διαφορὰν οὐκ ἀρνού-
-μεθα· ἀλλὰ καὶ ἀριθμοῦμεν καὶ διαιρέτους ταύτας
γινώσκομεν, οὕτως καὶ τῶν θελημάτων καὶ
τῶν ἐνεργειῶν καὶ τὸ συναφὲς γινώσκομεν·
καὶ τὸ διάφορον ἐπιγινώσκομεν ἀριθμοῦμεν
καὶ διαίρεσιν οὐκ εἰσαγόμεθα· ὃν τρόπον γὰρ ἡ σὰρξ
τεθέωται· καὶ μηδαμῶς λῆξιν τῆς οἰκείας οὐ πέ-
-πονθε φύσεως, τὸν αὐτὸν τρόπον καὶ τὸ θέλημα
καὶ ἡ ἐνέργεια καὶ τεθέωνται καὶ τῶν οἰκείων
οὐκ ἐξίστανται ὅρων· εἷς γὰρ ὁ τοῦτο κἀκεῖ-
-νο ὤν. ἤτοι θεϊκῶς τε καὶ ἀνθρωπίνως θέλων καὶ
ἐνεργῶν· δύο τοίνυν ἐπὶ Χριστοῦ τὰς ἐνεργείας
λέγειν ἀναγκαῖον δι' αὐτὸ διπλοῦν τῆς φύσεως.
ὧν γὰρ ἡ φύσις παρηλλαγμένη, τούτων διάφορος
ἡ ἐνέργεια. καὶ ὧν ἡ ἐνέργεια παρηλλαγμένη,
τούτων ἡ φύσις διάφορος. καὶ τὸ ἀνάπαλιν· ὧν
ἡ φύσις ἡ αὐτή, τούτων καὶ ἡ ἐνέργεια ἡ αὐτή.
καὶ ὧν ἡ ἐνέργεια μία, τούτων καὶ ἡ οὐσία μία.

κατὰ τοὺς θεηγόρους πατέρας· ἀνάγκη τοί-
νυν δυοῖν θάτερον ἢ μίαν ἐνέργειαν ἐπὶ
Χριστοῦ λέγοντας μίαν λέγειν καὶ τὴν οὐσίαν· εἰ δὲ
περὶ τῆς ἀληθείας ἐχόμεθα· καὶ δύο τὰς
οὐσίας εὐαγγελικῶς τε καὶ πατρικῶς ὁμολογοῦ-
μεν· δύο καὶ τὰς ἐνεργείας καταλλήλως αὐτοῖς
ἑπομένως συνομολογεῖν· ὁμοούσιος γὰρ ὢν
τῷ θεῷ καὶ πατρὶ κατὰ τὴν θεότητα, ἴσως ἔσται
καὶ κατὰ τὴν ἐνέργειαν· ὁμοούσιος δὲ ὢν καὶ ἡμῖν
ὁ αὐτὸς κατὰ τὴν ἐνέργειαν· ἴσως ἔσται καὶ
κατὰ τὴν ἀνθρωπότητα· φησὶ γοῦν ὁ μακάριος
γρηγόριος ὁ νύσσης ἐπίσκοπος· ὧν δὲ μία
ἐνέργεια μία, τούτων πάντως καὶ ἡ δύναμις
μία ἡ αὐτή· πᾶσα γὰρ ἐνέργεια, δυνάμεως
ἐστὶν ἀποτέλεσμα· ἀδύνατον δὲ ἀκτίστου
καὶ κτιστῆς φύσεως μίαν φύσιν ἢ δύναμιν
ἢ ἐνέργειαν εἶναι· εἰ δὲ μίαν Χριστοῦ τὴν ἐνέργει-
αν ποιοῦσι τῇ τοῦ λόγου θεότητι προσάψουσι
τῆς νοερᾶς ψυχῆς τὰ πάθη· φόβον φημὶ
καὶ λύπην καὶ ἀγωνίαν· εἰ δὲ λέγοιμεν ὡς περὶ

τῆς ἁγίας τριάδος διαλεγόμενοι οἱ πατέρες·
οἱ ἅγιοι εἰρήκασιν· ὧν ἡ οὐσία μία, τούτων
καὶ ἡ ἐνέργεια μία· καὶ ὧν διάφορος ἡ οὐσία,
τούτων διάφορος καὶ ἡ ἐνέργεια· καὶ ὡς οὐχ ἡ
ταῦτα τῆς θεολογίας ἐπὶ τὴν οἰκονομίαν
μετάγειν, ἐροῦμεν· ἀλλ' ἐπὶ τῆς θεολογίας μὲν
ἀρκεῖ τοῦτο, τοῖς πατράσι, καὶ οὐχ ἑτέρα· καὶ μὴν αὐτὸ τοῦτο
σάρκωσιν τῆς αὐτῆς ἐνεργείας ὁ υἱὸς τῷ
πατρί· οὐδὲ τῆς αὐτῆς ἐστιν οὐσίας· νυνὶ δὲ
ἀπομνημονεύομεν τοῦ ὁ πατήρ μου ἕως ἄρτι ἐργά-
-ζεται κἀγὼ ἐργάζομαι· καὶ αὖ, βλέπει τὸν πατέ-
-ρα ποιοῦντα, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ·
καὶ ἐὰν ἐμοὶ οὐ πιστεύετε, τοῖς ἔργοις μου πι-
-στεύσατε· καὶ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ
περὶ ἐμοῦ· καὶ ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς
νεκροὺς καὶ ζωοποιεῖ, ταῦτα δὲ πάντα
οὐ μόνον ὁμοούσιον καὶ μετὰ τὴν σάρκωσιν
τῷ πατρὶ δεικνῦσιν αὐτόν, ἀλλὰ καὶ τῆς αὐτῆς
ἐνεργείας· καὶ πάλιν ἡ περὶ τοῦ υἱοῦ τὴν πρό-
-νοιαν· οὐ μόνον πρὸς καὶ ἁγίου τινός, ἀλλὰ

καὶ τοῦ υἱοῦ ἐστὶ καὶ μετὰ τὴν σάρκωσιν· ἐνέργεια
δὲ τοῦτο ἐστὶν· ἄρα καὶ μετὰ τὴν σάρκωσιν τῆς
αὐτῆς ἐστὶν ἐνεργείας τῷ πατρί· καὶ ἐκ τῶν θαυ-
-μάτων τῆς αὐτῆς οὐσίας ὄντα τῷ πατρί
τὸν χριστὸν εἶναι· ἐνέργεια δὲ τὸ ἐργάζεσθαι τὰ
θαύματα, ἄρα καὶ μετὰ τὴν σάρκωσιν τῆς αὐτῆς
ἐνεργείας ἐστὶ τῷ πατρί· καὶ δὲ μία ἐνέργεια
τῆς θεότητος αὐτοῦ καὶ τῆς σαρκὸς αὐτοῦ
σύνθετος ἔσται, καὶ ἑτέρας ἐνεργείας παρὰ
τὸν πατέρα· καὶ ὁ πατὴρ συνθέτου ἐνεργείας ἐστί·
καὶ δὲ συνθέτου ἐνεργείας, δηλονότι καὶ φύσεως·
καὶ δὲ εἴποιμι ὅτι τὴν ἐνέργειαν προσώπου
συνεισάγεται, καὶ τὴν εὐλογομάχων πίστρο-
-φὴν καὶ τῶν προσώπων ἐνέργειαν συνεισα-
-χθήσεται· καὶ ἔσονται ὥσπερ τρία πρόσω-
-πα· ἤτοι ὑποστάσεις, οὕτω καὶ τρεῖς ἐνέρ-
-γειαι· ἢ ὥσπερ μία ἐνέργεια, οὕτω καὶ ἓν
πρόσωπον καὶ μία ὑπόστασις· οἱ δὲ ἅγιοι
πατέρες συμφώνως εἰρήκασι τὰ τῆς αὐτῆς
οὐσίας καὶ τῆς αὐτῆς εἶναι ἐνεργείας· ἔτι

δὲ εἰ τὴν ἐνέργειαν, πρόσωπον σώζειν εἰσάξετε·
οἱ μὲν τὴν μίαν· ἡμεῖς δὲ δύο χριστοῦ τὰς ἐνεργείας
λέγειν θεσπίσαντες· οὔτε ἓν πρόσωπον
αὐτοῦ λέγειν· οὔτε δύο προσέταξε. καὶ ἐπὶ
τῆς πεπυρακτωμένης δὲ μαχαίρας ὥσπερ
αἱ φύσεις σώζονται τοῦ πυρὸς καὶ τοῦ σιδήρου·
οὕτω καὶ αἱ δύο ἐνέργειαι· καὶ τὰ τούτων ἀπο-
τελέσματα· ἔχει γὰρ ὁ μὲν σίδηρος, τὸ τμητικόν·
τὸ δὲ πῦρ, τὸ καυστικόν· καὶ ἡ τομὴ μὲν τῆς
τοῦ σιδήρου ἐνεργείας ἐστὶν ἀποτέλεσμα·
ἡ δὲ καῦσις τῆς τοῦ πυρός· καὶ σώζεται
τὸ τούτων διάφορον· ἔστι κεκαυμένη καύ-
σει· καὶ οὔτε ἡ καῦσις τῆς τομῆς δίχα
γίνοιτο λοιπὸν μετὰ τὴν ἕνωσιν· μήτε ἡ τομὴ δίχα
τῆς καύσεως· καὶ οὔτε διὰ τὸ διπλοῦν τῆς
φυσικῆς ἐνεργείας δύο πεπυρακτωμένας
μαχαίρας φαμέν· οὔτε διὰ τὸ μοναδικὸν
τῆς πεπυρακτωμένης μαχαίρας σύγ-
χυσιν τῆς οὐσιώδους αὐτῶν διαφορᾶς
ἐργαζόμεθα· οὕτω καὶ ἐπὶ τοῦ χριστοῦ· τῆς μὲν

θεότητος αὐτοῦ ἡ θεία ἐστὶ καὶ παντοδύναμος
ἐνέργεια· τῆς δὲ ἀνθρωπότητος αὐτοῦ, ἡ καθ'
ἡμᾶς· ἀποτέλεσμα δὲ τῆς μὲν ἀνθρωπίνης,
τὸ κρατηθῆναι τὴν χεῖρα τῆς παιδὸς καὶ
ἑλκυσθῆναι· τῆς δὲ θείας ἡ ζωοποίησις.
ἄλλο γὰρ τοῦτο κἀκεῖνο ἕτερον· εἰ καὶ ἀλλήλ-
ων ἀχώριστοι ὑπάρχουσιν ἐν τῇ θεανδρικῇ ἐνερ-
γείᾳ· εἰ δὲ διὰ τὸ μίαν εἶναι τὴν τοῦ Χριστοῦ ὑπόστα-
σιν μίαν ἔσται καὶ ἡ ἐνέργεια. διὰ τὴν μίαν ὑπό-
στασιν· μία ἔσται καὶ ἡ οὐσία· ἔτι πάλιν. εἰ μίαν
ἐνέργειαν ἐπὶ τοῦ Χριστοῦ φαμέν, ἢ θείαν ταύτην
λέγομεν ἢ ἀνθρωπίνην· ἢ οὐδετέραν· ἀλλ' εἰ μὲν
θείαν, θεὸν αὐτὸν μόνον γυμνὸν τῆς καθ' ἡμᾶς
ἀνθρωπότητος λέγομεν· εἰ δὲ ἀνθρωπίνην, ψιλὸν αὐτὸν
ἄνθρωπον βλασφημήσομεν· εἰ δὲ οὐδὲ θείαν· οὐ-
δὲ ἀνθρωπίνην, οὐδὲ θεὸν οὐδὲ ἄνθρωπον· οὐδὲ τῷ πατρὶ
οὐδὲ ἡμῖν ὁμοούσιον· ἐκ γὰρ τῆς ἑνώσεως
ἡ καθ' ὑπόστασιν ταυτότης γέγονεν· οὐ μὴν
δὲ καὶ ἡ διαφορὰ τῶν φύσεων ἀνῄρηται· τῆς
δὲ διαφορᾶς σωζομένης τῶν φύσεων

σωθήσονται δηλαδὴ καὶ αἱ τούτων ἐνέργειαι·
οὐ γάρ ἐστι φύσις ἀνενέργητος· καὶ μία τοῦ δε-
σπότου Χριστοῦ ἡ ἐνέργεια, ἢ κτιστὴ ἔσται ἢ ἄκτιστος·
μέσον δὲ τούτων, οὐκ ἔστιν ἐνέργεια· ὥσπερ
οὐδὲ φύσις· καὶ οὖν κτιστὴ ἔστι, κτιστὴν μόνην δηλώ-
σει φύσιν· εἰ δὲ ἄκτιστος, ἄκτιστον μόνην χαρα-
κτηρίσει οὐσίαν· δεῖ γὰρ πάντῃ καταλλήλας
ταῖς φύσεσιν εἶναι τὰς φυσικάς· ἀδύνατον γὰρ
ἐλλιπῆ ποιὸν φύσεως ὕπαρξιν εἶναι· ἡ δὲ κατὰ
θεὸν ἐνέργεια, οὐ τῶν ἐκ τοῦ ὑπάρχει καὶ δηλονότι
ὅτι οὔτε εἶναι, οὔτε γίνεσθαι τὴν φύσιν, ἐνερ-
γείας· δι' ὧν γὰρ ἐνεργειῶν ἕκαστον τὴν οἰκείαν
θεὸν πιστοῦται· ὁ πατὴρ καὶ προπεμπόμενον· καὶ μία
Χριστοῦ ἡ ἐνέργεια ἡ αὐτὴ τῶν θείων καὶ τῶν ἀνθρώπων
ποιητική· οὐδεὶς δὲ τῶν ὄντων ἐν τοῖς κατὰ
φύσιν μένον τὴν ἐναντίαν ποιεῖν δύναται· οὐ
γὰρ τὸ πῦρ ψύχει καὶ θερμαίνει· οὐδὲ ξηραίνει καὶ
ὑγραίνει τὸ ὕδωρ· πῶς οὖν φύσει ὢν θεὸς
καὶ φύσει γενόμενος ἄνθρωπος, τά τε θαύματα καὶ τὰ
παθήματα μιᾷ ἐνεργείᾳ ἐπετέλεσεν·

Q. η·

ἄρ᾽ οὖν ἔλαβεν ὁ Χριστὸς νοῦν, διανοηθήσεται τῶν πάν-
των καὶ ἀεὶ διανοηθήσεται· ἡ ἐνέργεια δὲ νοῦ ἡ διά-
- νοια· ἄρα καὶ καθὸ ἄνθρωπος, ἐνεργητικὸς ὁ Χριστός· καὶ ἄρα
ἐνεργητικός· ὁ δὲ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἐν τῇ ἑρ-
- μηνείᾳ τῶν πράξεων δευτέρῳ λόγῳ, οὕτω
φησίν, οὐχ ἱκανὸς δέ τις ἀμάρτοι. καὶ τὸ πάθος
αὐτοῦ πρᾶξιν καλεῖ· ἐν τῷ γὰρ πάντων τῷ πάθει
ἐποίησε τὸ μέγα καὶ θαυμαστὸν ἐκεῖνο ἔργον·
τὸν θάνατον καταλύσας καὶ τὰ ἄλλα πάντα
ἐργασάμενος· ἅπασα ἐνέργεια φύσεως τινὸς
οὐσιώδης ὁρίζεται κίνησις· ὡς οἱ περὶ ταῦτα
δεινοὶ εἰλήφασι, τοῦ φυσικοῦ τινος εἴδους ἀ-
- κίνητον· ἢ παντελῶς ἀνενέργητον· ἢ ἐνέρ-
- γειαν κυριακήν, οὐ φυσικῆς δυνάμεως ὑπάρ-
- χουσαν κίνησιν· μίαν δὲ φυσικὴν ἐνέργειαν
θεοῦ καὶ ποιήματος, οὐκ ἄν τις εὖ φρονῶν δοίη,
κατὰ τὸν μακάριον Κύριλλον· οὐδὲ ζωοποιεῖ
τὸν Λάζαρον ἡ ἀνθρωπίνη φύσις· οὔτε δακρύει ἡ
θεϊκὴ ἐξουσία· τὸ μὲν γὰρ δακρύον, τῆς ἀν-
- θρωπότητος ἴδιον· ἡ δὲ ζωή, τῆς ἐνυποστάτου

ζωῆς. ἀλλ' ὅμως κοινῶς ἀμφοτέρων ἑκά-
τερον διὰ τὸ ταυτὸν τῆς ὑποστάσεως.
ὡς ὁ μέγας Κύριλλος· ὁ Χριστός· καὶ γὰρ αὐτοῦ τὸ πρόσωπον,
ἤτοι ἡ ὑπόστασις. ἀλλ' ὅμως ἔχει δύο φύσεις,
τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος αὐτοῦ. ἐκ
μὲν οὖν τῆς θεότητος ἡ δόξα φυσικῶς προ-
ϊοῦσα, ἑκατέρῳ κοινὴ διὰ τὴν τῆς ὑποστάσεως
ἐγένετο ταυτότητα. ἐκ δὲ τῆς σαρκὸς τὰ
ταπεινὰ ἑκατέρων κοινῶς. ὡς ὁ Κύριλλος· καὶ ὁ
αὐτὸς ὅ τουτέστι κἀκεῖνος ὤν. ἤτοι θεὸς καὶ
ἄνθρωπος. καὶ τοῦ αὐτοῦ τά τε τῆς θεότητος
καὶ τὰ τῆς ἀνθρωπότητος. τὰ μὲν γὰρ θεοσημεῖα,
ἡ θεότης εἰργάζετο. ἀλλ' οὐ δίχα τῆς σαρκός.
τὰ δὲ ταπεινὰ ἡ σάρξ. ἀλλ' οὐ χωρὶς τῆς
θεότητος. καὶ παραχωρούσης τῇ σαρκὶ συνημμένη
ἦν ἡ θεότης δι' ἀπαθὴς διαμένουσα. καὶ τὰ
πάθη ἐκτελοῦσα σωτήρια. καὶ συνεργοῦσα τῇ τοῦ
λόγου θεότητι συνημμένος ἦν ὁ ἅγιος νοῦς. νο-
ῶν καὶ εἰδὼς τὰ τελούμενα. τῶν μὲν οὖν οἰκεί-
ων αὐχημάτων ἡ θεότης τῷ σώματι μετα-

Q. m.

δίδωσιν· αὕτη δὲ τῶν τῆς σαρκὸς παθῶν
διαμένει ἀμύητος· οὕτω δὴ ὡς ἀπόρροιαι τῆς
σαρκὸς ἡ θεότης τοῦ λόγου ἐνεργεῖ· οὕτω καὶ
διὰ τῆς θεότητος ἡ σὰρξ αὐτοῦ ἔπασχε· ὄργανον
γὰρ ἡ σὰρξ τῆς θεότητος ἐχρημάτισε· εἰ καὶ τοί-
-νυν ἐξ ἄκρας συλλήψεως· οὐδ᾽ ὁπωσοῦν διῃ-
-ρημένον ἦν τῆς ἑκατέρας μορφῆς· ἀλλ᾽ ἑνὸς
προσώπου ἀεὶ τοῦ παντὸς χρόνου πράξεις
ἑκατέρας μορφῆς γεγόνασιν· ὅμως αὐταὶ
ἀδιαχωρίστως γεγένηνται· κατ᾽ οὐδέτε-
-ρον τρόπον συγχεόμεναι· ἀλλὰ τῇ ποιήσει ἡ μορ-
-φῆς ἐκ τῆς τῶν ἰδίων ποιότητος ἀγαθα-
-νόμεθα· ἐνεργεῖ τοίνυν ὁ Χριστὸς καθ᾽ ἑκα-
-τέραν τῶν αὐτοῦ φύσεων· καὶ ἐνεργεῖ ἑκα-
-τέρα φύσις ἐν αὐτῷ μετὰ τῆς θατέρου
κοινωνίας· τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο
ὅπερ ἐστὶ τοῦ λόγου διὰ τὴν αὐθεντίαν
τῆς θεότητος καὶ ἐξουσίαν· ὅσα ἐστὶν ἀρχι-
-κὰ καὶ βασιλικά· τοῦ δὲ σώματος ἐκτε-
-λοῦντος ὅσα ἐστὶ τοῦ σώματος πρὸς τὸ μού-

-λησιαν, τοῦ ἑνωθέντος αὐτῷ λόγου. οὔτε
γέγονεν ἴδιον. οὔτε ἀφ᾽ ἑαυτοῦ πρὸς τὰ
φυσικὰ πάθη τὴν ὁρμὴν ἐποιεῖτο. οὐδὲ
αὐτὴν ἐκ τῶν λυπηρῶν ἀφορμὴν καὶ παραί-
-τησιν. εἰ ταῦθ᾽ ἐξωθεὶς πρὸς τὸ πάσχον ταῦτ᾽ ἔπρα-
-ξε. ἀλλ᾽ ἐκινεῖτο κατὰ τὴν ἀκολουθίαν
τῆς φύσεως τοῦ λόγου θέλοντος. καὶ παρα-
-χωροῦντος οἰκονομικῶς πάσχειν αὐτό.
καὶ πράττειν τὰ ἴδια. ἵνα διὰ τῶν ἔργων
τῆς φύσεως πιστωθῇ ἡ ἀλήθεια. ὥσπερ δὲ ὑπὲρ
οὐσίαν οὐσιώθη ἐκ παρθένου κυηθείς, οὕτω
καὶ ὑπὲρ ἄνθρωπον τὰ ἀνθρώπων ἐνήργει. ἐπὶ ἀστάτου
ὕδατος γηΐνοις ποσὶ πορευόμενος. οὐ γαλω-
-θέντος τοῦ ὕδατος, ἀλλὰ τῇ τῆς θεότητος
ὑπερφυεῖ δυνάμει ἀμηχάνως ἱσταμένου πρὸς τὸ ἀ-
διάχυτον καὶ βάρει ὑλικῶν ποδῶν μὴ ὑπέ-
-χοντος. οὐχ ἀνθρωπίνως γὰρ ἔπραττε τὰ ἀνθρώπινα.
οὐ γὰρ ἄνθρωπος μόνον, ἀλλὰ καὶ θεός. ὅθεν καὶ τὰ
τούτου πάθη, ζωοποιὰ καὶ σωτήρια. οὐδὲ
θεϊκῶς ἐνήργει τὰ θεῖα. οὐ γὰρ θεὸς μόνον,

Q. m.

ἀλλὰ καὶ ἀμέσως· ὅθεν δι' ἀφῆς καὶ λόγου καὶ τῶν
τοιούτων, τὰς θεοσημείας εἰργάζετο.
εἰ δὲ λέγει τις ὡς οὐκ ἐπ' ἀναιρέσει τῆς
ἀνθρωπίνης ἐνεργείας, μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ
λέγομεν· ἀλλ' ἐπειδὴ ἀντιδιαστελλομένη
τῇ θείᾳ ἐνεργείᾳ πάθος λέγεται ἡ ἀνθρωπίνη
ἐνέργεια· κατὰ τοῦτο μίαν ἐνέργειαν ἐπὶ
Χριστοῦ λέγομεν, ἤγουν ὁροῦμεν· κατὰ τοῦτον
τὸν λόγον. καὶ οἱ μίαν φύσιν λέγοντες, οὐκ ἐπ'
ἀναιρέσει τῆς ἀνθρωπίνης ταύτην λέγουσιν·
ἀλλ' ἐπειδὴ ἀντιδιαστελλομένη ἡ ἀνθρωπίνη φύσις
πρὸς τὴν θείαν φύσιν παθητικὴ λέγεται.
ἡμᾶς δὲ μὴ γένοιτο τὴν πρὸς τὴν θείαν ἐνέρ-
γειαν δι' ἀντιδιαστολῆς, πάθος τὴν ἀνθρωπίνην προσ-
αγορεῦσαι κίνησιν· οὐδενὸς τῶν καθόλου
φασίν, ὑπάρξεις ἐκ παραθέσεως ἢ συγκρί-
σεως γινώσκεται ἢ ὁρίζεται· οὔτε τῶν ἀλλήλοις
τίας ἐξετασθήσονται τὰ οὕτω πράγματα·
ἐπειδὴ τὴν ἐνέργειαν εἶναι τὴν θείαν κίνησιν,
ἡ ἀνθρωπίνη πάθος ἐστί, πάντως καὶ διὰ τὸ

ἀγαθὴν εἶναι τὴν θείαν φύσιν, πονηρὰ ἐστὶν
ἡ ἀνθρωπίνη· καὶ κατὰ τὴν σὴν ἀντίθεσιν ἀντι-
στροφήν, ὥσπερ τὸ πάθος λέγεσθαι τὴν ἀν-
θρωπίνην κίνησιν, ἡ θεία κίνησις ἐνέρ-
γεια λέγεται· καὶ ὥσπερ τὸ πονηρὰν εἶναι τὴν
ἀνθρωπίνην φύσιν, ἀγαθὴ ἐστὶν ἡ θεία· καὶ πάντα
δὲ τὰ κτίσματα οὕτως ἐστὶ πονηρά· καὶ ψεύ-
σεται ὁ εἰπὼν καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα
ἐποίησε καὶ ἰδοὺ καλὰ λίαν. ἡμεῖς δέ φαμεν
ὅτι οἱ ἅγιοι πατέρες πολυτρόπως τὴν ἀνθρωπίνην
ὠνόμασαν κίνησιν πρὸς τὰς ὑποκειμένας
ἐννοίας. προσηγόρευσαν γὰρ αὐτὴν, καὶ δύ-
ναμιν καὶ ἐνέργειαν· καὶ διαφορὰν· καὶ κίνησιν·
καὶ ἰδιότητα· καὶ ποιότητα· καὶ πάθος· οὐ
κατὰ ἀντιδιαστολὴν τῆς θείας ἀλλ' ὡς
συνεκτικὴν μὲν καὶ ἀναλλοίωτον δύναμιν·
ἐνέργειαν δὲ, ὡς χαρακτηριστικὴν· καὶ τὴν
ἐν πᾶσι τοῖς ὁμοειδέσιν ἀπαραλλαξίαν
ἐμφαίνουσαν· διαφορὰν δὲ, ὡς ἀφοριστικήν·
κίνησιν δὲ, ὡς ἐνδεικτικήν· ἰδιότητα δὲ,

ὡς συστατικὴν καὶ μόνην αὐτὴν καὶ οὐκ ἄλλην παρ-
ουσίαν· ποιότητα δέ, ὡς εἶδος ποιοῦν·
πάθος δέ, ὡς κινουμένην παρ' αὐ-
τοῦ τὸ ἐκ θεοῦ καὶ μηδὲν θεοῦ παρέχει τὸ κινεῖσθαι·
ὡς μηκοῦνται αὐτοκίνησις ἢ αὐτοδύναμις·
οὐ κατὰ ἀμφότερα δὲ ἀπολήψονται ὡς εἴρηται, ἀλ-
λὰ κατὰ τοῦ δημιουργοῦ ἔχουσι αὐτοῖς ἐντεθῆναι·
παρ' οὐ τὴν τοῦ παντὸς συστησαμένης αἰτίας
λόγον· ὅθεν καὶ μηδὲ τῆς θείας συνεκφωνοῦν-
τες αὐτῆς, ἐνέργειαν προσηγόρευσαν· ὅτι δὲ
καὶ πῶς ἐνεργεῖ τὸ ἐν ἑκάστῳ μορφῇ, μηδὲ
τῆς θατέρου κοινωνίας [?], τὸ ἕτερον πε-
ποίηκεν· ἢ εἰ πῶς καὶ τὸ τεσσαρακοντα-
γωνον [?] ἀποστησάμενος [?], ἕτερον ἐπείνας [?]·
ἔδωκε τὸ τῇ φύσει ὅπερ ἤθελε ταύτῃ [?] ἐ-
νεργεῖν· οὐδὲ διάφορον ἐν αὐτῷ φήσαμεν τὸ ἐ-
νέργειαν· ἢ οὐδὲ πλῆθος· ἢ ἄλλην καὶ ἄλλην· ταῦτα
τὸ δὲ ἄμφω [illegible] ὑμῖν, δύο τὰς ἐνεργείας, ση-
μαίνουσι· καὶ δὴ ἀμφοτέρων ὑμῖν τὸ πολλάκις,
ὁ ἀριθμὸν ἐνδείκνυνται· καὶ δὴ αὐτοῦ [?] εἶναι [?]

θεῖον τε καὶ ἀνθρώπινον· ἢ τὴν διαφορὰν, διαφόρων
των ἐστὶ διαφορά· ταῦτα δὲ μὴ ὄντα, πῶς
διοίσουσιν :— Πρὸς τοὺς λέγοντας ὅτι δύο
φύσεις καὶ ἐνυβριζειῶν ὁ ἄνθρωπος, ἂν ἄρα καὶ ἐπὶ Χριστοῦ
τρεῖς φύσεις καὶ τοσαῦτα λέγεται καὶ ἐνεργείας :— ξβ

μὴν καθ' ἕκαστον ἄνθρωπος ἐκ δύο συγκείμενος
φύσεων ψυχῆς τε λέγω καὶ σώματος· καὶ ταύ-
την ἀμφ' αὐτῇ ἢ τοῖς ἔχων ἐν ἑαυτῷ, δύο φύσεις
ἀκόπως λεχθήσεται· σώζει γὰρ ἑκατέρα
ἐν μιᾷ αὐτῇ τὴν ἕνωσιν τὴν φυσικὴν ἰδιότητα·
οὔτε γὰρ τὸ σῶμα ἀθάνατον, ἀλλὰ φθαρτόν·
οὔτε ἡ ψυχὴ θνητή, ἀλλ' ἀθάνατος· οὔτε
τὸ σῶμα ἀόρατον, οὔτε ἡ ψυχὴ σωματικοῖς
ὀφθαλμοῖς ὁρατή· ἀλλ' ἡ μὲν, λογική καὶ
νοερὰ καὶ ἀσώματος· τὸ δὲ, παχύ τε καὶ
ὁρατὸν καὶ ἄλογον· οὐ μίας δὲ φύσεως καὶ κατ'
οὐσίαν ἀμφοτέρων διαφερομένων· οὐ μία ἄρα οὐσία
ψυχή τε καὶ σῶμα· καὶ πάλιν, ζῷον λογικὸν θνητὸν
ὁ ἄνθρωπος· πᾶς δὲ ὅρος τῶν ὑποκειμένων
φύσεων ἐστὶ δηλωτικός· οὐ ταυτὸν δὲ κατὰ φύσιν

λόγον τὸ λογικὸν τῷ θνητῷ, οὐκ ἄρα καὶ
θεοῦ ἢ καὶ ὁ ἅγιος· κατὰ τὸν τοῦ οἰκείου ὅρου
σημαινόμενον· εἰ δὲ λέγοι τό ποτε καὶ ἀπὸ
φύσεως ὁ ἅγιος, ἀντὶ τοῦ ἰδίως πρὸς τῆς
θεοῦ παραλαμβάνεται ὄνομα· λεγόντων
ἡμῶν ὅτι οὐ διαλλάττει ἅγιος ἁγίου, κατὰ
τὴν φύσεως διαφοράν, ἀλλὰ τὴν αὐτὴν
οὐσίαν ἔχοντες πάντες οἱ ἅγιοι· καὶ ἐκ ψυχῆς
συντεθειμένοι καὶ σώματος· καὶ διὸ ἐκ τῆς
φύσεως τελοῦντες, ἐν φύσει πάντες ὁρίζονται
ἅγιοι· καὶ οὐ παράλογον τοῦτο· ὅτι ποτε
καὶ πάντων κτιστῶν ὡς γεννητῶν, καὶ ἀπὸ θεοῦ
οἷον ἀθανασία ἔφησεν· ἐν τῷ κατὰ τῶν
βλασφημούντων τὸ πνεῦμα τὸ ἅγιον, οὕτως
λέγων· ὅτι δὲ ἄνω τῆς κτίσεως ἐστὶ τὸ πνεῦμα
τὸ ἅγιον· καὶ ἄλλο μὲν παρὰ τὴν τῶν γεννητῶν
θεῶν· ἴδιον δὲ τῆς θεότητος, ἐξ ἧς πάλιν σημαί-
νειν· πᾶν τὸ κοινὸν καὶ ἐν πολλοῖς θεωρεῖται
οὐ τινὶ μὲν πλέον, τινὶ δὲ ἔλαττον ὑπάρχον,
οἷον ὡς ὀνομάζεται· ἐπειδὴ πᾶς ἅγιος

ἐκ ψυχῆς ἐστι συντεθειμένος καὶ σώματος,
κατὰ τοῦτο μία φύσις τῶν ἀνθρώπων λέγεται·
ἐπὶ δὲ τῆς ὑποστάσεως τοῦ Χριστοῦ λέγειν
δυνάμεθα μίαν φύσιν· αὗται γὰρ αἱ φύσεις σώ-
ζονται· καὶ μηδὲ τὴν ἕνωσιν ἐχάλασε τῆς φύσεως καὶ
ἰδιότητος· καὶ εἶδος Χριστῶν, οὐ καινὸν εὑρεθέν·
οὐ γὰρ ἐγένετο ἄλλο· Χριστὸς ἐκ θεότητός τε καὶ ἀνθρω-
πότητος· θεός τε καὶ ἄνθρωπος ὁ αὐτός· καὶ πάλιν οὐ
ταὐτόν ἐστι τὸ κατ' εἶδος τοῦ ἀνθρώπου ὄν, καὶ τὸ
κατ' οὐσίαν ψυχῆς καὶ σώματος ὄν· τὸ μὲν γὰρ
κατ' εἶδος τοῦ ἀνθρώπου ὄν, τὴν ἐν πᾶσι τοῖς
ἀνθρώποις ἀπαραλλαξίαν ἐνδείκνυται· τὸ δὲ
κατ' οὐσίαν ψυχῆς καὶ σώματος ὄν, αὐτὸ τὸ εἶναι
αὐτῶν λυμαίνεται· εἰς ἀνυπαρξίαν αὐτὰ
παντελῆ ἄγον· ἢ γὰρ τὸ ὂν εἰς τὴν τοῦ ἑτέρου
μεταποιηθήσεται οὐσίαν, ἢ δ' ἐξ ἑτέρων ἕτερον
γενήσεται καὶ ἀμφότερα τραπήσονται· ἢ ἐπὶ
τῶν ἰδίων ὅρων μένοντα, δύο φύσεις ἔσονται·
οὐ γὰρ ταὐτὸν κατ' οὐσίας λόγον τὸ σῶμα τῷ
ἀσωμάτῳ· οὐκ ἄρα χρὴ τοίνυν ὥσπερ ἐπὶ τοῦ

ἀνθρώπου καὶ μίαν φύσιν λέγοντας, οὐδὲ αὐτὸ
ταυτὸν τῆς οὐσιώδους ποιότητος,
ψυχῆς τε καὶ σώματος· ἀλλ' οὐδ' εἰ αὐτὸ ἀ-
παράλλακτον τῶν ὑπὸ τὸ εἶδος ἀναφερομένων
ἀτόμων, καὶ μίαν καὶ ἐπὶ Χριστοῦ φύσιν λέγειν
ἢ τὸ εἶδος περιεκτικὸν πολλῶν ὑποστάσεων·
οὐκ ἔστιν· ἐπειδὴ πᾶσα σύνθεσις, ἐκ τῶν
προσεχῶς συντεθέντων συντεθεῖσθαι
λέγεται· οὐ γὰρ λέγομεν τὸν οἶκον, ἐκ γῆς
καὶ ὕδατος συντεθεῖσθαι, ἀλλ' ἐκ πλίνθων
καὶ ξύλων· ἐπεὶ ἀνάγκη καὶ τὸν ἄνθρωπον λέγειν,
ἐκ πέντε συγκεῖσθαι φύσεων· ἔκ τε τῶν
τεσσάρων στοιχείων καὶ ψυχῆς· οὕτω καὶ
ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐ τὰ μέρη τῶν
μερῶν σκοποῦμεν· ἀλλὰ τὰ προσεχῶς
συντεθέντα θεότητά τε καὶ ἀνθρωπότητα·
ἐπεὶ δὲ καὶ δύο φύσεις τὸν ἄνθρωπον λέγοντες· τρεῖς
φύσεις ἐπὶ Χριστοῦ λέγειν ἀναγκασθησόμεθα·
καὶ ὑμεῖς ἐκ δύο φύσεων τὸν ἄνθρωπον λέγοντες,
ἐκ τριῶν τὸν Χριστὸν δογματίζετε φύσεων· ὁμοί-

καὶ περὶ ἀνδρείων· κατάλληλον τὸ ἅμα ἀρχῇ
τῇ φύσει τὴν ἀνδρείαν εἶναι· ὅτι δὲ δύο
φύσεων ὁ αὐτὸς λέγεταί τε καὶ ἔστι, μάρτυς
ὁ θεολόγος Γρηγόριος· φύσεις μὲν γὰρ δύο φασὶ·
θεὸς καὶ ἄνθρωπος· ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· καὶ ἐν τῷ
περὶ τοῦ βαπτίσματος δὲ λόγῳ· τοιάδε
φησί· διττῶν δὲ οὕτω γενομένων ἐκ ψυχῆς καὶ
σώματος· καὶ τῆς μὲν ὁρατῆς· τῆς δὲ, ἀ-
οράτου φύσεως· διττὴ καὶ ἡ κάθαρσις δι'
ὕδατος καὶ πνεύματος:-

## Περὶ τοῦ τεθεῶσθαι τήν τε φύσιν τῆς τοῦ Χριστοῦ σαρκὸς καὶ τὸ θέλημα:- ξε

Χρὴ δὲ εἰδέναι ὡς οὐ κατὰ μεταβολὴν φύσεως
ἢ τροπὴν ἢ ἀλλοίωσιν ἢ σύγχυσιν ἡ σὰρξ
τοῦ Χριστοῦ τεθεῶσθαι λέγεται καὶ ὁμόθεος
καὶ θεὸς γενέσθαι ὥς φησιν ὁ θεολόγος Γρηγόριος·
ὧν τὸ μὲν ἐθέωσε· τὸ δὲ ἐθεώθη· καὶ
θαρρῶ λέγειν, ὁμόθεον· καὶ αὐτὸ γενέσθαι τὸ
χρῖσαν, καὶ θεὸν τὸ χριόμενον· ταῦτα γὰρ οὐ
κατὰ μεταβολὴν φύσεως, ἀλλὰ κατὰ τὴν
οἰκονομικὴν ἕνωσιν, τὴν καθ' ὑπόστασιν

λέγω· καθ' ἣν ἀδιασπάστως τῷ θεῷ
λόγῳ ἥνωται· καὶ τὴν ἐν ἀλλήλαις τῶν
φύσεων περιχώρησιν ὥς φαμεν καὶ ἐπὶ
τοῦ σιδήρου πυρώσεως· ὥσπερ γὰρ τὴν
ἐνανθρώπησιν χωρὶς μὲν ἀπολήψεως τῆς τρο-
πῆς ὁμολογοῦμεν, οὕτω καὶ τὴν θέωσιν
γενέσθαι τῆς σαρκὸς δοξάζομεν· οὔτε γὰρ
διότι ὁ λόγος σὰρξ ἐγένετο τῶν ὅρων ἐξέ-
στη τῆς οἰκείας θεότητος· οὔτε τῶν προ-
σόντων αὐτῇ θεοπρεπῶν αὐχημάτων· οὔτε
μὴν ἡ σὰρξ θεωθεῖσα, τῆς οἰκείας ἐτρά-
πη φύσεως· ἢ τῶν αὐτῆς φυσικῶν ἰδιωμάτων·
μεμένηκε γὰρ καὶ μετὰ τὴν ἕνωσιν αἱ φύσεις
ἀσύγχυτοι· καὶ αἱ τούτων ἰδιότητες ἀλώ-
βητοι· ἡ δὲ τοῦ χριστοῦ σὰρξ, τῆς θείας ἐνερ-
γείας ἐπλούτησε· διὰ τὴν πρὸς τὸν λόγον
ἀκραιφνεστάτην ἕνωσιν· ἤτοι τὴν καθ'
ὑπόστασιν· οὐδαμῶς τῶν κατὰ φύσιν ἰ-
δίων ὑποστᾶσα ἔκπτωσιν· οὐ γὰρ κατ' οἰκεί-
αν ἐνέργειαν· ἀλλὰ διὰ τὸν ἡνωμένον αὐτῇ

λόγου τῇ θείᾳ ἐνήργει· τοῦ λόγου δι' αὐτῆς
τὴν οἰκείαν ἐνδεικνυμένου ἐνέργειαν·
καὶ γὰρ ὥσπερ ὁ πεπυρακτωμένος σίδηρος,
οὐ φυσικῷ λόγῳ τὴν καυστικὴν κέκτηται
ἐνέργειαν· ἀλλ' ἐκ τῆς πρὸς τὸ πῦρ ἑνώσεως
τοῦτο κτησάμενος· ἡ αὐτὴ τοιγαροῦν, θνη-
τή τε οὖσα δι' ἑαυτὴν καὶ ζωοποιὸς διὰ τὴν πρὸς
τὸν λόγον καθ' ὑπόστασιν ἕνωσιν· ὁμοίως
καὶ τὴν τοῦ θελήματος θέωσιν, οὐχ ὡς μετα-
βληθέντος τῆς φυσικῆς κινήσεως λέγομεν·
ἀλλ' ὡς ἡνωμένου τῷ θείῳ αὐτοῦ καὶ παν-
τοδυνάμῳ θελήματι· καὶ γεγονότος θεοῦ
ἐνανθρωπήσαντος θέλημα· ὅθεν θέλων μὲν
λαθεῖν, οὐκ ἠδυνήθη δι' ἑαυτοῦ, εὐδοκή-
σαντος τοῦ θεοῦ λόγου, δειχθῆναι ἐν αὐτῷ
ἀληθῶς ὑπάρχον τὸ ἀσθενὲς τοῦ ἀνθρωπίνου
θελήματος· θέλων δὲ τὴν τοῦ λεπροῦ
ἐνήργησε κάθαρσιν· διὰ τὴν πρὸς τὸ θεῖον
θέλημα ἕνωσιν· ἰστέον δὲ ὡς ἡ θέωσις
τῆς φύσεως καὶ τοῦ θελήματος, ἐμφαντική ἐστι

καὶ δεικνύντι χωρὶς ταυτότητος τῶν τε δύο φύσεων
καὶ τῶν δύο θελημάτων· ὥσπερ γὰρ ἡ πύ-
ρωσις οὐ μεταβάλλει τὴν τοῦ πυρωθέν-
τος φύσιν εἰς τὴν τοῦ πυρός· ἀλλὰ δηλοῖ τό
τε πυρωθὲν καὶ τὸ πυρῶσαν· καὶ οὐχ ἑνός,
ἀλλὰ δύο ἐστὶ δηλωτικόν, οὕτω καὶ ἡ θέωσις,
οὐ μίαν φύσιν ἀποτελεῖ σύνθετον· ἀλλὰ
τὰς δύο καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν· φησὶ
γοῦν ὁ θεολόγος Γρηγόριος· ὧν τὸ μὲν ἐθέ-
ωσε· τὸ δὲ ἐθεώθη· ὧν εἰπὼν καὶ τὸ μὲν
καὶ τὸ δὲ, δύο ἔδειξεν:– ἔτι περὶ θελημάτων
καὶ αὐτεξουσίων νοῶν τε καὶ γνώσεων καὶ σοφιῶν:–

ξβ Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον λέγοντες τὸν Χριστόν,
πάντως πάντα δώσομεν· τά τε τοῦ
πατρὸς φύσει καὶ τά τε τῆς μητρός· γέγονε γὰρ
ἄνθρωπος, ἵνα τὸ νικηθὲν νικήσῃ· οὐ γὰρ ἀδύνατ-
ος ἦν ὁ τὰ πάντα δυνάμενος, καὶ τῇ παντο-
δυνάμῳ αὐτοῦ ἐξουσίᾳ καὶ δυνάμει ἐξελέσθαι
τοῦ τυραννοῦντος τὸν ἄνθρωπον· ἀλλ' ἦν ἔγκλη-
μα τῷ τυραννοῦντι ὑπὸ θεοῦ ἄνθρωπον

νικήσαντι καὶ ὑπὸ θυμοῦ ἡττηθέντι· αὐτοῦ
οὖν τοῦ πεσόντος νικῆ τὴν ἀναδεῖξαι ὡς
-ληθεὶς ὁ συμπαθὴς θεὸς καὶ φιλάνθρωπος, ἄνθρωπος
γίνεται· τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαλοῦ-
μενος· ὅτι δὲ λογικοῦ καὶ νοεροῦ ζῴου ὁ ἄνθρωπος, οὐ-
δεὶς ἀντερεῖ· πῶς οὖν ἄνθρωπον λέγομεν, εἰ
σάρκα καὶ ἄψυχον ἢ ψυχὴν ἄνουν ἀνείληφεν·
οὐ τοῦτο γὰρ ἄνθρωπος· τί δὲ καὶ τῆς ἡμῶν ἀνακτήσεως
ἀπωνάμεθα, τοῦ πρωτοπαθήσαντος
μὴ σεσωσμένου· μὴ δὲ τῇ συναφείᾳ τῆς
θεότητος ἀνακεκαινισμένου τε καὶ νενευ-
ρωμένου, τὸ γὰρ ἀπρόσληπτον ἀθερά-
πευτον· ἀναλαμβάνει τοίνυν ὅλον τὸν
ἄνθρωπον· καὶ τὸ τούτου κάλλιστον ὑπὸ ἀρρωστίας
πεσόν· ἵνα ὅλως τὴν σωτηρίαν χαρίσηται·
νοῦς δὲ ἄσοφος ἐστερημένος τῆς γνώσεως
οὐκ ἂν εἴη ποτέ· ἢ γὰρ ἂν εὑρεθείη τοῦ καὶ ἀκι-
νήτου, καὶ ἀνυπάρκτου· τὸ κατεικόνα ἀνα-
καινίσαι βουλόμενος ὁ θεὸς λόγος, γέγονεν ἄνθρωπος.
τί δὲ τὸ κατεικόναι ἢ μὴ ὁ νοῦς· τὸ κράτιστον.

οὖν παρεὶς τὸ χεῖρον ἀνέλαβε; νοῦς
γὰρ μεταίχμιον ἐστὶ θεοῦ καὶ σαρκός· τῆς
μὲν, ὡς σύνοικος· τοῦ θεοῦ δὲ, ὡς εἰκών·
νοῦς οὖν νοῒ μίγνυται· καὶ μεσιτεύει νοῦς
θεοῦ καθαρότητι καὶ σαρκὸς παχύτητι·
ἢ τὴν ψυχὴν ἀνθρώπου ὁ Χριστὸς ἀνέλαβεν, ἀλόγου
ζώου ψυχὴν ἀνέλαβε· καὶ διὰ τί σάρκα γεγε-
νῆσθαι τὸν λόγον ἔφη ὁ εὐαγγελιστής·
ἰστέον ὡς παρὰ τῇ θείᾳ γραφῇ ποτὲ μὲν
ψυχὴ λέγεται ὁ ἄνθρωπος· ὡς τὸ ἐν ἑβδομή-
κοντα πέντε ψυχαῖς κατῆλθεν Ἰακὼβ εἰς
Αἴγυπτον· ποτὲ δὲ σάρξ· ὡς τὸ ὄψεται
πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ· οὐ σὰρξ
τοίνυν ἄψυχος· οὐδὲ ἄνους· ἀλλ' ἄνθρωπος
γέγονεν ὁ Χριστός· φησὶ γοῦν αὐτός· τί με δαί-
ρεις· ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάλη-
κα· ἀνέλαβε τοίνυν σάρκα ἐμψυχω-
μένην· ψυχῇ λογικῇ τε καὶ νοερᾷ· ἡγεμονεύουσαν
μὲν τῆς σαρκός· ἡγεμονευομένην δὲ ὑπὸ
τῆς τοῦ λόγου θεότητος· εἶχε μὲν οὖν

φυσικῶς καὶ ὡς θεὸς καὶ ὡς ἄνθρωπος τὸ θέλειν·
ἅπερ τὸ δὲ καὶ ὑπὲρ ταῦτα τὸ τῷ αὐτοῦ
θελήματι μὴ κινούμενον γνώμῃ ἰδίᾳ·
ἀλλὰ ταῦτα θέλον, ἃ τὸ θεῖον αὐτοῦ ἤθελε
θέλημα· παραχωρούσης δὲ τῆς θείας
θελήσεως, ἔπασχε τὰ ἴδια φυσικῶς. ὅτε
μὲν δὲ παρῃτεῖτο τὸν θάνατον φυσικῶς
τῆς θείας αὐτοῦ θελησάσης θελήσεως
καὶ παραχωρησάσης· παρῃτήσατο τὸν
θάνατον· ἠγωνίασέ τε καὶ ἐδειλίασε· καὶ ὅτε
ἠθέλησεν ἡ θεία αὐτοῦ θέλησις αἱρεῖσθαι
τὴν ἀνθρωπίνην αὐτοῦ θέλησιν τὸν θάνατον,
ἑκούσιον αὐτῇ τὸ πάθος ἐγένετο· οὐ γὰρ
καθὸ θεὸς μόνον ἑκουσίως ἑαυτὸν παρέδωκεν·
ἀλλὰ καὶ καθὸ ἄνθρωπος· ὅθεν τὴν κατὰ τοῦ
θανάτου τόλμαν, καὶ ἡμῖν ἐχαρίσατο·
οὕτω γοῦν πρὸ τοῦ σωτηρίου πάθους φησί·
πάτερ εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ
τὸ ποτήριον τοῦτο· δηλονότι ὡς ἄνθρωπος
τὸ ποτήριον πίνειν ἔμελλεν· οὐχ ὡς θεός.

R. M.

ὡς ἄνθρωπος τοίνυν θέλει τὸ ποτήριον πα-
ρελθεῖν· ταῦτα τῆς φυσικῆς δειλίας
τὰ ῥήματα· πλὴν μὴ τὸ ἐμὸν γενέσθω
θέλημα· ἤγουν καθὸ σοῦ πέφυκα ἀνομο-
ούσιος· ταῦτα τῆς εὐτολμίας τὰ ῥήματα·
πρότερον μὲν τῆς φυσικῆς ἀσθενείας
πειραθεῖσα κατ᾽ ἀλήθειαν σὺν καὶ τὴν ἐπὶ τῷ
χωρισμῷ τοῦ σώματος φυσικὴν συμπά-
θειαν παθοῦσα ἡ τοῦ Χριστοῦ ψυχὴ ὡς ἀληθῶς
ἀνθρώπου γενομένου, κατ᾽ εὐδοκίαν αὐτοῦ, αὖ-
θις τῷ θείῳ νευρωθεῖσα θελήματι, τοῦ
θανάτου καταθαρρῶν ἐτύγχανεν· ἐπειδὴ γὰρ
ὁ αὐτὸς ὅλος ἦν θεὸς μετὰ τῆς ἀνθρωπότητος
αὐτοῦ· καὶ ὅλος ἄνθρωπος μετὰ τῆς αὐτοῦ θε-
ότητος, αὐτὸς ὡς ἄνθρωπος ἐν ἑαυτῷ καὶ δι᾽ ἑ-
αυτοῦ ὑπέταξε τὸ ἀνθρώπινον τῷ θεῷ καὶ πα-
τρί, τύπον ἡμῖν ἄριστον καὶ ὑπογραμμὸν ἑαυτὸν
διδούς· καὶ ὑπήκοος τῷ πατρὶ γίνεται· αὐτε-
ξουσίως δὲ ἤθελε τῷ τε θείῳ καὶ τῷ ἀνθρωπίνῳ
θελήματι· πάσῃ γὰρ λογικῇ φύσει, πάντως

ἐμπέφυκε τὸ αὐτεξούσιον θέλημα· διό-
τι τῇ ὀρέξει τὸ λογικὸν μὴ αὐτεξουσίως λο-
-γιζομένη· τὴν μὲν γὰρ φυσικὴν ὄρεξιν καὶ
τοῖς ἀλόγοις ζώοις, ὁ δημιουργὸς ἐνέ-
-σπειρε πρὸς σύστασιν τῆς οἰκείας φύσ(εως)
ἠναγκασμένως αὐτὰ ἄγουσαν· λόγου γὰρ
ἀμοιροῦντα, οὐ δύναται ἄγειν· ἀλλ᾽ ἄγεται
ὑπὸ τῆς φυσικῆς ὀρέξεως· ὅθεν ἅμα ἡ
ὄρεξις γίνεται, εὐθέως καὶ ἡ πρὸς τὴν
πρᾶξιν ὁρμή· οὐ γὰρ λόγῳ ἢ βουλῇ· ἢ σκέψει·
ἢ κρίσει κέχρηται· ὅθεν οὔτε ὡς ἀρετὴν
μετιὸν ἐπαινεῖται καὶ μακαρίζεται,
οὔτε ὡς κακίαν πράττον κολάζεται.
ἡ δὲ λογικὴ φύσις, ἔχει μὲν τὴν φυσικὴν ὄρεξιν
κινουμένην· ὑπὸ δὲ τοῦ λόγου ἀγομένην τε
καὶ ῥυθμιζομένην ἐπὶ τῶν φυλαττόντων
τὸ κατὰ φύσιν· τοῦ γὰρ λόγου τὸ προτέρημα,
τουτέστιν ἡ αὐτεξούσιος θέλησις· ἥν τινα
φυσικὴν ἐν τῷ λογικῷ φαμὲν κίνησιν· διὸ
καὶ ὡς ἀρετὴν μετιοῦσα, ἐπαινεῖται

καὶ μακαρίζεται· καὶ ὡς κακίαν μὴ ἰδοῦσα,
κολάζεται· ὥσπερ ἡ θέλησις μὴ αὐτεξουσίως
κινουμένη, ἡ τοῦ Χριστοῦ ψυχή· ἀλλ' ἐκείνου αὐ-
τεξουσίως ἡ θέλησις, ἀλλ' ἡ θεία αὐτοῦ θέλησις,
ἣ θέλει θέλειν αὐτόν· οὐ τῷ νεύματι τοῦ
λόγου ἡ σὰρξ ἐκινεῖτο· καὶ ὥσπερ οὐδὲ ἐπὶ τῶν ἁγί-
ων οἱ ἄξιοι, νεύματι θείῳ ἐκινοῦντο· ἀλλ'
ὁ αὐτὸς Χριστὸς ὢν θεός τε καὶ ἄνθρωπος, κατά τε τὴν
θείαν καὶ τὴν ἀνθρωπίνην ἤθελε θέλησιν· διὸ οὐ
γνώμη φυσική, δὲ μᾶλλον δύναμις ἀμφοῖν· αἱ δύο
τοῦ Χριστοῦ θελήσεις, σύμφρονα ἀλλήλων· ἡ μὲν
γὰρ θεία αὐτοῦ θέλησις ἄναρχός τε ἦν καὶ
παντουργός· ἑπομένην ἔχουσα τὴν δύναμιν,
καὶ ἀπαθὴς ἦν· ἡ δὲ ἀνθρωπίνη αὐτοῦ θέλησις,
ἀπὸ χρόνου τε ἤρξατο, καὶ αὐτὴ τὰ φυσικὰ
καὶ ἀδιάβλητα πάθη ὑπέμεινε· καὶ φυσικῶς
οὐ παντοδύναμος ἦν· ὡς δὲ τοῦ θεοῦ λόγου
ἀληθῶς καὶ κατὰ φύσιν γενομένη, καὶ παν-
τοδύναμος: — Περὶ θεανδρικῆς ἐνεργείας: —
ξε Ὁ μακάριος Διονύσιος, καινήν τινα θεαν-

-δρικὴν ἐνέργειαν φήσας τοῦ χριστοῦ καὶ μὴν πε-
-πολιτευμένου, οὐ καταιρῶν τὰς φυσικὰς
ἐνεργείας, μίαν ἐνέργειαν ἐκ τε τῆς ἀν-
-θρωπίνης καὶ τῆς θείας γεγενημένην εἰσηγεῖται·
οὕτω γὰρ ἂν καὶ μίαν φύσιν ἢ ποιότητα καινήν·
ἐκ θείας τε καὶ ἀνθρωπίνης γεγενημένην· ὧν
γὰρ ἡ ἐνέργεια μία, τούτων καὶ ἡ οὐσία μία,
κατὰ τοὺς ἁγίους πατέρας· ἀλλὰ θέλων δεῖ-
-ξαι τὸν καινὸν καὶ ἀπόρρητον τρόπον τῆς
τῶν φυσικῶν τοῦ χριστοῦ ἐνεργειῶν ἐκφάνσεως·
τῷ ἀπορρήτῳ τρόπῳ τῆς εἰς ἀλλήλας
τῶν χριστοῦ φύσεων περιχωρήσεως, προσ-
-φόρως καὶ τὴν κατὰ ἄνθρωπον αὐτοῦ πολιτείαν
ξένην καὶ παράδοξον εἴρηκε· καὶ τῇ φύσει τῶν
ὄντων ἄγνωστον οὖσαν, καὶ τὸν τρόπον τῆς κατὰ τὴν
ἀπόρρητον ἕνωσιν ἀντιδόσεως· οὐ διῃρη-
-μένας εἰπὼν τὰς ἐνεργείας· οὐδὲ διῃρη-
-μένως ἐνεργούσας τὰς φύσεις, ἀλλ' ἡνω-
-μένως ἑκάστην μετὰ τῆς θατέρου κοινω-
-νίας, ἐνεργοῦσαν τοῦθ' ὅπερ ἴδιον ἔσχηκε.

οὔτε δὲ τὰ ἀνθρώπινα ἀνθρωπίνως μόνον ἐνήρ-
γησεν· οὔτε δὲ ψιλὸς ἦν ἄνθρωπος· οὐδὲ τὰ θεῖα
κατὰ θεὸν μόνον· οὔτε δὲ ἦν γυμνὸς θεός· ἀλλὰ
θεὸς ὑπάρχων ὁμοῦ καὶ ἄνθρωπος· ὥσπερ γὰρ
τῶν φύσεων τὴν ἕνωσιν καὶ τὴν φυσικὴν
διαφορὰν ἐπιστάμεθα· οὕτω καὶ τῶν
φυσικῶν θελημάτων τε καὶ ἐνεργειῶν· ἰστέον
τοιγαροῦν ὡς ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·
ποτὲ μὲν ὡς ἐπὶ δύο φύσεων τὸν λόγον
ποιοῦμεν· ποτὲ δὲ ὡς ἐφ' ἑνὸς προσώπου·
καὶ τοῦτο δὲ κἀκεῖνο εἰς μίαν ἀναφέρεται
ἔννοιαν· αἱ γὰρ δύο φύσεις, εἷς ἐστι Χριστός· καὶ ὁ
εἷς Χριστός, δύο φύσεις ἐστί· ταὐτὸν οὖν ἐστιν
εἰπεῖν ἐνεργεῖ ὁ Χριστὸς καθ' ἑκατέραν τῶν
αὐτοῦ δύο φύσεων, καὶ ἐνεργεῖ ἑκατέρα
φύσις ἐν τῷ Χριστῷ, μετὰ τῆς θατέρου κοι-
νωνίας· κοινωνεῖ τοίνυν ἡ μὲν θεία φύσις
τῇ σαρκὶ ἐνεργούσῃ· διὰ τὸ εὐδοκίᾳ τῆς
θείας θελήσεως παραχωρεῖσθαι πάσχειν καὶ
πράττειν τὰ ἴδια, καὶ διὰ τὸ τὴν ἐνέργειαν

τῆς σαρκὸς παρ' αὐτῷ πως εἶναι σωτήριον· ὅπερ
οὐ τῆς ἀνθρωπίνης ἐνεργείας ἐστὶν, ἀλλὰ τῆς
θείας. ἡ δὲ σὰρξ, τῇ θεότητι τοῦ λόγου ἑνω-
-θεῖσα· διά τε τοῦ ὡς ὀργάνου τοῦ σώματος
τὰς θείας ἐκτελεῖσθαι ἐνεργείας. καὶ διὰ
τοῦτο εἶναι τὴν ἐνέργειαν ταύτην θεϊκῶς τε
ἅμα καὶ ἀνθρωπίνως· ἔδει γὰρ τὸν Χριστόν. ὡς ὁ ἅγιος
αὐτοῦ νοῦς καὶ τὰς φύσεις καὶ τὰς αὐτοῦ ἐνεργ(είας)
ἐνεργείας· νοῶν καὶ γινώσκων ὅτι ἐστὶ θεοῦ (η)
νοῦς· καὶ ὅτι ὑπὸ πάσης προσκυνεῖται τῆς
κτίσεως· καὶ μεμνημένος τῶν ἐπὶ γῆς
αὐτοῦ διατριβῶν τε καὶ παθῶν· κοινωνεῖ
δὲ ἐνεργοῦσα τῇ τοῦ λόγου θεότητι· καὶ διε-
-ποιούσῃ καὶ κυβερνώσῃ τὸ πᾶν· νοῶν καὶ γινώ-
-σκων καὶ διέπων· οὐχ ὡς ψιλὸς ἀνθρώπου νοῦς·
ἀλλ' ὡς θεοῦ καθ' ὑπόστασιν ἡνωμένος,
καὶ θεοῦ νοῦς χρηματίσας· τοῦτο οὖν δηλοῖ
ἡ θεανδρικὴ ἐνέργεια· ὅτι ἀνδρωθέντος τοῦ
θεοῦ ἤγουν ἐνανθρωπήσαντος, καὶ ἡ ἀνθρωπίνη αὐτοῦ
ἐνέργεια· θεία ἦν ἤγουν τεθεωμένη,

καὶ οὐχ ἄμοιρος τῆς θείας αὐτοῦ ἐνεργείας·
καὶ ἡ θεία αὐτοῦ ἐνέργεια, οὐχ ἄμοιρος
τῆς ἀνθρωπίνης αὐτοῦ ἐνεργείας. ἀλλ' ἑκα-
τέρα σὺν τῇ ἑτέρᾳ θεωρουμένη. λέγεται
δὲ ὁ τρόπος οὗτος περίφρασις· ὅταν τις τὰ
δύο τινὰ διὰ μιᾶς περιλάβῃ λέξεως.
ὥσπερ γὰρ μίαν τὴν τετμημένην καῦσιν
λέγομεν καὶ τὴν κεκαυμένην τομὴν τῆς
πεπυρακτωμένης μαχαίρας. ἀλλ' ἄλλην
δὲ ἐνέργειαν φαμὲν τὴν τομὴν καὶ ἄλλην
τὴν καῦσιν καὶ ἄλλης καὶ ἄλλης φύσεως·
τοῦ μὲν πυρὸς τὴν καῦσιν· τοῦ δὲ σι-
δήρου τὴν τομήν, οὕτω μίαν τοῦ Χριστοῦ θε-
ανδρικὴν ἐνέργειαν λέγοντες, δύο τὰς
ἐνεργείας νοοῦμεν, τῶν δύο φύσεων αὐτοῦ·
τῆς μὲν θεότητος αὐτοῦ, τὴν θείαν·
καὶ τῆς ἀνθρωπότητος αὐτοῦ τὴν ἀνθρωπίνην ἐνέργειαν:-

ξϛ + περὶ τῶν φυσικῶν καὶ ἀδιαβλήτων παθῶν:-

Ὁμολογοῦμεν δὲ ὅτι πάντα τὰ φυσικὰ
καὶ ἀδιάβλητα πάθη τοῦ ἀνθρώπου ἀνε-

λαβεῖν· ὅλον γὰρ τὸν ἄνθρωπον καὶ πάντα τὰ
τοῦ ἀνθρώπου ἀνέλαβε πλὴν τῆς ἁμαρτίας.
αὕτη γὰρ οὐ φυσική, οὐδὲ ὑπὸ τοῦ δημιουργοῦ
ἐν ἡμῖν ἐνσπαρεῖσα· ἀλλ' ἐκ τῆς τοῦ δια-
βόλου ἐπισπορᾶς τῇ ἡμῶν ῥᾳδίᾳ αὐτε-
ξουσίῳ προαιρέσει ἑκουσίως συνιστα-
μένη, οὐ βίᾳ ἡμῶν κρατοῦσα· φυσικὰ
δὲ καὶ ἀδιάβλητα πάθη εἰσί, τὰ οὐκ ἐφ'
ἡμῖν· ὅσα ἐκ τῆς παραβάσει κατακρί-
σεως, εἰς τὸν ἀνθρώπινον εἰσῆλθε βίον· οἷον,
πεῖνα· δίψα· κόπος· πόνος· τὸ δάκρυον·
ἡ φθορά· ἡ τοῦ θανάτου παραίτησις·
ἡ δειλία· ἡ ἀγωνία· ἐξ ἧς οἱ ἱδρῶτες·
οἱ θρόμβοι τοῦ αἵματος· ἡ διὰ τὸ ἀσθενὲς
τῆς φύσεως, ὑπὸ τῶν ἀγγέλων βοήθεια, καὶ τὰ
τοιαῦτα· ἅτινα πᾶσι τοῖς ἀνθρώποις, φυσικῶς
ὑπάρχουσι· πάντα τοίνυν ἀνέλαβεν,
ἵνα πάντα ἁγιάσῃ· ἐπειράσθη καὶ ἐνίκη-
σεν, ἵνα ἡμῖν τὴν νίκην πραγματεύσηται,
καὶ δῷ τῇ φύσει δύναμιν νικᾶν τὸν ἀντίπαλον·

ἵνα καὶ φύσις ἡ παλαιὰ γυνὴ νικηθεῖσα δι' ὧν προ-
βολῶν ἐνικήθη· διὰ τούτων νικήσῃ τὸν
παλαιὸν νικήσαντα· ὅμως διὰ τοῦ πονηροῦ ὅσ' ἔξω
προσέταξεν οὐ διαλογίσει ἐν ὑπερβολῇ τῷ
ἀδάμ· κἀκείνῳ γὰρ οὐ διαλογίσει, ἀλλὰ διὰ
τοῦ ὄφεως· ὁ δὲ χριστὸς τὴν προσβολὴν ἀπε-
κρούσατο· ὥσπερ καπνὸν διελθών· ἵνα προ-
βαλοῦνται αὐτῷ τὰ πάθη καὶ νικηθῶσι·
καὶ ἡμῖν εὐκαταγώνιστα γένηται· καὶ οὕτως
ὁ νέος ἀδὰμ τὸν παλαιὸν ἀνασώσηται.
ἀμέλει τὰ φυσικὰ καὶ ἡμῶν πάθη κατὰ
φύσιν καὶ ὑπὲρ φύσιν ἦσαν ἐν τῷ χριστῷ· κατὰ
φύσιν μὲν γὰρ ἐκινεῖτο ἐν αὐτῷ ὅτε παρεχώρει
τῇ σαρκὶ παθεῖν τὰ ἴδια· ὑπὲρ φύσιν δέ,
οὐ γὰρ προηγεῖτο ἐν τῷ κυρίῳ τῆς θελήσεως
τὰ φυσικά· οὐδὲν γὰρ ἠναγκασμένον ἐπ'
αὐτοῦ θεωρεῖται· ἀλλὰ πάντα ἑκούσια· θέλων
γὰρ ἐπείνασε· θέλων ἐδίψησε· θέλων ἐδει-
λίασε· θέλων ἀπέθανε:- περὶ ἀγνοίας καὶ δουλείας:-

ξζ Δεῖ γινώσκειν ὅτι τὴν μὲν ἄγνοιαν καὶ δουλείαν

ἀμέλει αὐτῆς φύσιν· ὥσπερ δούλη ἐστὶν ἡ ἀμοιροῦσα θεοῦ,
τοῦ ποιήσαντος αὐτὴν θεοῦ· ὥσπερ οὐκ ἔχει τὴν αὐτὴν
τῶν μελλόντων γνῶσιν· ἐὰν οὖν κατὰ
τὸν θεολόγον Γρηγόριον χωρισμὸς τοῦ ὁρω-
-μένου τοῦ νοουμένου, δούλη τε λέγεται
ὥσπερ ἀγνοοῦσα ἡ σάρξ· διὰ δὲ τὴν τῆς ὑποστάσεως
ταυτότητα· ὥσπερ τὴν ἀδιάσπαστον ἕνωσιν κατε-
-πλούτησεν ἡ τοῦ Χριστοῦ ψυχή, τὴν τῶν μελλόν-
-των γνῶσιν ὡς καὶ τὰ λοιπὰ θεοσημίας·
ὥσπερ οὖν ἡ τῶν ἀνθρώπων σὰρξ κατὰ τὴν οἰκείαν
φύσιν οὐκ ἔστι ζωοποιός· ἡ δὲ τοῦ Χριστοῦ σὰρξ ἑνω-
-θεῖσα καθ' ὑπόστασιν αὐτῷ τῷ θεῷ λόγῳ·
τῇ μὲν κατὰ φύσιν θνητότητι οὐκ ἀ-
-παθής· ζωοποιὸς δὲ γέγονε διὰ τὴν πρὸς τὸν θεὸν
λόγον καθ' ὑπόστασιν ἕνωσιν· ὥσπερ οὐ δυνάμε-
-θα λέγειν ὅτι οὐκ ἦν ὥσπερ οὐκ ἔστιν ἀλλὰ ζωοποιεῖ·
οὕτως ἡ μὲν ἀνθρωπίνη φύσις οἰκείως δι' ὅσου οὐκ ἐκέ-
-κτηται τὴν τῶν μελλόντων τὴν γνῶσιν· ἡ δὲ τοῦ
Χριστοῦ ψυχὴ διὰ τὴν πρὸς τὸν θεὸν λόγον ἕνωσιν
καὶ τὴν ὑποστατικὴν ταυτότητα, κατε-

πλούτησεν ὡς ἔφημεν μετὰ τῶν λοιπῶν θεοσημειῶν, καὶ τὴν τῶν μελλόντων γνῶσιν. ἰστέον δὲ ὅτι οὔτε δοῦλον αὐτὸν λέγειν δυνάμεθα· τὰ γὰρ τῆς δουλείας καὶ τῆς δεσποτείας ὀνόματα οὐ φύσεώς εἰσι γνωρίσματα· ἀλλὰ τῶν πρός τι· ὥσπερ τὸ τῆς πατρότητος καὶ τῆς υἱότητος· ταῦτα γὰρ οὐκ οὐσίας, ἀλλὰ σχέσεώς εἰσι δηλωτικά· ὥσπερ οὖν ἐπὶ τῆς ἀγνοίας εἴπομεν· ὅτι ἐὰν ἰσχναῖς ἐπινοίαις ἤτοι λεπταῖς φαντασίαις διέλῃς τὸ κτιστὸν ἐκ τοῦ ἀκτίστου, δούλη ἐστὶν ἡ σάρξ, εἰ μὴ ἥνωτο τῷ θεῷ λόγῳ· ἅπαξ δὲ ἑνωθεῖσα καθ᾽ ὑπόστασιν, πῶς ἔσται δούλη· εἷς γὰρ ὢν ὁ Χριστός, οὐ δύναται δοῦλος ἑαυτοῦ εἶναι καὶ κύριος· ταῦτα γὰρ οὐ τῶν ἁπλῶς λεγομένων εἰσίν, ἀλλὰ τῶν πρὸς ἕτερον· τίνος οὖν ἔσται δοῦλος; τοῦ πατρός; οὐκοῦν οὐ πάντα ὅσα ἔχει ὁ πατὴρ καὶ τοῦ υἱοῦ εἰσιν· εἴπερ τοῦ πατρός ἐστι δοῦλος, ἑαυτοῦ δὲ οὐδαμῶς· πῶς δὲ περὶ ἡμῶν λέγει ὁ ἀπόστολος· ὥστε οὐκέτι

ἢ δοῦλος, ἀλλ' υἱός· δι' αὐτοῦ υἱοθετηθέντες,
ἢ παρ' αὐτοῦ δοῦλός ἐστι· προσηγορικῶς
οὖν λέγεται δοῦλος· οὐ καθ' αὑτὸ ὢν τοῦτο·
δι' ἡμᾶς δὲ δούλου μορφὴν ἀνείληφε· καὶ
δοῦλος μεθ' ἡμῶν κεχρημάτικεν· ἀπαθὴς γὰρ
ὢν δι' ἡμᾶς ἐδούλευσε πάθει· καὶ διάκονος
τῆς ἡμῶν σωτηρίας γέγονεν· οἱ δὲ λέγοντες
αὐτὸν δοῦλον, διαιροῦσι τὸν ἕνα Χριστὸν εἰς δύο
καθάπερ Νεστόριος· ἡμεῖς δὲ δεσπότην
αὐτὸν φαμέν· καὶ κύριον πάσης τῆς κτίσεως τὸν
ἕνα Χριστόν· τὸν αὐτὸν θεόν τε ὁμοῦ καὶ ἄνθρωπον· καὶ
πάντ' εἰδέναι· ἐν αὐτῷ γάρ εἰσι πάντες
οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως
ἀπόκρυφοι:-

περὶ προκοπῆς:- ξζ

Προκόπτειν δὲ λέγεται σοφίᾳ καὶ ἡλικίᾳ καὶ
χάριτι· τῇ μὲν ἡλικίᾳ αὔξων· διὰ δὲ τῆς
αὐξήσεως τῆς ἡλικίας, τὴν ἐν αὐτῷ ὑπάρχουσαν
σοφίαν, εἰς φανέρωσιν ἄγων· ἔτι
δὲ τὴν τῶν ἀνθρώπων ἐν σοφίᾳ καὶ χάριτι προ-
κοπήν· καὶ τὴν τελείωσιν τῆς τοῦ πατρὸς

εὐδοκίας· ἤγουν τὴν τῶν ἁγίων θεογνωσί-
ας τε καὶ σοφίαν οἰκείαν προκοπὴν ποιούμενος·
καὶ οἰκειούμενος πανταχοῦ τὸ ἡμέτερον· οἱ
δὲ προκόπτειν αὐτὸν λέγοντες σοφίᾳ καὶ
χάριτι, ὡς τῇ προσθήκῃ τούτων δεχόμενον,
οὐκ ἐκ τῆς ἄκρας ὑπάρξεως τῆς σαρκὸς γεγε-
νῆσθαι τὴν ἕνωσιν λέγουσιν· οὐδὲ τὴν καθ' ὑπό-
στασιν ἕνωσιν πρεσβεύουσι· νεστορίῳ δὲ
τῷ ματαιόφρονι πειθόμενοι, σχετικὴν
ἕνωσιν καὶ ψιλὴν ἐνοίκησιν τερατεύονται·
μὴ γινώσκοντες μήτε ἃ λέγουσι, μήτε
περὶ τίνων διαβεβαιοῦνται· εἰ γὰρ ἀληθῶς
ἡνώθη τῷ θεῷ λόγῳ ἡ σὰρξ ἐξ ἄκρας ὑπάρ-
ξεως, μᾶλλον δὲ ἐν αὐτῷ ὑπῆρξε· καὶ τὴν ὑποστα-
σιν καὶ πρὸς αὐτὸν ἔσχε ταυτότητα, πλουτεῖ λοιπὸν
κατεπλούτησε πᾶσαν σοφίαν καὶ χάριν,
οὐ κατ' αὐτὴν τῆς χάριτος μεταλαμβάνουσα,
οὐδὲ κατὰ χάριν τῶν τοῦ λόγου μετέχουσα·
ἀλλὰ μᾶλλον διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν
τῶν τε ἀνθρωπίνων τῶν τε θείων, τοῦ ἑνὸς

Χριστοῦ γεγονότων· ἐπειδὴ ὁ αὐτὸς κύριος θεός τε
ὁμοῦ καὶ ἄνθρωπος, τὴν χάριν καὶ τὴν σοφίαν καὶ
πάντων τῶν ἀγαθῶν τὴν πληρότητα
κόσμῳ παρέσχετο :- Περὶ δειλίας :- ξθ

Τὸ τῆς δειλίας ὄνομα, δηλοῖ πλὴν ἔχει τὴν ἔννοιαν·
ἔστι δὲ δειλία φυσική· μὴ θέλουσα τῆς ψυχῆς
διαιρεθῆναι τοῦ σώματος, διὰ τὴν ἐξ ἀρχῆς
ὑπὸ τοῦ δημιουργοῦ ἐντεθεῖσαν αὐτῇ φυ-
σικὴν συμπάθειάν τε καὶ οἰκειότητα, δι' ἣν
φυσικῶς φοβεῖται καὶ ἀγωνιᾷ καὶ ταράττεται τὸν
θάνατον· ὁ ὅρος κατὰ φύσιν δειλίας ἐστί, ὅρος δειλίας:
δύναμις κατὰ συστολὴν τοῦ ὄντος ἀντεχτική·
ἐπειδὴ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη ὑπὸ
τοῦ δημιουργοῦ τὰ πάντα, τοῦ εἶναι καὶ οὐ τοῦ
μὴ εἶναι τὴν ἔφεσιν ἔχει φυσικήν· τούτων δὲ
κατὰ φύσιν ἴδιον, ἡ πρὸς τὰ συστατικὰ ὁρμή.
καὶ ὁ θεὸς λόγος τοίνυν ἄνθρωπος γενόμενος, ἔσχε ταύτην
τὴν ἔφεσιν· ἐν μὲν τοῖς συστατικοῖς τῆς φύσεως,
τὴν ὁρμὴν ἐνδειξάμενος· βρώσεώς τε καὶ πόσεως·
ὕπνου τε ἐφιέμενος· καὶ φυσικῶς ἐπειρ-

τούτων γινομένων· ἡ δὲ τοῖς φθαρτικοῖς
τὴν ἀφορμήν· ὡς τῷ καιρῷ τοῦ πάθους
ἑκουσίως τε γὰρ καὶ τὴν τοῦ θανάτου συστολὴν
ποιήσασθαι· οὐ γὰρ νόμῳ φύσεως ἐγίνετο τὰ
γινόμενα· ἀλλ' οὐ καθ' ἡμᾶς ἠναγκασμένως
ἑκουσίως γὰρ τῇ φύσει καὶ θέλων κατεδέ-
ξατο· ὥστε αὕτη ἡ δειλία, ὁ φόβος, ἡ ἀγω-
νία, τῶν φυσικῶν ἐστι καὶ ἀδιαβλήτων παθῶν
καὶ μὴ ὑποκειμένων ἁμαρτίᾳ· ἔστι πάλιν δειλία
καὶ ἡ ἐκ προδοσίας λογισμῶν συνισταμένη καὶ ἀπι-
στίας καὶ τοῦ ἀγνοεῖν τὴν τοῦ θανάτου ὥραν·
ὡς ὅταν νύκτωρ δειλιῶμεν ἤχου ψόφου τινὸς
γινομένου, ἥτις παρὰ φύσιν ἐστίν· ἣν ὁρι-
ζόμενοι λέγομεν· παρὰ φύσιν δειλία ἐστὶ
παράλογος συστολή· ταύτην ὁ κύριος οὐ προσ-
ήκατο· διὸ οὐδὲ ἐδειλίασε ποτέ, εἰ μὴ
ἐν τῷ τοῦ πάθους καιρῷ· καὶ οἰκονομικῶς ἑαυ-
τὸν συνέστελλε πολλάκις· οὐ γὰρ ἠγνόει τὸν καιρόν·
ὅτι δὲ ἀληθῶς ἐδειλίασε, φησὶν ὁ ἱερὸς
Ἀθανάσιος ἐν τῷ κατὰ Ἀπολιναρίου

λόγῳ· διὰ τοῦτο ὁ Χριστὸς ἔλεγε· νῦν ἡ ψυχή μου
τετάρακται. τὸ δὲ νῦν τοῦτό ἐστιν· ὅτε
ἠθέλησεν. ὅμως μέντοι τὸ ὂν ἐπιδείκνυται.
οὔτε τὸ μὴ ὂν ὡς παρὸν ὠνόμαζεν, ὡς
δοκήσει γινομένων τῶν λεγομένων· φύσει δὲ
καὶ ἀληθείᾳ ταῦτα πάντα ἐγίνετο. καὶ μεθ' ἑτέρων·
οὐδαμοῦ δὲ θεότητος πάθος προσάπτεται, διὰ
πάθος τοῦ σώματος· οὐδὲ ταραχὴν καὶ λύπην
ἐπιδείκνυται, διὰ ψυχῆς λυπουμένης
καὶ ταρασσομένης· οὔτε ἀδημονεῖ καὶ προσεύ-
χεται, διὰ χαυνώσεως ἀδημονούσης καὶ
προσευχομένης· ἀλλὰ καὶ μὴ τῇ ἡμετέρᾳ
φύσει ὢν ἐμάνθανε τὰ γινόμενα, ἀλλ' ἐπιδεῖξαι
ὑπάρξει ἐγίνετο ταῦτα γινόμενα, τὸ μὴ ἀκουσίως
ταῦτα ὑπομένειν δηλοῖ:— περὶ τῆς τοῦ Χριστοῦ προσευχῆς:—

Προσευχή ἐστιν, ἀνάβασις νοῦ πρὸς θεόν· ἡ αἴτη-
σις τῶν προσηκόντων παρὰ θεοῦ. πῶς οὖν
ὁ Χριστὸς ἐπὶ Λαζάρου, καὶ τῷ καιρῷ τοῦ πάθους
προσηύχετο· οὔτε γὰρ ἀναβάσεως τινὸς πρὸς
θεὸν ἐδεῖτο ὁ ἅγιος αὐτοῦ νοῦς, ἅπαξ

καθ' ὑπόστασιν τῷ θεῷ λόγῳ ἡνωμένος,
οὔτε τῆς παρὰ θεοῦ ἀντιλήψεως ἐδεήθη
ὁ Χριστός· ἀλλὰ τὸ ἡμέτερον οἰκειούμενος πρό-
σωπον· καὶ τυπῶν ἐν ἑαυτῷ τὸ ἡμέτερον·
καὶ ὑπογραμμὸς ἡμῖν γινόμενος καὶ διδάσκων
ἡμᾶς παρὰ θεοῦ αἰτεῖν, καὶ πρὸς αὐτὸν ἀνα-
τείνεσθαι. καὶ διὰ τοῦ ἀξίου αὐτοῦ νοῦ, ὁδο-
ποιῶν ἡμῖν τὴν πρὸς θεὸν ἀνάβασιν· ὥσπερ
γὰρ τὰ πάθη ὑπέμεινεν· ἡμῖν τὴν κατ'
αὐτῶν νίκην βραβεύων, οὕτω καὶ προσεύχεται
ἡμῖν ὁδοποιῶν ὡς ἔφην τὴν πρὸς θεὸν
ἀνάβασιν· ὑπὲρ ἡμῶν πᾶσαν δικαιο-
σύνην πληρῶν ὡς ἔφη πρὸς Ἰωάννην· καὶ καταλ-
λάττων ἡμῖν τὸν ἑαυτοῦ πατέρα· καὶ ὡς ἀρχὴν
καὶ αἰτίαν ἑαυτοῦ τοῦτον τιμῶν· καὶ δει-
κνὺς ὡς οὐκ ἔστιν ἀντίθεος· ὅτε μετὰ τὰς
ἔλεγεν ἐπὶ Λαζάρου· πάτερ εὐχαριστῶ σοι
ὅτι ἤκουσάς μου· ἐγὼ δὲ ᾔδειν ὅτι πάν-
τοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν περιεστῶ-
τα ὄχλον εἶπον, ἵνα γνῶσιν ὅτι σύ

με ἀπέστειλας· οὐ πᾶσι σαφέστατον πέ-
-φυκεν. ὅτι πῶς ἀρχὴν καὶ αἰτίαν τιμῶν τὸν
ἑαυτοῦ πατέρα, καὶ δεικνὺς ὡς οὐκ ἔστιν ἀντί-
-θεος· ὅτε δὲ ἔλεγε· πάτερ, εἰ δυνατόν, παρελ-
-θέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλήν,
οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· οὐ πάντη τοῦτο
δῆλον ἦν· ὡς διδάσκων ἡμᾶς ἐν τοῖς πει-
-ρασμοῖς παρὰ μόνου τοῦ θεοῦ αἰτεῖν τὴν
βοήθειαν· καὶ τὸ θεῖον τοῦ ἡμετέρου προ-
κρίνειν θελήματος, καὶ δεικνὺς ὡς ἀληθῶς
ταῖς τῆς ἡμετέρας οἰκειώσατο φύσεως,
ὅτι τε κατὰ ἀλήθειαν δύο θελήματα
φύσει καὶ μὴν καὶ τῶν αὐτοῦ κατάλληλα φύσει·
ἀλλ' οὐχ ὑπεναντία κέκτηται· πατέρα φησὶν,
ὡς ὁμοούσιος· εἰ δυνατόν, οὐκ ἀγνοῶν· τὸ δὲ
καὶ τῷ θεῷ ἀδύνατον, ἀλλὰ παιδαγωγῶν ἡμᾶς
τὸ θεῖον τοῦ ἡμετέρου προκρίνειν θελήματος·
τοῦτο γὰρ μόνον ἀδύνατον ὃ θεὸς οὐ βούλεται
οὐδὲ παραχωρεῖ· πλὴν οὐχ ὡς ἐγὼ θέλω,
ἀλλ' ὡς σύ· ὡς μὲν θεὸς ταυτοθελὴς ὢν τῷ

S. m.

πρί· ὡς δὲ ἄνθρωπος, τὸ τῆς ἀνθρωπότητος
φυσικῶς ἐνδεικνύμενος θέλημα· τοῦτο
γὰρ φυσικῶς παραιτεῖται τὸν θάνατον·
τὸ δὲ, θεέ μου θεέ μου ἵνα τί με ἐγκατέ-
λιπες, τὸ ἡμέτερον οἰκειούμενος ἔφη πρό-
σωπον. οὔτε γὰρ ὁ θεὸς αὐτοῦ ὁ πατὴρ ἡμῶν,
εἰ μὴ διαιρεθῇ τῇ ἰσχνῇ τοῦ νοῦ φαντασίᾳ
τοῦ ὁρωμένου ἐκ τοῦ νοουμένου μεθ' ἡμῶν
τάττοιτο· οὔτε κατελείφθη ὑπὸ τῆς οἰ-
κείας θεότητος· ἀλλ' ἡμεῖς ἦμεν οἱ ἐγκατα-
λελειμμένοι καὶ παρεωραμένοι· ὥστε
τὸ ἡμέτερον οἰκειούμενος πρόσωπον
ταῦτα προσηύξατο:— περὶ οἰκειώσεως:—
οα Χρὴ δὲ γινώσκειν ὡς δύο εἰσὶν οἰκειώσεις· μία
φυσικὴ καὶ οὐσιώδης, καὶ μία προσωπικὴ
καὶ σχετική· φυσικὴ μὲν οὖν καὶ οὐσιώδης,
καθ' ἣν διὰ φιλανθρωπίαν ὁ κύριος τήν τε φύσιν
ἡμῶν καὶ τὰ φυσικὰ πάντα ἀνέλαβε·
φύσει καὶ ἀληθείᾳ γενόμενος ἄνθρωπος· καὶ τῶν
φυσικῶν ἐν πείρᾳ γενόμενος· προσω-

-τικὴ δέ, ὅτε τις τὸ ἑτέρου ὑποδύεται
πρόσωπον διὰ σχέσιν· οἶκτον φημὶ καὶ
ἀγάπην· καὶ ἀνθ' ἑαυτοῦ τοὺς ὑπὲρ αὐτοῦ
ποιεῖται λόγους, μηδὲν αὐτῷ προσήκοντας·
καθ' ἣν, τήν τε κατάραν καὶ τὴν ἐγκατα-
-λειψιν ἡμῶν καὶ τὰ τοιαῦτα· οὐκ ὄντα
φυσικά· οὐκ αὐτὸς ταῦτα ὢν ἢ γενόμενος,
ᾠκειώσατο· ἀλλὰ τὸ ἡμέτερον ἀναδεχό-
-μενος πρόσωπον καὶ μεθ' ἡμῶν ταττό-
-μενος· τοιοῦτον δέ ἐστι καὶ τὸ γενόμενος ὑπὲρ
ἡμῶν κατάρα:-

## περὶ πάθους τοῦ σώματος τοῦ Χριστοῦ καὶ τῆς ἀπαθείας τῆς αὐτοῦ θεότητος:- οβ

Αὐτὸς οὖν ὁ τοῦ Θεοῦ Λόγος πάντα ὑπέμεινε
σαρκί· τῆς θείας καὶ μόνης ἀπαθοῦς αὐτοῦ
φύσεως, ἀπαθοῦς μενούσης· τοῦ γὰρ ἑνὸς Χριστοῦ τοῦ
ἐκ θεότητός τε καὶ ἀνθρωπότητος συντεθειμένου·
ἐν θεότητί τε καὶ ἀνθρωπότητι ὄντος πάσχοντος·
τὸ μὲν παθητὸν ὡς πεφυκὸς πάσχειν
ἔπασχε· οὐ συνέπασχε δὲ τὸ ἀπαθές·
ἡ μὲν γὰρ ψυχὴ παθητὴ οὖσα, τοῦ σώματος

τεμνομένου αὐτὴ μὴ τεμνομένη, οὕτω δὴ ζεῖ καὶ συμπάσχει τῷ σώματι· ἡ δὲ θεότης ἀπαθὴς οὖσα, οὐ συνέπασχε τῷ σώματι· ἴστε γοῦν ὅτι θεὸν σαρκὶ παθοῦντα φαμέν· θεότητα δὲ σαρκὶ παθοῦσαν· ἢ θεὸν διὰ σαρκὸς παθοῦντα, οὐδαμῶς. ὥσπερ τοῦ ἡλίου δένδρῳ ἐπιλάμποντος, εἰ ἀξίνη τέμνοιτο τὸ δένδρον αὐτὴ μὴ τμηθεῖσα καὶ ἀπαθὴς διαμένει ὁ ἥλιος, πολλῷ μᾶλλον ἡ ἀπαθὴς τοῦ λόγου θεότης καθ᾽ ὑπόστασιν ἡνωμένη τῇ σαρκί· τῆς σαρκὸς πασχούσης, διαμένει ἀπαθής· καὶ ὥσπερ εἴ τις πεπυρακτωμένῳ σιδήρῳ ἐπιχέοι ὕδωρ, ὃ μὲν πέφυκε πάσχειν ὑπὸ τοῦ ὕδατος, τὸ πῦρ λέγω, σβέννυται· ἀπαθὴς δὲ διαμένει ὁ σίδηρος· οὐ πέφυκε γὰρ ὑπὸ τοῦ ὕδατος διαφθείρεσθαι, πολλῷ πλέον τῆς σαρκὸς πασχούσης, ἡ μόνη ἀπαθὴς θεότης τὸ πάθος οὐ προσήκατο, καὶ ἀχώριστος αὐτῆς διαμένουσα· οὐκ ἀνάγκη γὰρ παν

-τελῶς καὶ ἀπελθεῖν πῶς ἐοικέναι τὰ
παραδείγματα. ἀνάγκη τῶν τοῖς παρα-
-δείγμασι, καὶ τὸ ὅμοιον θεωρεῖσθαι
καὶ τὸ παρηλλαγμένον. ἐπεὶ οὖν παράδειγ-
-μα τὸ τῶν πᾶσιν ὅμοιον, ταυτὸν ἂν εἴη
καὶ οὐ παράδειγμα. καὶ μάλιστα ἐπὶ τῶν θεί-
ων ἀδύνατον τῶν πᾶσιν ὅμοιον εὑρεῖν παρα-
-δείγματα. ἐπί τε τῆς θεολογίας. ἐπί τε
τῆς οἰκονομίας. — περὶ τοῦ ἀχώριστον
διαμεῖναι τὴν τοῦ λόγου θεότητα τῆς
ψυχῆς καὶ τοῦ σώματος καὶ ἐν τῷ θανάτῳ
τοῦ Χριστοῦ καὶ μίαν διαμεῖναι ὑπόστασιν +

Ἀναμάρτητος ὢν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· ἁμαρ- ὅτι
τίαν γὰρ οὐκ ἐποίησεν ὁ αἴρων τὴν ἁμαρ-
-τίαν τοῦ κόσμου· οὐδὲ εὑρέθη δόλος
ἐν τῷ στόματι αὐτοῦ, οὐχ ὑπέκειτο θα-
-νάτῳ. εἴγε διὰ τῆς ἁμαρτίας εἰς τὸν
κόσμον εἰσῆλθεν ὁ θάνατος. θνήσκει
τοίνυν ὁ τὸν ὑπὲρ ἡμῶν θάνατον ἀνα-
δεχόμενος. καὶ ἑαυτὸν τῷ πατρὶ προσφέρει

θυσίαν ὑπὲρ ἡμῶν· αὐτῷ γὰρ πεπλημ-
μελήκαμεν· καὶ αὐτοῦ ἔδει τὸ ὑπὲρ ἡμῶν
λύτρον δέξασθαι· καὶ οὕτως ἡμᾶς λυθῆναι
τῆς κατακρίσεως· μὴ γὰρ γένοιτο τῷ τυ-
ράννῳ τὸ τοῦ δεσπότου προσενεχθῆναι
αἷμα· προσεισὶ τοιγαροῦν ὁ θάνατος· καὶ
καταπιὼν τὸ τοῦ σώματος δέλεαρ, τῷ
τῆς θεότητος ἀγκίστρῳ περιπείρεται·
καὶ ἀναμαρτήτου καὶ ζωοποιοῦ σώματος
γευσάμενος, διαφθείρεται· καὶ πάντας ἀνα-
δίδωσιν οὓς πάλαι κατέπιεν· ὥσπερ γὰρ τὸ
σκότος τῇ τοῦ φωτὸς ἐπεισαγωγῇ
ἐξαφανίζεται, οὕτως ἡ φθορὰ τῇ τῆς
ζωῆς προσβολῇ ἀπελαύνεται· καὶ γίνεται
πᾶσι ζωή· φθορὰ δὲ τῷ φθείραντι· εἰ καὶ
τέθνηκε τοιγαροῦν ὡς ἄνθρωπος· καὶ ἡ ἁγία
αὐτοῦ ψυχὴ τοῦ ἀχράντου διῃρέθη σώματος,
ἀλλ' ἡ θεότης ἀχώριστος ἀμφοτέρων διέ-
μεινε· τῆς τε ψυχῆς φημὶ καὶ τοῦ σώματος·
καὶ οὐδὲ οὕτως ἡ μία ὑπόστασις εἰς δύο

ὑποστάσεως διῃρέθη· τό τε γὰρ σῶμα καὶ
ἡ ψυχὴ κατ᾽ αὐτὰ τὰ αὐτοῦ ἐξ ἀρχῆς ἐν τῇ τοῦ
λόγου ὑποστάσει ἔσχον τὴν ὕπαρξιν· καὶ ἐν τῷ
θανάτῳ ἀλλήλων διαιρεθέντα, ἕκαστον
αὐτῶν ἔμεινε τὴν μίαν ὑπόστασιν τοῦ λό-
γου ἔχοντα· ὥστε ἡ μία τοῦ λόγου ὑπόστασις
τοῦ τε λόγου καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος
ὑπάρχει ὑπόστασις· οὐδέποτε γὰρ οὐδὲ ἡ
ψυχὴ οὐδὲ τὸ σῶμα, ἰδίαν ἔσχον ὑπόστασιν
παρὰ τὴν τοῦ λόγου ὑπόστασιν· μία δὲ ἀεὶ
ἡ τοῦ λόγου ὑπόστασις· καὶ οὐδέποτε δύο·
ὥστε μία ἡ τοῦ Χριστοῦ ὑπόστασις· ὥστε
καὶ τοπικῶς ἡ ψυχὴ τοῦ σώματος κε-
χώριστο, ἀλλ᾽ ὑποστατικῶς διὰ τοῦ λόγου
ἥνωτο:- Περὶ φθορᾶς καὶ διαφθορᾶς:- ὅλ

Τὸ τῆς φθορᾶς ὄνομα δύο σημαίνει· ση-
μαίνει γὰρ τὰ ἀνθρώπινα ταῦτα πάθη· πεῖναν·
δίψαν· κόπον· τὴν τῶν ἥλων διάτρησιν·
θάνατον· ἤτοι χωρισμὸν τῆς ψυχῆς
ἐκ τοῦ σώματος, καὶ τὰ τοιαῦτα· κατὰ

τοῦτο τὸ σημαινόμενον, φθαρτὸν γοῦν τοῦ
χ(ριστο)ῦ τὸ σῶμα φαμέν· πάντα γὰρ ταῦτα
ἔχοντα ὡς ἀνέλαβε· σημαίνει δὲ ἡ φθο-
ρά, καὶ τὴν τελείαν τοῦ σώματος εἰς τὰ
ἐξ ὧν συνετέθη στοιχεῖα διάλυσιν καὶ
ἀφανισμόν· ἥτις μᾶλλον ὑπὸ πολλῶν
διαφθορὰ λέγεταί τε καὶ ὀνομάζεται· ταύ-
την τὴν πεῖραν τὸ τοῦ χ(ριστο)ῦ σῶμα οὐκ ἔσχεν ὡς
φησὶν ὁ θεῖος Δαυΐδ· ὅτι οὐκ ἐγκαταλείψεις
τὴν ψυχήν μου εἰς ἅδην· οὐδὲ δώσεις
τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν· ἄφθαρ-
τον μὲν οὖν κατὰ τὸν ἄφρονα Ἰουλιανὸν
καὶ Γαϊανὸν τὸ σῶμα τοῦ χ(ριστο)ῦ λέγειν κατὰ
τὸ πρῶτον τῆς φθορᾶς σημαινόμενον
πρὸ τῆς ἀναστάσεως, ἀσεβές· εἰ γὰρ
ἄφθαρτον, οὐχ ὁμοούσιον ἡμῖν· ἀλλὰ καὶ
δοκήσει καὶ οὐκ ἀληθείᾳ γέγονεν, ἃ γέγονεν
φησὶ τὸ εὐαγγέλιον· τὴν πεῖναν· τὴν δίψαν·
τοὺς ἥλους· τὴν τῆς πλευρᾶς νύξιν· τὸν θά-
νατον· εἰ δὲ δοκήσει γέγονε, φενακισμὸς

καὶ σχῆμα ἦν τὸ τῆς οἰκονομίας μυστήριον·
καὶ δοκήσει καὶ οὐκ ἀληθείᾳ σεσώσμεθα·
ἀλλ᾽ ἄπαγε· καὶ οἱ ταῦτα λέγοντες, τῆς
σωτηρίας ἄμοιροι ἔστωσαν· ἡμεῖς δὲ τῆς ἀλη-
θοῦς σωτηρίας ἐπιτυχόντες, καὶ τευξόμεθα· κατὰ
δὲ τὸ δεύτερον τῆς φθορᾶς σημαινόμενον,
ἄφθαρτον ἤτοι ἀπαθὲς ἄφθορον ὁμολογοῦμεν,
τὸ τοῦ Χριστοῦ σῶμα· καθὼς ἡμῖν οἱ θεο-
φόροι πατέρες παραδεδώκασι· μετὰ μέν-
τοι τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ σωτῆρος, καὶ
κατὰ τὸ πρότερον σημαινόμενον, ἄφθαρτον
τὸ τοῦ Χριστοῦ σῶμα φαμέν· καὶ τῷ ἡμετέρῳ
τῷ σώματι τήν τε ἀνάστασιν καὶ τὴν μετὰ-
ταῦτα ἀφθαρσίαν ὁ κύριος, διὰ τοῦ ἰδίου
ἐδωρήσατο σώματος· αὐτὸς ἀπαρχὴ
τῆς τε ἀναστάσεως καὶ τῆς ἀφθαρσίας
καὶ τῆς ἀπαθείας ἡμῖν γενόμενος.
δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀ-
φθαρσίαν, φησὶν ὁ θεῖος ἀπόστολος:—

+ περὶ τῆς ἐν τῷ ᾅδῃ καθόδου:- οε

Κάτεισιν εἰς ᾅδην ψυχὴ τεθεωμένη· ἵνα
ὥσπερ τοῖς ἐν τῇ γῇ ὁ τῆς δικαιοσύνης
ἀνέτειλεν ἥλιος, οὕτω καὶ τοῖς ὑπὸ γῆν ἐν
σκότει καὶ σκιᾷ θανάτου καθημένοις
ἐπιλάμψῃ τὸ φῶς· ἵνα ὥσπερ τοῖς
ἐν γῇ εὐηγγελίσατο εἰρήνην· αἰχμαλώτοις
ἄφεσιν· καὶ τυφλοῖς ἀνάβλεψιν· καὶ τοῖς
πιστεύσασι γέγονεν αἴτιος σωτηρίας αἰωνίου·
τοῖς δὲ ἀπειθήσασιν ἔλεγχος ἀπιστίας,
οὕτω καὶ τοῖς ἐν ᾅδου· ἵνα αὐτῷ κάμψῃ
πᾶν γόνυ· ἐπουρανίων καὶ ἐπιγείων καὶ κατα-
χθονίων· καὶ οὕτω τοὺς ἀπ' αἰῶνος λύσας
πεπεδημένους, αὖθις ἐκ νεκρῶν ἀνε-
φοίτησεν, ὁδοποιήσας ἡμῖν τὴν ἀνάστασιν:-

ο̄ϛ περὶ τῶν μετὰ τὴν ἀνάστασιν :-

Μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν, πάντα
μὲν τὰ πάθη ἀπέθετο· φθορὰν λέγω· πεῖ-
ναν τε καὶ δίψαν· ὕπνον· κάματον· καὶ τὰ
τοιαῦτα· εἰ γὰρ καὶ ἐγεύσατο βρώσεως μετὰ
τὴν ἀνάστασιν, ἀλλ' οὐ νόμῳ φύσεως· οὐ γὰρ

ἐπείνασεν· οἰκονομίας δὲ τρόπῳ τὸ
ἀληθὲς πιστούμενος τῆς ἀναστάσεως·
ὡς αὐτή ἐστιν ἡ σὰρξ ἡ παθοῦσα καὶ ἀναστᾶσα·
οὐδὲν δὲ τῶν τῆς φύσεως μορίων ἀπέθετο·
οὐ σῶμα· οὐ ψυχήν· ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν
ψυχὴν λογικήν τε καὶ νοεράν· θελητικήν τε
καὶ ἐνεργητικὴν κέκτηται· καὶ οὕτως ἐς οὐ-
ρανοὺς ἀνεφοίτησε· καὶ οὕτως ἐν δεξιᾷ
τοῦ πατρὸς καθέζεται· θέλων θεϊκῶς τε
καὶ ἀνθρωπίνως τὴν ἡμῶν σωτηρίαν· καὶ ἐνεργῶν θε-
ϊκῶς μὲν τὴν τῶν ὅλων πρόνοιάν τε
καὶ συντήρησιν καὶ κυβέρνησιν· ἀνθρωπίνως
δὲ μεμνημένος τῶν ἐπὶ γῆς διατριβῶν·
ὁρῶν τε καὶ γινώσκων ὡς ὑπὸ πάσης
προσκυνεῖται τῆς λογικῆς κτίσεως·
γινώσκει γὰρ ἡ ἁγία αὐτοῦ ψυχή· ὅτι τε
καθ᾽ ὑπόστασιν ἥνωται τῷ θεῷ λόγῳ· καὶ
συμπροσκυνεῖται ὡς θεοῦ ψυχή, καὶ οὐχ
ὡς ἁπλῶς ψυχή· καὶ τὸ ἀναβῆναι δὲ ἐκ
γῆς εἰς οὐρανούς· καὶ τὸ καταβῆναι πάλιν

ἐνέργεια γὰρ εἰσὶ περὶ γραφομένου σώματος. οὕτως ὁ πάλιν ἐλεύσεται γάρ φησι πρὸς ὑμᾶς, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν:—

οϛ περὶ τοῦ ἐκ δεξιῶν τοῦ θεοῦ καὶ πατρὸς καθῆσθαι:-

Ἐκ δεξιῶν δὲ τοῦ θεοῦ καὶ πατρὸς κεκαθῆσθαι αὐτὸν φαμὲν τὸν Χριστὸν σωματικῶς. οὐ τοπικὴν δὲ δεξιὰν τοῦ πατρὸς λέγομεν. πῶς γὰρ ὁ ἀπερίγραπτος, τοπικὴν σχοίη δεξιάν. δεξιὰ δὲ καὶ ἀριστερὰ τῶν περιγραφομένων εἰσί. δεξιὰν δὲ τοῦ πατρὸς λέγομεν τὴν δόξαν καὶ τὴν τιμὴν τῆς θεότητος. ἐν ᾗ ὁ τοῦ θεοῦ υἱός, ὁ ὑπάρχων πρὸ αἰώνων. ὡς θεὸς καὶ τῷ πατρὶ ὁμοούσιος, ἐπ' ἐσχάτων σαρκωθείς, καὶ σωματικῶς καθῆσται· συνδοξασθείσης τῆς σαρκὸς αὐτοῦ· προσκυνεῖται γὰρ μιᾷ προσκυνήσει μετὰ τῆς σαρκὸς αὐτοῦ, ὑπὸ πάσης τῆς κτίσεως:-

περὶ τοὺς λέγοντας εἰ δύο φύσεις ὁ Χριστός, ἢ καὶ τῇ κτίσει λατρεύετε φύσιν κτιστὴν προσ-

κυνῶν οὕτως· ἢ καὶ ἂν φύσιν προσκυνητὴν
λέγετε, ἢ καὶ ἂν ἀπροσκύνητον;— οη

Τὸν υἱὸν τοῦ θεοῦ σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ,
πνεύματι προσκυνοῦμεν· ἀσώματον μὲν πρὸ
τῆς ἐνανθρωπήσεως· καὶ νῦν τὸν αὐτὸν σεσαρ-
κωμένον· καὶ γενόμενον ἄνθρωπον, μένοντα τοῦ ἀνάρχου
θεοῦ. ἡ τοίνυν σὰρξ αὐτοῦ, κατὰ μὲν τὴν
ἑαυτῆς φύσιν ἂν θελήσῃς ἰδιάσαι ἐπινοίας
τὸ ὁρώμενον ἐκ τοῦ νοουμένου, ἀπροσ-
κύνητός ἐστιν, ὡς κτίσμα· ἑνωθεῖσα δὲ τῷ
θεῷ λόγῳ, δι' αὐτὸν καὶ ἐν αὐτῷ προσκυνεῖται·
ὃν περ τρόπον ὁ βασιλεὺς καὶ γυμνὸς
προσκυνεῖται καὶ ἐνδεδυμένος· καὶ ἡ ἁλουργ-
-ὶς ὡς μὲν ψιλὴ ἁλουργὶς, πατεῖται καὶ
περιρρίπτεται· βασιλικὸν δὲ γενόμενον
ἔνδυμα, τιμᾶται καὶ δοξάζεται· καὶ εἴ τις
αὐτὴν παρατρώσειε, θανατοῦται ὡς τὰ
πολλὰ κατακρίνεται· ὡς δὲ καὶ ξύλον
ψιλὸν οὐκ ἔστι τῇ ἁφῇ ἀπρόσιτον· πυρὶ
δὲ προσομιλῆσαν, καὶ ἄνθραξ γενόμενον.

οὐ δι᾽ ἑαυτό· διὰ δὲ τὸ συνημμένον πῦρ, ἀ-
πρόσιτον γίνεται· καὶ οὐχ ἡ τοῦ ξύλου φύσις
ὑπάρχει ἀπρόσιτος· ἀλλ᾽ ὁ ἄνθραξ· ἤτοι
τὸ πεπυρωμένον ξύλον, οὕτως ἡ σὰρξ
κατὰ μὲν τὴν ἑαυτῆς φύσιν, οὐκ ἔστι προσ-
κυνητή· προσκυνεῖται δὲ ἐν τῷ σεσαρ-
κωμένῳ θεῷ λόγῳ, οὐ δι᾽ ἑαυτήν· ἀλλὰ διὰ
τὸν ἡνωμένον αὐτῇ καθ᾽ ὑπόστασιν θεὸν
λόγον· καὶ οὐ φαμὲν ὅτι σάρκα προσκυνοῦ-
μεν ψιλήν· ἀλλὰ σάρκα θεοῦ. ἤτοι σεσαρκω-
μένου θεοῦ:— Διατί ὁ υἱὸς τοῦ θεοῦ ἐνηνθρώ-
πησε καὶ οὐχ ὁ πατήρ, οὐδὲ τὸ πνεῦμα· καὶ τί ἐναν-
θρωπήσας κατώρθωσε:—

οθ Πατὴρ ὁ πατήρ, καὶ οὐχ υἱός· υἱὸς ὁ υἱός, καὶ
οὐ πατήρ· πνεῦμα ἅγιον τὸ πνεῦμα· καὶ οὐ πατήρ,
οὔτε υἱός· ἡ γὰρ ἰδιότης ἀκίνητος· ἢ πῶς
ἂν ἰδιότης εἴη, κινουμένη καὶ μεταπί-
πτουσα· διὰ τοῦτο ὁ υἱὸς τοῦ θεοῦ, υἱὸς
ἀνθρώπου γίνεται· ἵνα μείνῃ ἡ ἰδιότης
ἀκίνητος· υἱὸς γὰρ ὢν τοῦ θεοῦ, υἱὸς ἀνθρώπου

γέγονε σαρκωθεὶς ἐκ τῆς ἁγίας παρθένου·
καὶ οὐκ ἐξέστη τῆς οἰκείας ἰδιότητος·
ἐνηνθρώπησε δὲ ὁ υἱὸς τοῦ θεοῦ, ἵνα ἐφ'
ᾧ πρότερον ἐποίησε τὸν ἄνθρωπον, πάλιν αὐτῷ
χαρίσηται· ἐποίησε γὰρ αὐτὸν κατ' εἰκόνα
ἑαυτοῦ, νοερὸν καὶ αὐτεξούσιον· καὶ καθ' ὁ-
μοιότητα, ἤτοι ἀρεταῖς τέλειον, ὡς
ἐφικτὸν ἀνθρώπου φύσει· αὗται γὰρ οἱονεὶ χα-
ρακτῆρες τῆς θείας ὑπάρχουσι φύσεως.
τὸ ἀμέριμνον καὶ ἀπερίσπαστον καὶ ἀκέ-
ραιον· τὸ ἀγαθόν· τὸ σοφόν· τὸ δίκαιον·
τὸ πάσης κακίας ἐλεύθερον· ἐν κοινω-
νίᾳ μὲν οὖν ἑαυτοῦ καταστήσας τὸν
ἄνθρωπον· ἐπ' ἀφθαρσίᾳ γὰρ τοῦτον ἐποίησε,
διὰ τῆς ἑαυτοῦ κοινωνίας ἀνήγαγεν
αὐτὸν πρὸς τὸ ἄφθαρτον· ἐπειδὴ δὲ διὰ
τῆς παραβάσεως τῆς ἐντολῆς τοὺς τῆς
θείας εἰκόνος χαρακτῆρας ἐζοφώσαμέν τε
καὶ ἐσβέσαμεν· καὶ ἐν κακίᾳ γενόμενοι,
τῆς θείας κοινωνίας ἐγυμνώθημεν.

τ. η.

τοῖς τῶν ἀμυδροῖς οἷα φωτὶ περὶ σκότου· καὶ ἔξω
τῆς ζωῆς γενόμενοι τῇ τοῦ θανάτου φθο-
ρᾷ ὑπεπέσαμεν· ἐπειδὴ μετέδωκε τοῦ
κρείττονος καὶ οὐκ ἐφυλάξαμεν, μεταλαμβάνει
τοῦ χείρονος· τῆς ἡμετέρας λέγω φύσεως.
ἵνα δι' ἑαυτοῦ καὶ ἐν ἑαυτῷ ἀνακαινίσῃ μὲν
τὸ κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν· διδάξῃ
δὲ ἡμᾶς τὴν ἐνάρετον πολιτείαν. καὶ ταύτην
δι' ἑαυτοῦ ποιήσῃ ἡμῖν εὐεπίβατον· καὶ
τῇ τῆς ζωῆς κοινωνίᾳ, ἐλευθερώσῃ τῆς
φθορᾶς· ἀπαρχὴ γενόμενος τῆς ἡμῶν
ἀναστάσεως· καὶ τὸ ἀχρειωθὲν καὶ συντριβὲν
σκεῦος ἀνακαινίσῃ· ἵνα τῆς τυραννίδος
τοῦ διαβόλου λυτρώσηται· πρὸς θεογνωσίαν
ἡμᾶς καλέσας· καὶ ἐνευρώσῃ καὶ παιδεύσῃ
δι' ὑπομονῆς καὶ ταπεινώσεως καταπα-
λαίειν τὸν τύραννον· πέπαυται γοῦν καὶ
τῶν δαιμόνων θρησκεία· ἡ κτίσις τῷ θείῳ
καὶ ἡγίασται αἵματι· βωμοὶ καὶ ναοὶ εἰδώλων
καθῄρηνται· θεογνωσία πεφύτευται·

τριὰς ἡ ὁμοούσιος ἡ ἄκτιστος θεότης λα-
τρεύεται· καὶ θεὸς ἀληθὴς δημιουργὸς τῶν
ἁπάντων καὶ δεσπότης· ἀρεταὶ πολιτεύονται· ἀνα-
στάσεως ἐλπὶς διὰ τῆς τοῦ Χριστοῦ ἀναστάσεως δεδώρηται·
φρίττουσι τοὺς πάλαι ὑποχειρίους ἀνθρώπους οἱ δαί-
μονες· καὶ τὸ γε θαυμαστὸν, ὅτι πάντα ταῦτα
διὰ σταυροῦ καὶ παθῶν καὶ θανάτου κατώρθωται·
εἰς πᾶσαν τὴν γῆν τὸ εὐαγγέλιον τῆς θεο-
γνωσίας κεκήρυκται· οὐ πολέμοις καὶ ὅπλοις
καὶ στρατοπέδοις τοὺς ἐναντίους τροπουμένων·
ἀλλ' ὀλίγοι· πτωχοί· ἀγράμματοι· διωκό-
μενοι· αἰκιζόμενοι· θανατούμενοι· σταυρω-
θέντα σαρκὶ καὶ θανόντα κηρύττοντες, τῶν
σοφῶν καὶ δυνατῶν κατεκράτησαν· συνείπετο
γὰρ αὐτοῖς τοῦ σταυρωθέντος, ἡ παντοδύναμος
δύναμις· ὁ πάλαι θάνατος ὁ φοβερώτατος,
ἥττηται· καὶ τῆς ζωῆς νῦν ὁ στυγητὸς καὶ μισητὸς
πάλαι, προκρίνεται· ταῦτα τῆς Χριστοῦ πα-
ρουσίας τὰ κατορθώματα· ταῦτα τῆς
αὐτοῦ δυνάμεως τὰ γνωρίσματα·

Τ. ιη.

οὕτω δὲ διὰ Μωσέως τὸν λαὸν ἐξαγαγοῦ-
-σης καὶ τῆς φαραὼ δουλείας, θάλασσαν
διαγρίας διέσωσε· πᾶσαν δὲ μᾶλλον
τὴν ἀνθρωπότητα ἐκ φθορᾶς θανάτου. καὶ τοῦ
πικροῦ τυράννου τῆς ἁμαρτίας ἐρρύ-
-σατο. οὐ βίᾳ ἄγων πρὸς ἀρετήν· οὐδὲ κατα-
χωννὺς καὶ πυρὶ φλέγων καὶ λιθοκολεῖσθαι
προστάττων τοὺς ἁμαρτάνοντας· ἀλλὰ πρα-
-ότητι καὶ μακροθυμίᾳ τοὺς ἀνθρώπους πείθ-
αἱρεῖσθαι τὴν ἀρετήν· καὶ τοὺς ὑπὲρ ταύτης
ὡς ἁμιλλᾶσθαι πόνοις καὶ ἡδύνεσθαι·
πάλαι μὲν τοὺς ἁμαρτάνοντας, ἐκόλαζον τό·
καὶ ἐπὶ τῆς ἁμαρτίας ἀπείχοντο. καὶ θ
αὐτοῖς ἡ ἁμαρτία λελόγισται· νῦν δὲ ὑπὲρ
εὐσεβείας καὶ ἀρετῆς αὐχίσκοντες αἱροῦνται
καὶ στρεβλώσεις καὶ θάνατον. εὖγε ὦ Χριστὲ θεοῦ
λόγε καὶ σοφία καὶ δύναμις. καὶ θεὲ παντο-
κράτορ. τίς οὖν τούτων ἁπάντων, οἱ ἄ-
-πορον ἡμεῖς ἀντιδοῦναι; σοὶ τὰ πάντα
καὶ αὐτοῖς παρ' ἡμῶν οὐδέν, ἢ τὸ σώζεσθαι.

αὐτὸς καὶ τοῦτο δίδωσι· καὶ λαμβάνουσι, χάριν
ἣν δέδωκε δι' ἄφατον ἀγαθότητα· σοὶ τὰ σὰ χάριν καὶ
τῷ τὸ εἶναι δεδωκότι· καὶ τὸ εὖ εἶναι χαρι-
σαμένῳ· χάριν τούτου παραπεσοῦσι πάλιν
αὖθις ἐπαναγαγόντι πρὸς τοῦτο, διὰ τῆς
ἀφάτου συγκαταβάσεως:- πρὸς τοὺς
ἐρωτῶντας εἰ ἡ ὑπόστασις τοῦ Χριστοῦ κτιστὴ ἢ ἄκτιστος:- π

Ἡ ὑπόστασις τοῦ Θεοῦ Λόγου πρὸ τῆς σαρκώ-
σεως, ἁπλῆ ἦν καὶ ἀσύνθετος· καὶ ἀσώματος·
καὶ ἄκτιστος· σαρκωθεῖσα δέ, αὐτὴ γέγονε καὶ τῇ
σαρκὶ ὑπόστασις· καὶ γέγονε σύνθετος· ἐκ θε-
ότητος ἧς ἀεὶ εἶχε, καὶ ἐξ ἧς προσείληφε σαρκός·
καὶ φέρει τῶν δύο φύσεων τὰ ἰδιώματα·
ἐν δυσὶ γνωριζομένη ταῖς φύσεσιν· ὥστε
ἡ αὐτὴ μία ὑπόστασις, ἄκτιστός τε ἐστὶ τῇ
θεότητι, καὶ κτιστὴ τῇ ἀνθρωπότητι· ὁρατὴ καὶ
ἀόρατος· ἐπεὶ ἀναγκαζόμεθα ἢ διαιρεῖν τὸν
ἕνα Χριστόν, δύο τὰς ὑποστάσεις λέγοντες, ἢ τὴν
τῶν φύσεων ἀρνεῖσθαι διαφοράν, καὶ τροπὴν
εἰσάγειν καὶ σύγχυσιν:- περὶ τοῦ πότε ἐκλή-
θη Χριστός:- πα

Οὐχ ὥς τινες ψευδηγοροῦσι, περὶ τῆς
ἐκ παρθένου σαρκώσεως ὁ νοῦς ἡνώθη
τῷ θεῷ λόγῳ καὶ ἐκ τότε ἐκλήθη Χριστός·
τοῦτο τῶν ὠριγένους ληρημάτων τὸ
ἀτόπημα· προϋπάρξιν τῶν ψυχῶν
δογματίσαντος· ἡμεῖς δὲ Χριστὸν γεγενῆσθαι
τε καὶ κεκλῆσθαι φαμὲν τὸν υἱὸν καὶ λόγον τοῦ
θεοῦ, ἀφ' οὗ ἐν τῇ γαστρὶ τῆς ἁγίας ἀειπαρ-
– θένου ἐσκήνωσε· καὶ σὰρξ ἀτρέπτως ἐγέ-
– νετο· καὶ ἐχρίσθη ἡ σὰρξ τῇ θεότητι· χρί-
– σις γὰρ αὕτη τῆς ἀνθρωπότητος· ὡς φησὶν
ὁ θεολόγος Γρηγόριος· καὶ ὁ ἱερώτατος δὲ
τῆς ἀλεξανδρέων Κύριλλος πρὸς τὸν
βασιλέα Θεοδόσιον γράφων, τάδε
› φησί· χρῆναι γὰρ ἔγωγέ φημι μήτε τὸν ἐκ
› θεοῦ λόγον ἀνθρωπότητος δίχα, μήτε μὴν
› τὸν ἐκ γυναικὸς ἀποτεχθέντα ναὸν οὐχ
› ἑνωθέντα τῷ λόγῳ Χριστὸν ὀνομάζεσθαι·
› ἀνθρωπότητι γὰρ καθ' ἕνωσιν οἰκονομικὴν
› ἀπορρήτως συνενηνεγμένος ὁ ἐκ θεοῦ λόγος,

νοεῖται χριστός· καὶ περὶ τὰς κασιλίδας οὕτω·
τινὲς φασὶν ὅτι τὸ χριστὸς ὄνομα, πρέπει
καὶ μόνῳ καὶ ἰδίᾳ καὶ καθ' αὑτὸν νοουμένῳ
καὶ ὑπάρχοντι, τῷ ἐκ θεοῦ πατρὸς γεννηθέντι
λόγῳ· ἡμεῖς δὲ οὐχ οὕτως δεδιδάγμε-
θα φρονεῖν ἢ λέγειν· ὅτε γὰρ γέγονε σὰρξ
ὁ λόγος, τότε καὶ ὠνομάσθαι λέγομεν
αὐτὸν χριστὸν ἰησοῦν· ἐπειδὴ κέχρισται τῷ ἐλαίῳ
τῆς ἀγαλλιάσεως ἤτοι τῷ ἁγίῳ πνεύματι πα-
ρὰ τοῦ θεοῦ καὶ πατρός· ταύτῃ τοι χριστὸς ὀνομάζεται·
ὅτι δὲ περὶ τὸ ἀνθρώπινον ἡ χρῖσις, οὐκ ἂν
ἐνδοιάσοιέ τις τῶν ὀρθὰ φρονεῖν εἰω-
θότων· καὶ ἀθανάσιος δὲ ὁ παμμακάριστος
ἐν τῷ περὶ τῆς σωτηρίου ἐνδημίας ἐπιφωνήσας,
ὧδέ πη λέγει· ὁ προϋπάρχων θεὸς πρὸ τῆς
ἐν σαρκὶ ἐπιδημίας, οὐκ ἦν ἄνθρωπος· ἀλλὰ
θεὸς ἦν πρὸς τὸν θεόν· ἀόρατος καὶ ἀπαθὴς ὤν.
οὔτε οὖν τὸ χριστὸς ὄνομα δίχα τῆς σαρκὸς
προσάγεται· ἐπειδὴ ἀκολουθεῖ τῷ ὀνό-
ματι, τὸ πάθος καὶ ὁ θάνατος· ὁ δὲ

ἡ θεία γραφὴ φησί· διὰ τοῦτο ἔχρισέ σε
ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως· ἰστέ-
ον ὡς πολλάκις ἡ θεία γραφὴ κέχρηται
τῷ παρῳχηκότι χρόνῳ ἀντὶ τοῦ μελ-
λοντος· ὡς τὸ μετὰ ταῦτα ἐπὶ γῆς
ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη· οὔπω
γὰρ ὤφθη οὐδὲ συνανεστράφη ὁ θεὸς ἀνθρώποις,
ὅτε ταῦτα ἐλέγετο· καὶ τό, ἐπὶ τῶν πο-
ταμῶν βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν
καὶ ἐκλαύσαμεν· οὔπω δὲ ταῦτα ἐγεγόνει:-

πρὸς τοὺς ἐρωτῶντας· εἰ δύο φύσεις ἐγέν-
νησεν ἡ ἁγία θεοτόκος ἢ δύο φύσεις ἐπὶ χριστοῦ

πβ Φύσεως μέν ἐστι τὸ ἀγένητον χρ ἐμαυτο:-
καὶ τὸ γενητὸν διὰ τοῦ ἑνὸς ν γραφόμενον·
ὅπερ δηλοῖ, τὸ ἄκτιστον καὶ κτιστόν· τὸ δὲ
ἀγέννητον καὶ τὸ γεννητόν, οὐ φύσεως,
ἀλλ᾽ ὑποστάσεως· ἤτοι τὸ γεννηθῆναι καὶ μὴ
γεννηθῆναι· ὅπερ διὰ τῶν δύο νν ἐκφέ-
ρεται· ἔστιν οὖν ἡ μὲν θεία φύσις, ἀγένητος
ἡ τοιαύτη ἄκτιστος· πάντα δὲ τὰ μετὰ τὴν

θεῖαν φύσιν, γεννητὸν, ἢ τοῖς κτιστοῖς· θεωρεῖται
τοίνυν ἐν μὲν τῇ θείᾳ καὶ ἀκτίστῳ φύσει· τὸ
μὲν ἀγέννητον ἐν τῷ πατρί· οὐ γὰρ ἐγεννήθη·
τὸ δὲ γεννητὸν, ἐν τῷ υἱῷ· ἐκ πατρὸς γὰρ ἀϊδίως
γεγέννηται· τὸ δὲ ἐκπορευτὸν, ἐν τῷ ἁγίῳ
πνεύματι· ἑκάστου δὲ εἴδους τῶν ζώων, τὰ μὲν πρωτόπλαστα
ἀγέννητα, ἀλλ' οὐκ ἀγένητα· γεγόνασι μὲν γὰρ
ὑπὸ τοῦ δημιουργοῦ· οὐκ ἐγεννήθησαν
δὲ ἐξ ὁμοίων· γένεσις μὲν γὰρ, κτίσις ἐστί·
γέννησις δὲ ἐπὶ μὲν θεοῦ, ἐκ μόνου πατρὸς
ὁμοουσίου υἱοῦ πρόοδος· ἐπὶ δὲ τῶν κτι-
σμάτων, ἡ ἐκ συνουσίας ἄρρενός τε καὶ
θηλείας ὁμοουσίου ὑποστάσεως πρόοδος·
ὅθεν γινώσκομεν ὡς οὐκ ἔστι φύσεως τὸ γεν-
νᾶσθαι, ἀλλ' ὑποστάσεως· εἰ γὰρ φύσεως ἦν,
οὐκ ἂν ἐν τῇ αὐτῇ φύσει τὸ γεννητὸν ἐθεω-
ρεῖτο καὶ τὸ ἀγέννητον· ὑπόστασιν τοίνυν ἐγέν-
νησεν ἡ ἁγία θεοτόκος, ἐν δυσὶ γνωριζομένην
ταῖς φύσεσι· θεότητι μὲν, ἐκ πατρὸς γεννη-
θεῖσαν ἀχρόνως· ἐπ' ἐσχάτων δὲ ἐν χρόνῳ·

ἐξ αὐτῆς σαρκωθεῖσαν καὶ σαρκὶ τικτομένην·
εἰ δὲ οἱ ἐρωτῶντες ἂν εἴποιντο· ὅτι ὁ γεν-
νηθεὶς ἐκ τῆς ἁγίας θεοτόκου δύο φύσεις ἐστί;
φαμέν· ναὶ δύο φύσεις ἐστί· θεὸς γάρ ἐστιν ὁ αὐτὸς
καὶ ἄνθρωπος· ὁμοίως δὲ καὶ περὶ τῆς σταυρώσεως.
ἀναστάσεώς τε καὶ ἀναλήψεως· οὐ φύσεως
ταῦτα ἐστίν, ἀλλ' ὑποστάσεως· ἔπαθεν οὖν
ὁ Χριστὸς ὁ ἐν δύο φύσεσιν ὤν, τῇ παθητῇ φύσει
ἐσταυρώθη τε· σαρκὶ γὰρ ἐπὶ σταυροῦ ἐκρέματο,
καὶ οὐ θεότητι· ἐπεὶ καὶ εἰπάτωσαν ἡμῖν ἀνθρώπων
δύο φύσεις ἀπέθανον; οὐχί· βροτοί εἰσιν· οὐκοῦν
οὐδὲ δύο φύσεις ἐσταυρώθησαν· ἀλλ' ἐγεννήθη
ὁ Χριστὸς· ἤτοι ὁ θεὸς λόγος· ἐνανθρωπήσας ἐγεννήθη
σαρκὶ· ἐσταυρώθη σαρκί· ἔπαθε σαρκί· ἀπέ-
θανε σαρκί· ἀπαθοῦς μεινάσης αὐτοῦ τῆς
θεότητος: —

## πη΄ Περὶ τοῦ πρωτότοκος λέγεσθαι τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ: —

Πρωτότοκός ἐστιν, ὁ πρῶτος
γεννηθείς· εἴτε μονογενής, εἴτε καὶ πρὸ
ἄλλων ἀδελφῶν· εἰ μὲν οὖν ἐλέγετο ὁ υἱὸς
τοῦ θεοῦ πρωτότοκος· μονογενὴς δὲ οὐχ

ἐλέγετο· ὑπενοήσαμεν ἂν κτισμάτων
αὐτὸν εἶναι πρωτότοκον ὡς κτίσμα
ὑπάρχοντα· ἐπειδὴ δὲ καὶ πρωτότοκος
καὶ μονογενὴς λέγεται· δεῖ δὲ καὶ ἀμφότερα
τηρῆσαι ἐπ' αὐτοῦ· πρωτότοκον μὲν αὐτὸν
φαμὲν πάσης τῆς κτίσεως· ἐπειδὴ καὶ αὐτὸς
ἐκ τοῦ θεοῦ· καὶ ἡ κτίσις ἐκ τοῦ θεοῦ· ἀλλ' αὐτὸς
μὲν ἐκ τῆς οὐσίας τοῦ θεοῦ καὶ πρὸ μόνος ἀ-
χρόνως γεγεννημένος, ᾗ καὶ οὕτως μονογενὴς
υἱὸς· πρωτότοκος δὲ οὐ πρωτόκτιστος λε-
χθήσεται· ἡ δὲ κτίσις οὐκ ἐκ τῆς οὐσίας
τοῦ πατρὸς· ἀλλὰ θελήματι αὐτοῦ ἐκ τοῦ μὴ
ὄντος εἰς τὸ εἶναι παρήχθη· πρωτότοκος
δὲ ἐν πολλοῖς ἀδελφοῖς· μονογενὴς δὲ ὢν
καὶ ἐκ μητρός· ἐπειδὴ προσμετέσχηκεν αἵματος
καὶ σαρκὸς παραπλησίως ἡμῖν καὶ αὐτὸς
γέγονε· γεγόναμεν δὲ καὶ ἡμεῖς δι' αὐτοῦ υἱοὶ θεοῦ·
υἱοθετηθέντες διὰ τοῦ βαπτίσματος·
αὐτὸς ὁ φύσει υἱὸς τοῦ θεοῦ, πρωτότοκος
ἡμῶν τῶν θέσει καὶ χάριτι υἱῶν θεοῦ γενομένων

27

καὶ ἀδελφῶν αὐτοῦ χρηματισάντων ἡμῶν λε-
γομένων· ὅθεν ἔλεγεν· ἀναβαίνω πρὸς τὸν
πατέρα μου καὶ πατέρα ὑμῶν· καὶ θεόν μου καὶ θεὸν
ὑμῶν· οὐκ εἶπε πατέρα ἡμῶν ἀλλὰ πατέρα μου
φύσει δηλονότι· καὶ πατέρα ὑμῶν χάριτι· θεόν μου
καὶ θεὸν ὑμῶν· οὐκ εἶπε θεὸν ἡμῶν, ἀλλὰ θεόν μου
ἂν διέλῃς λεπταῖς ἐπινοίαις, τὸ ὁρώ-
μενον ἐκ τοῦ νοουμένου· καὶ θεὸν ὑμῶν ὡς
δημιουργὸν καὶ κύριον:— περὶ τοῦ εἰ [illegible]
ἢ ὑπὸ τὸ συνεχὲς ποσὸν ἀνάγονται ἢ ὑπὸ
τὸ διωρισμένον αἱ δύο τοῦ Χριστοῦ φύσεις:—

περὶ Αἱ τοῦ Χριστοῦ φύσεις· οὔτε ἓν σῶμα ἐστίν, οὔτε
ἐπιφάνεια· οὔτε γραμμή· οὐ τόπος·
οὐ χρόνος· ἵνα ὑπὸ τὸ συνεχὲς ἀναχθῶσι
ποσόν· ταῦτα γάρ ἐστι τὰ συνεχῶς ἀρι-
θμούμενα· ἤγουν ταῦτα δὲ αἱ τοῦ Χριστοῦ φύσεις,
ἀσυγχύτως καθ' ὑπόστασιν· καὶ ἡνωμέναι
ἀδιαιρέτως· λόγῳ καὶ τρόπῳ τῆς διαφο-
ρᾶς· καὶ ᾧ μὲν τρόπῳ ἥνωνται, οὐκ ἀριθμοῦνται·
οὐ γὰρ λέγομεν δύο ὑποστάσεις εἶναι, τὰς

φύσεις τοῦ Χριστοῦ· ἢ δύο κατὰ τὴν ὑπόστασιν·
ὥσπερ ἑτέρῳ ἀδιαιρέτως διῃρημένας,
ἀριθμουμένας· δύο γάρ εἰσι φύσεις λόγῳ
καὶ τρόπῳ τῆς διαφορᾶς· ἡνωμέναι γὰρ
καθ' ὑπόστασιν μὲν ἐν ἀλλήλαις περιχω-
ροῦσαι ἀσυγχύτως ἥνωνται· τὴν εἰς ἀλλή-
λας μὲν ἀπολὴν οὐ δεξάμεναι· τὴν οἰκείαν
ἑκάστη φύσις καὶ διαφορὰν καὶ μετὰ τὴν ἕνωσιν,
διασώζουσαι· τὸ γὰρ κτιστὸν, μεμένηκε
κτιστόν· καὶ τὸ ἄκτιστον ἄκτιστον· τῷ τρόπῳ
τοίνυν τῆς διαφορᾶς καὶ μόνῳ ἀριθμού-
μεναι, ὑπὸ τὸ διωρισμένον ποσὸν ἀναχθή-
σονται· ἀδύνατον γὰρ τὰ κατὰ μηδὲν
διαφέροντα, ἀριθμεῖσθαι· καθὸ δὲ δια-
φέρουσι, κατὰ τοῦτο καὶ ἀριθμοῦνται· ὅθεν
ὅπερ προσέτι ὁ Παῦλος καθὸ μὲν ἥνωνται,
οὐκ ἀριθμοῦνται· τῷ λόγῳ γὰρ τῆς οὐσίας
ἡνωμένοι, δύο φύσεις οὐδὲ εἰσὶν οὐδὲ λέγονται·
καθ' ὑπόστασιν δὲ διαφέροντες, δύο ὑπο-
στάσεις λέγονται· ὥσπερ ἡ διαφορὰ αἰτία τοῦ
ἀριθμοῦ:—

## Περὶ πίστεως καὶ βαπτίσματος

πε Ὁμολογοῦμεν δὲ ἓν βάπτισμα εἰς ἄφεσιν
ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον· τὸ γὰρ βά-
πτισμα, τὸν τοῦ Χριστοῦ θάνατον δηλοῖ·
συνθαπτόμεθα γοῦν τῷ Χριστῷ διὰ τοῦ
βαπτίσματος· ὥς φησιν ὁ θεῖος ἀπό-
στολος· ὥσπερ οὖν ἅπαξ ἐτελέσθη ὁ τοῦ
Χριστοῦ θάνατος, οὕτω καὶ ἅπαξ δεῖ βαπτίζεσθαι.
βαπτίζεσθαι δὲ, κατὰ τὸν τοῦ κυρίου λόγον·
εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ
ἁγίου πνεύματος· διδασκομένους τὴν εἰς πατέρα
καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμολογίαν. ὅσοι τοί-
νυν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα βα-
πτισθέντες καὶ μίαν φύσιν ἐν τρισὶ ταῖς
θεότητος ὑποστάσεσι διδαχθέντες, αὖ-
θις ἀναβαπτίζονται, οὗτοι ἀνασταυροῦσι
> τὸν Χριστόν· ὥς φησιν ὁ θεῖος ἀπόστολος· ἀδύνατον
> γὰρ τοὺς ἅπαξ φωτισθέντας καὶ τὰ ἑξῆς,
> αὖθις ἀνακαινίζειν εἰς μετάνοιαν· ἀνα-
> σταυροῦντας ἑαυτοῖς τὸν Χριστὸν καὶ παραδειγ

-πτίζονται· ὅσοι δὲ μὴ εἰς τὴν ἁγίαν
τριάδα ἐβαπτίσθησαν, τούτους δὲ
ἀναβαπτίζεσθαι. καὶ γὰρ φησὶν ὁ ἀπόστολος,
ὅτι εἰς Χριστὸν καὶ εἰς τὸν θάνατον αὐτοῦ ἐβα-
-πτίσθημεν, οὐχ οὕτως δεῖν γίνεσθαι φησὶ
τὴν ἐπίκλησιν τοῦ βαπτίσματος· ἀλλ'
ὅτι τύπος τοῦ θανάτου τοῦ Χριστοῦ ἐστὶ τὸ
βάπτισμα· διὰ γὰρ τῶν τριῶν καταδύ-
-σεων, τὰς τρεῖς ἡμέρας τῆς τοῦ Χριστοῦ
ταφῆς σημαίνει τὸ βάπτισμα· τὸ οὖν
εἰς Χριστὸν βαπτισθῆναι δηλοῖ, τὸ, πιστεύοντας
εἰς αὐτὸν βαπτίζεσθαι· ἀδύνατον δὲ
εἰς Χριστὸν πιστεῦσαι, μὴ διδαχθέντας τὴν εἰς
πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμολογίαν· Χριστὸς
γὰρ ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ὃν ἔχρισεν
ὁ πατὴρ τῷ ἁγίῳ πνεύματι· ὥς φησιν ὁ θεῖος Δαβίδ·
› διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον
› ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου·
› καὶ Ἡσαΐας ἐκ προσώπου τοῦ Χριστοῦ· πνεῦμα
› ἁγίου ἐπ' ἐμέ· οὗ ἕνεκεν ἔχρισέ με· τὸ δὲ

μενοι τῇ ἐπικλήσει τοῖς οἰκείοις μα-
θηταῖς, ὁ Χριστὸς διδάσκων ἔλεγε· βαπτί-
ζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς
καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ἐπειδὴ τὴν
ἐπ' ἀφθαρσίᾳ πεποίηκεν ἡμᾶς ὁ θεός·
παραβάντας δὲ τὴν ὅριον αὐτοῦ ὑπὸ τὸ-
λοιπὸν φθορᾷ θανάτου κατεδίκασεν· ἵνα
μὴ ἀθάνατον ᾖ τὸ κακόν· συγκαταβὰς
τοῖς δούλοις ὡς εὔσπλαγχνος· καὶ
καθ' ἡμᾶς γενόμενος, τῆς φθορᾶς διὰ
τοῦ ἰδίου πάθους ἐλυτρώσατο· ἐπή-
γασέ τε ἡμῖν ἐκ τῆς ἁγίας καὶ ἀχράντου
αὐτοῦ πλευρᾶς, πηγὴν ἀφέσεως· ὕ-
δωρ μὲν πρὸς ἀναγέννησιν καὶ ἔκπλυσιν,
τῆς τε ἁμαρτίας καὶ τῆς φθορᾶς· αἷμα
δὲ ποτὸν ζωῆς ἀϊδίου πρόξενον· ἐντο-
λάς τε δέδωκεν ἡμῖν, δι' ὕδατος ἀνα-
γεννᾶσθαι καὶ πνεύματος· δι' ἐντεύξεως καὶ
ἐπικλήσεως τῷ ὕδατι ἐπιφοιτῶντος
τοῦ πνεύματος· ἐπειδὴ καὶ διπλοῦς ὁ ἄνθρωπος

ἐκ ψυχῆς καὶ σώματος, διπλῆν ἡμῖν ἔ-
δωκε καὶ τὴν κάθαρσιν, δι᾽ ὕδατός τε
καὶ πνεύματος· τοῦ μὲν πνεύματος, τὸ κατ᾽ εἰκόνα
καὶ καθ᾽ ὁμοίωσιν ἐν ἡμῖν ἀνακαινίζοντος·
τοῦ δὲ ὕδατος, διὰ τῆς τοῦ πνεύματος χάριτος,
τὸ σῶμα τῆς ἁμαρτίας καθαίροντος·
καὶ τῆς φθορᾶς ἀπαλλάττοντος· καὶ τὴν
μὲν τοῦ θανάτου εἰκόνα, ἐκπληροῦντος
τοῦ ὕδατος· τοῦ δὲ τῆς ζωῆς ἀρραβῶνα,
παρεχομένου τοῦ πνεύματος· ἀπ᾽ ἀρχῆς γὰρ τὸ
πνεῦμα θεοῦ τοῖς ὕδασιν ἐπεφέρετο· καὶ ἄνωθεν
ἡ γραφὴ μαρτυρεῖ τῷ ὕδατι ὡς ἐστὶ κα-
-θαρτήριον· ἐπὶ νῶε δὲ δι᾽ ὕδατος ὁ θεὸς τὴν
κοσμικὴν ἁμαρτίαν κατέκλυσε· δι᾽ ὕδατος
πᾶς ἀκάθαρτος κατὰ τὸν νόμον καθαίρεται
καὶ αὐτῶν τῶν ἱματίων πλυνομένων τῷ
ὕδατι· ἔδειξεν ἠλίας τὴν χάριν τοῦ πνεύματος.
συμμεμιγμένην τῷ ὕδατι, ὕδατι φλέξας
τὴν ὁλοκαύτωσιν· καὶ σχεδὸν ἅπαντα κατὰ
τὸν νόμον, ὕδατι καθαρίζονται· τὰ

τὰ ὁρατά, σύμβολα τῶν νοουμένων
ἐστίν· ἡ μὲν γάρ τοι ἀναγέννησις κατὰ ψυχὴν
γίνεται· πίστις γὰρ υἱοθετεῖν οἶδε· καίτοι
οὕτως κτίσματα διὰ τοῦ πνεύματος· ἐξ ὅ-
του ἀρχὴν ἀνάγειν μακαριότητος. ἡ μὲν
οὖν τῶν ἁμαρτιῶν ἄφεσις, πᾶσιν ὁμοίως
διὰ τοῦ βαπτίσματος δίδοται· ἡ δὲ
χάρις τοῦ πνεύματος, κατὰ τὴν ἀναλογίαν
τῆς πίστεως καὶ τῆς προκαθάρσεως.
νῦν μὲν οὖν διὰ τοῦ βαπτίσματος, τὴν
ἀπαρχὴν τοῦ ἁγίου πνεύματος λαμβάνομεν·
καὶ ἀρχὴ ἑτέρου βίου γίνεται ἡμῖν ἡ πα-
λιγγενεσία· καὶ σφραγὶς καὶ φυλακτήριον·
καὶ φωτισμός· χρὴ δὲ πάσῃ δυνάμει ἀσφαλῶς
τηρεῖν ἑαυτοὺς καθαροὺς ἀπὸ ῥυπαρῶν
ἔργων· ἵνα μὴ πάλιν ὥσπερ κύων ἐπὶ
τὸν ἴδιον ἔμετον ἐπιστρέψαντες, δούλους
πάλιν ἑαυτοὺς τῆς ἁμαρτίας ποιήσωμεν.
πίστις γὰρ χωρὶς ἔργων νεκρά ἐστι· καὶ ἔργα
χωρὶς πίστεως· ἡ γὰρ ἀληθὴς πίστις, διὰ

τῶν ἑβραίων δοκιμάζεται. βαπτιζόμεθα
δὲ εἰς τὴν ἁγίαν τριάδα· ὅτι αὐτὰ τὰ βα-
πτιζόμενα χρήζει τῆς ἁγίας τριάδος πρὸς
τὴν αὐτῶν σύστασίν τε καὶ διαμονήν· καὶ ἀδύνατον
μὴ συμπαρεῖναι ἀλλήλαις τὰς τρεῖς ὑποστάσεις·
ἀχώριστος γὰρ ἡ ἁγία τριάς. πρῶτον βάπτισμα α
τὸ τοῦ κατακλυσμοῦ, εἰς ἐκκοπὴν ἁμαρτίας.
δεύτερον, τὸ διὰ θαλάσσης καὶ τῆς νεφέλης. β
σύμβολον γὰρ ἡ μὲν νεφέλη, τοῦ πνεύματος· ἡ θά-
λασσα δὲ, τοῦ ὕδατος. τρίτον, τὸ νομικόν. γ
πᾶς γὰρ ἀκάθαρτος, ἀπελούετο ὕδατι· ἔ-
πλυνε τὰ ἱμάτια, καὶ οὕτως εἰσῄει εἰς τὴν
παρεμβολήν. τέταρτον, τὸ ἰωάννου εἰσαγω- δ
γικὸν ὑπάρχον· καὶ εἰς μετάνοιαν ἄγον τοὺς βα-
πτιζομένους, ἵνα εἰς χριστὸν πιστεύωσιν. ἐγὼ
μὲν ὑμᾶς φησὶ βαπτίζω ἐν ὕδατι· ὁ δὲ ὀπί-
σω μου ἐρχόμενος, αὐτὸς ὑμᾶς βαπτίσει ἐν
πνεύματι ἁγίῳ καὶ πυρί. προκαθαίρει οὖν ὁ ἰωάννης,
ἐπὶ τὸ πνεῦμα διὰ τοῦ ὕδατος. πέμπτον, ε
τὸ τοῦ χριστοῦ βάπτισμα, ὃ αὐτὸς ἐβαπτίσατο.

V. m.

βαπτίζεται δὲ, οὐχ ὡς αὐτὸς χρήζων
καθάρσεως· ἀλλὰ τὴν ἐμὴν οἰκειού-
μενος κάθαρσιν· ἵνα συντρίψῃ τὰς κε-
φαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος·
ἵνα κλύσῃ τὴν ἁμαρτίαν· ἅπαντα τὸν
παλαιὸν ἀδὰμ ἐνθάψῃ τῷ ὕδατι· ἵνα
ἁγιάσῃ τὸν βαπτιστήν· ἵνα πληρώσῃ
τὸν νόμον· ἵνα τὸ τῆς τριάδος ἀποκα-
λύψῃ μυστήριον· ἵνα τύπος καὶ ὑπογραμμὸς
ἡμῖν πρὸς τὸ βαπτίζεσθαι γένηται. βα-
πτιζόμεθα δὲ ἡμεῖς, τὸ τέλειον τοῦ
κυρίου βάπτισμα, τὸ δι' ὕδατος τε καὶ πνεύματος.
πυρὶ δὲ λέγεται βαπτίζειν ὁ χριστός, ἐπειδὴ
ἐν εἴδει πυρίνων γλωσσῶν ἐπὶ τοὺς
ἁγίους ἀποστόλους τὴν τοῦ πνεύματος χάριν
ἐξέχεεν· ὥς φησιν αὐτὸς ὁ κύριος· ὅτι ἰωάννης
μὲν ἐβάπτισεν ὕδατι· ὑμεῖς δὲ βαπτι-
σθήσεσθε ἐν πνεύματι ἁγίῳ καὶ πυρί· οὐ μετὰ
πολλὰς ταύτας ἡμέρας. ἢ διὰ τὸ τοῦ
μέλλοντος πυρὸς κολαστικόν·

ἕκτον, τὸ διὰ μετανοίας καὶ δακρύων νοούμενον ϛ
ἐπίπονον· ἕβδομον, τὸ δι᾽ αἵματος ζ
καὶ μαρτυρίου· ὃ καὶ αὐτὸς Χριστὸς ὑπὲρ ἡμῶν ἐ-
βαπτίσατο· ὡς λίαν αἰδέσιμον καὶ μα-
-κάριον· ὃ καὶ δευτέροις οὐ μολύνεται ῥύποις·
ὄγδοον, τὸ τελευταῖον, οὐ σωτήριον· ἀλλὰ η
τῆς μὲν κακίας ἀναιρετικόν· οὐκέτι γὰρ κα-
-κία καὶ ἁμαρτία πολιτεύεται· κολάζον
δὲ ἀτελεύτητα· σωματικῷ εἴδει ὡς πε-
-ριστερᾶς κατεφοίτησε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ
τὸν Κύριον· τὴν ἀπαρχὴν τοῦ ἡμῶν ὑποδει-
-κνύον βαπτίσματος· καὶ τιμῶν τὸ σῶμα·
ἐπειδὴ καὶ τοῦτο ἤγουν τὸ σῶμα, τῇ θεώσει
θεός· καὶ ἅμα που ἄνωθεν ἡ τῆς περιστερᾶς,
λῆξιν κατακλυσμοῦ εὐαγγελίζεσθαι· ἐπὶ
δὲ τοὺς ἁγίους ἀποστόλους, πυρὸς εἴδει
κάτεισι· θεὸς γὰρ ἐστίν· ὁ δὲ θεὸς, πῦρ καταναλ-
-ίσκον ἐστί· τὸ ἔλαιον ἐν τῷ βαπτίσματι
παραλαμβάνεται, τὴν χρῖσιν μηνύον·
καὶ Χριστοὺς ἡμᾶς ἐργαζόμενον· καὶ τοῦ θεοῦ

ἡμῖν ἐπαγγελλόμενον διὰ τοῦ ἁγίου πνεύματος
ἔλεγον· ἐπεὶ καὶ κάρφος ἐλαίας τοῖς ἐκ τοῦ
κατακλυσμοῦ περισωθεῖσιν, ἡ περιστερὰ
κεκόμικεν· ἐβαπτίσθη ἰω̃ τὴν χεῖρα
ἐπιθεὶς ἐπὶ τὴν θείαν τοῦ δεσπότου κο-
ρυφήν, καὶ τῷ ἰδίῳ ἁγιάσματι· οὐ χρὴ ὑπερτί-
θεσθαι τὸ βάπτισμα· ὅτε δ' ἔργων ἡ πί-
στις τῶν προσιόντων μαρτυρηθῇ· ὁ ἐν δό-
λῳ προσιὼν τῷ βαπτίσματι, κατακρι-
θήσεται μᾶλλον ἢ ὠφεληθήσεται:—

πς̄ Ἡ μέντοι πίστις, διπλῆ **περὶ πίστεως:—**
β· ἔστι δὲ πίστις ἐξ ἀκοῆς· ἀκούοντες γὰρ
τῶν θείων γραφῶν, πιστεύομεν τῇ διδασκα-
λίᾳ τοῦ πνεύματος. αὕτη δὲ τελειοῦται, πᾶσι τοῖς
νομοθετηθεῖσιν ὑπὸ Χριστοῦ· ἔργῳ πιστεύουσα
εὐσεβοῦσά τε καὶ τὰς ἐντολὰς προφυλάττουσα
τοῦ ἀνακαινίσαντος ἡμᾶς· ἔστι δὲ καὶ κατὰ
τὴν παράδοσιν τῆς ἁγίας καθολικῆς ἐκ-
κλησίας πιστεύειν· ἡ κοινωνῶν διὰ τῶν
αὐτοπτῶν ἔργων τῶν ἀποστόλων· ἄπιστος ἐστίν.

ἔστι δὲ πάλιν πίστις, ἐλπιζομένων ὑπόστασις·
πραγμάτων ἔλεγχος οὐ βλεπομένων· ἡ ἀδί-
-στακτος καὶ ἀδιάκριτος ἐλπίς· τῶν τε ὑπὸ θεοῦ
ἡμῖν ἐπηγγελμένων· καὶ τῆς τῶν αἰτήσεων ἡμῶν
ἐπιτυχίας· ἡ μὲν οὖν πρώτη, τῆς ἡμετέρας
γνώμης ἐστίν· ἡ δὲ δευτέρα, τῶν χαρισμάτων
τοῦ πνεύματος· ἰστέον ὅτι διὰ τοῦ βαπτίσματος περι-
τεμνόμεθα, ἅπαν τὸ ἀπὸ γενέσεως κάλυμμα·
ἤτοι τὴν ἁμαρτίαν· καὶ Ἰσραηλῖται πνευματικοὶ καὶ
θεοῦ λαὸς χρηματίζομεν:- περὶ σταυροῦ ἐν ᾧ ἔτι
καὶ περὶ πίστεως:- πζ

λόγος ὁ τοῦ σταυροῦ· τοῖς μὲν
ἀπολλυμένοις, μωρία ἐστί· τοῖς δὲ σωζο-
μένοις ἡμῖν, δύναμις θεοῦ ἐστιν· ὁ μὲν γὰρ πνευματικός,
πάντα ἀνακρίνει· ψυχικὸς δὲ ἄνθρωπος, οὐ δέχε-
ται τὰ τοῦ πνεύματος· μωρία γάρ ἐστι τοῖς μὴ πίστει δε-
-χομένοις· καὶ τὸ ἀγαθὸν καὶ παντοδύναμον τοῦ θεοῦ
λογιζομένοις· ἀλλ' ἀνθρωπίνοις καὶ φυσικοῖς λογισμοῖς
ἐρευνῶσι τὰ θεῖα· πάντα γὰρ τὰ τοῦ θεοῦ, ὑπὲρ
φύσιν καὶ λόγον καὶ ἔννοιαν· εἰ γάρ τις λογίσεται, ὅπως
ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι· τίνος τε ἕνεκ

παρήγαγεν ὁ θεὸς τὰ πάντα· καὶ φύσει χοϊκοῖς λο-
-γισμοῖς φθάσαι μὴ δυνηθὲν, οὐ καταλαμβάνεται.
ψυχικὴ δέ ἐστιν ἡ γνῶσις αὕτη καὶ δαιμονιώδης.
ἀδεέστερος πίστει χειραγωγούμενος· ἀγαθὸν καὶ παν-
-τοδύναμον καὶ ἀληθῆ καὶ σοφὸν καὶ δίκαιον τὸν θε(ὸν)
λογίσοιτο, εὑρήσει πάντα λεῖα καὶ ὁμαλὰ
καὶ ὁδὸν εὐθεῖαν· ἐκ γὰρ τῆς πίστεως, ἀδύνατον
σωθῆναι. πίστει γὰρ πάντα τά τε ἀνθρώπινα, τὰ
τε πνευματικὰ συνίστανται. οὔτε γὰρ γεωργὸς ἐκτὸς
πίστεως τέμνει γῆς αὔλακα· οὔτε ἔμπορος μικρῷ
ξύλῳ τὴν ἑαυτοῦ ψυχὴν τοῖς μαινομένοις τῆς
θαλάσσης πελάγεσι παραδίδωσιν. οὐ γάμος
συνίσταται· οὐκ ἄλλο τι τῶν ἐν τῷ βίῳ. πίστει
νοοῦμεν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα
τῇ τοῦ θεοῦ δυνάμει παρῆχθαι· πάντα τά
τε θεῖα καὶ τὰ ἀνθρώπινα, πίστει κατορθοῦμεν.
πίστις δέ ἐστιν, ἀπολυπραγμόνητος συγκα-
-τάθεσις. πᾶσα μὲν οὖν πρᾶξις καὶ θαυμα-
-τουργία Χριστοῦ, μεγίστη καὶ θεία καὶ θαυμαστή· ἀλλὰ
πάντων ἐστὶ θαυμαστότερον, ὁ τίμιος

αὐτοῦ σταυρός· δι' οὐδενὸς γὰρ ἑτέρου ὁ θάνατος
κατήργηται· ἡ τοῦ προπάτορος ἁμαρτία λέ-
λυται· ὁ ᾅδης ἐσκύλευται· ἡ ἀνάστασις δεδώ-
ρηται· δύναμις ἡμῖν τοῦ καταφρονεῖν τῶν
παρόντων καὶ αὐτοῦ θανάτου δέδοται· ἡ πρὸς
τὴν ἀρχαίαν μακαριότητα ἐπάνοδος κα-
τώρθωται· πύλαι παραδείσου ἠνοίχθησαν· ἡ
φύσις ἡμῶν ἐν δεξιᾷ τοῦ θεοῦ κεκάθικε·
τέκνα θεοῦ καὶ κληρονόμοι γεγόναμεν, εἰ μὴ διὰ
σταυροῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· διὰ σταυροῦ γὰρ ταῦτα
πάντα κατώρθωται· ὅσοι γὰρ ἐβαπτί-
σθημεν εἰς Χριστὸν φησὶν ὁ ἀπόστολος, εἰς τὸν θά-
νατον αὐτοῦ ἐβαπτίσθημεν· ὅσοι δὲ εἰς Χριστὸν
ἐβαπτίσθημεν, Χριστὸν ἐνεδυσάμεθα· Χριστὸς δέ ἐστι
θεοῦ δύναμις καὶ θεοῦ σοφία· ἰδοὺ ὁ θάνατος τοῦ
Χριστοῦ ἤτοι ὁ σταυρὸς, τὴν ἐνυπόστατον τοῦ θεοῦ σοφίαν
καὶ δύναμιν ἡμᾶς περιέβαλε· δύναμις δὲ
θεοῦ ἐστιν ὁ λόγος ὁ τοῦ σταυροῦ, ἤτοι ὅτι ἡ δύναμις τοῦ
θεοῦ ἤτοι ἡ κατὰ τοῦ θανάτου νίκη, δι' αὐτοῦ
ἡμῖν πεφανέρωται, ἤτοι ὅτι ὥσπερ αἱ τέσσαρες

ἄκρα τοῦ σταυροῦ διὰ τοῦ μέσου κέντρου
κρατοῦνται καὶ συσφίγγονται· οὕτω διὰ
τῆς τοῦ θεοῦ δυνάμεως, τό, τε ὕψος καὶ
τὸ βάθος μῆκός τε καὶ πλάτος· ἤτοι πᾶσα
ὁρατὴ καὶ ἀόρατος κτίσις συνέχεται· οὗτος
ἡμῖν σημεῖον δέδοται ἐπὶ τοῦ μετώπου,
ὃν τρόπον τῷ Ἰσραὴλ ἡ περιτομή· δι' αὐτοῦ γὰρ
οἱ πιστοὶ τῶν ἀπίστων, ἀποδιϊστάμεθα
τε καὶ γνωριζόμεθα· οὗτος θυρεὸς καὶ ὅπλον
καὶ τρόπαιον κατὰ τοῦ διαβόλου· οὗτος σφρα-
γίς· ἵνα μὴ θίγῃ ἡμῶν ὁ ὀλοθρεύων, ὥς φησιν
ἡ γραφή· οὗτος τῶν κειμένων ἀνάστασις·
τῶν ἑστώτων στήριγμα· ἀσθενῶν βακτη-
ρία· ποιμαινομένων ῥάβδος· ἐπιστρε-
φόντων χειραγωγία· προκοπτόντων τελεί-
ωσις· ψυχῆς σωτηρία καὶ σώματος· πάντων
κακῶν ἀποτρόπαιον· πάντων ἀγαθῶν πρό-
ξενος· ἁμαρτίας ἀναίρεσις· φυτὸν ἀναστάσεως·
ξύλον ζωῆς αἰωνίου· αὐτὸ μὲν οὖν τὸ τίμιον
ξύλον ὡς ἀληθῶς καὶ σεβάσμιον· ἐν ᾧ ἑαυτὸν

τὸν θυσίαν ὑπὲρ ἡμῶν Χριστὸς προσενήνοχεν·
ὡς ἁγιασθὲν τῇ ἁφῇ τοῦ ἁγίου σώματος
καὶ αἵματος, εἰκότως προσκυνητέον· τοὺς
ἥλους· τὴν λόγχην· τὰ ἐνδύματα καὶ τὰ ἱερὰ
αὐτοῦ σκηνώματα· ἅτινά ἐστιν, ἡ φάτνη·
τὸ σπήλαιον· ὁ γολγοθᾶς ὁ σωτήριος· ὁ ζω-
οποιὸς τάφος· ἡ σιὼν, τῶν ἐκκλησιῶν ἡ ἀ-
κρόπολις· καὶ τὰ ὅμοια· ὡς φησὶν ὁ θεοπάτωρ
δαβίδ· εἰσελευσόμεθα εἰς τὰ σκηνώματα
αὐτοῦ· προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν
οἱ πόδες αὐτοῦ· ὅτι δὲ τὸν σταυρὸν λέγει, δηλοῖ
τὸ ἑπόμενον· ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυ-
σίν σου· ἕπεται γὰρ τῷ σταυρῷ ἡ ἀνάστασις· εἰ γὰρ
τῶν φιλουμένων, ποθητὸς οἶκος καὶ κλίνη καὶ
περιβόλαιον, πόσῳ μᾶλλον τὰ τοῦ θεοῦ καὶ σωτῆρος·
δι' ὧν καὶ σεσώσμεθα· προσκυνοῦμεν δὲ καὶ
τὸν τύπον τοῦ τιμίου σταυροῦ, κἂν ἐξ ἑτέρας
ὕλης γέγονε· οὐ τὴν ὕλην τιμῶντες· μὴ γένοιτο·
ἀλλὰ τὸν τύπον ὡς Χριστοῦ σύμβολον· ἔφη γὰρ
τοῖς ἑαυτοῦ μαθηταῖς διατιθέμενος·

τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ
ἀνθρώπου ἐν τῷ οὐρανῷ· τὸν σταυρὸν λέγων· διὸ οἱ
ταῖς γυναιξὶν ἔλεγον οἱ τῆς ἀναστάσεως
ἄγγελοι· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυ-
ρωμένον; καὶ ὁ ἀπόστολος· ἡμεῖς δὲ κηρύσσομεν
Χριστὸν ἐσταυρωμένον· πολλοὶ μὲν γὰρ χριστοὶ καὶ ἰησοῖ·
ἀλλ' εἷς ὁ ἐσταυρωμένος· οὐκ εἶπε λελογχευμένον
ἀλλ' ἐσταυρωμένον· προσκυνητέον τοίνυν
τὸ σημεῖον τοῦ Χριστοῦ· ἔνθα γὰρ ἂν ᾖ τὸ σημεῖον,
ἐκεῖ καὶ αὐτὸς ἔσται· τὴν δὲ ὕλην ἐξ ἧς ὁ τύπος
τοῦ σταυροῦ συνίσταται, εἰ καὶ χρυσὸς ἢ λίθοι εἶεν·
τίμιοι, μετὰ τὴν τοῦ τύπου, εἰ τύχοι, διάλυσιν,
οὐ προσκυνητέον· πάντα τοίνυν τὰ θεῷ
ἀνακείμενα προσκυνοῦμεν· αὐτῷ τὸ σέβας
προσάγοντες. τοῦτον τὸν τίμιον σταυρὸν προ-
ετύπωσε τὸ ξύλον τῆς ζωῆς· τὸ ἐν παρα-
δείσῳ ὑπὸ θεοῦ πεφυτευμένον· ἐπεὶ γὰρ διὰ
ξύλου θάνατος, ἔδει διὰ ξύλου δωρηθῆναι
τὴν ζωὴν καὶ τὴν ἀνάστασιν. Ἰακὼβ προσ-
κυνήσας τὸ ἄκρον τῆς ῥάβδου ἐνηλλαγ

- μέγας σταυρὸς χριστοῦ τοῖς ὑμνοῦσι· ἰωσὴφ δὲ
- λογήσας καὶ τὸ σημεῖον τοῦ σταυροῦ διαγράφει
σαφέστατα· ἡ ῥάβδος μωσαϊκὴ σταυροτύπως
τὴν θάλασσαν πλήξασα· καὶ σώσασα μὲν
τὸν ἰσραὴλ· φαραὼ δὲ βυθίσασα· χεῖρες
σταυροειδῶς ἐκτεινόμεναι καὶ τὸν ἀμαλὴκ
τροπούμεναι· ξύλῳ τὸ πικρὸν ὕδωρ γλυ-
- καινόμενον· καὶ πέτρα ῥηγνυμένη καὶ προχέ-
- ουσα νάματα· ἡ ῥάβδος τοῦ ἀαρὼν, τὸ
τῆς ἱεραρχίας ἀξίωμα χρηματίζουσα·
ὄφις ἐπὶ ξύλου θριαμβευόμενος ὡς
νενέκρωται τοῦ ξύλου τοὺς νεκροὺς ὁρῶντας
τὸν ἐχθρὸν διασώζοντος, τοὺς πιστεύοντας·
ὡς χριστὸς σαρκὶ ἁμαρτίαν οὐκ εἰδυίᾳ, προ-
σηλωθέντα· μωσῆς ὁ μέγας· ὄψεσθε
τὴν ζωὴν ὑμῶν ἐπὶ ξύλου κρεμαμένην
ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν· ἡσαΐας
ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου
πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα·
οἱ τούτου προσκυνοῦντες τῆς μερίδος

τύχοιμεν χ(ριστο)ῦ τοῦ ἐσταυρωμένου. ἀμήν: —

**περὶ τοῦ προσκυνεῖν ἡμᾶς κατὰ ἀνατολάς: —**

πλς Οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχε κατὰ ἀνατολὰς προσκυνοῦμεν. ἀλλ' ἐπειδὴ ἐξ ὁρατῆς τε καὶ ἀοράτου ἤτοι νοητῆς καὶ αἰσθητῆς σύνθετοι πεποιήμεθα φύσεως, διπλῆν καὶ τὴν προσκύνησιν τῷ δημιουργῷ προσάγομεν· ὥσπερ καὶ τῷ νῷ ψάλλομεν καὶ τοῖς σωματικοῖς χείλεσι· καὶ βαπτιζόμεθα ὕδατί τε καὶ πνεύματι· καὶ διπλῶς τῷ κυρίῳ ἑνούμεθα τῶν μυστηρίων μετέχοντες καὶ τῆς τοῦ πνεύματος χάριτος. ἐπεὶ τοίνυν ὁ θεὸς φῶς ἐστὶ νοητὸν καὶ ἥλιος δικαιοσύνης καὶ ἀνατολὴ ἐν ταῖς γραφαῖς ὀνομάζεται ὁ χ(ριστό)ς, ἀπονεμητέον οὖν αὐτῷ τὴν ἀνατολὴν εἰς προσκύνησιν. πᾶν γὰρ τὸ καλὸν τῷ θεῷ ἀπονεμητέον, ἐξ οὗ πᾶν ἀγαθὸν ἀγαθύνεται. φησὶ δὲ καὶ ὁ θεῖος Δαυίδ· αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε τῷ θεῷ, ψάλατε τῷ κυρίῳ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς. ἔτι δὲ

διὸ ἡ γραφή· ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν
ἐδὲμ κατὰ ἀνατολάς. ἔνθα τὸν ἄνθρωπον
ὃν ἔπλασεν ἔθετο· ὃν παραμαρτόντα, τοῦ
παραδείσου τῆς τρυφῆς ἐξώρισεν·
ἀπέναντι τε τοῦ παραδείσου κατῴκισεν·
ἐκ δυσμῶν δηλαδή· τὴν οὖν ἀρχαίαν πατρίδα
ἐπιζητοῦντες. καὶ πρὸς αὐτὴν ἀτενίζοντες,
τῷ θεῷ προσκυνοῦμεν. καὶ ἡ σκηνὴ δὲ ἡ μω-
σαϊκή, κατὰ ἀνατολὰς εἶχε τὸ καταπέ-
τασμα καὶ τὸ ἱλαστήριον. καὶ ἡ φυλὴ τοῦ ἰούδα
ὡς τιμιωτέρα, ἐξ ἀνατολῶν παρενέβαλε.
καὶ ἐν τῷ περιβοήτῳ δὲ τοῦ σολομῶντος
ναῷ ἡ τοῦ κυρίου πύλη, κατὰ ἀνατολὰς διέκει-
το· ἀλλὰ μὴν καὶ ὁ κύριος σταυρούμενος, ἐπὶ δυσμὰς
ἑώρα. καὶ οὕτω προσκυνοῦμεν πρὸς αὐτὸν ἀτενί-
ζοντες. καὶ ἀναλαμβανόμενος, πρὸς ἀνατολὰς
ἐφέρετο. καὶ οὕτως αὐτὸν οἱ ἀπόστολοι προσε-
κύνησαν. καὶ οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεά-
σαντο αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν·
καὶ αὐτὸς ὁ κύριος ἔφησεν· ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται

ἀπὸ ἀνατολῶν καὶ φθάνει ἕως δυσμῶν,
οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου·
αὐτὸν οὖν ἐκδεχόμενοι, ἐπ' ἀνατολὰς προσ-
κυνοῦμεν· ἄγραφος δέ ἐστιν ἡ παράδοσις
αὕτη τῶν ἀποστόλων· πολλὰ γὰρ ἀγράφως
ἡμῖν παρέδωκαν: — περὶ τῶν ἁγίων καὶ ἀ-
χράντων τοῦ Χριστοῦ μυστηρίων: —

πθ Ὁ ἀγαθὸς καὶ πανάγαθος καὶ ὑπεράγαθος θεὸς
ὁ ὅλος ὢν ἀγαθότης· διὰ τὸν ὑπερβάλ-
λοντα πλοῦτον τῆς αὐτοῦ ἀγαθότητος,
οὐκ ἠνέσχετο μόνον εἶναι τὸ ἀγαθόν· ἤτοι
τὴν ἑαυτοῦ φύσιν ὑπ' οὐδενὸς μετέχεσθαι·
τούτου χάριν ἐποίησε μὲν πρῶτον, τὰς νο-
ερὰς καὶ οὐρανίους δυνάμεις· εἶτα τὸν ὁρατὸν
καὶ αἰσθητὸν κόσμον· εἶτα ἐκ νοεροῦ καὶ αἰ-
σθητοῦ τὸν ἄνθρωπον· πάντα τοίνυν οὖν τὰ
ὑπ' αὐτοῦ γινόμενα, κοινωνοῦσι τῆς αὐτοῦ
ἀγαθότητος κατὰ τὸ εἶναι· αὐτὸς γάρ ἐστι τοῖς
πᾶσι τὸ εἶναι· ἐπειδὴ ἐν αὐτῷ ἐστι τὰ ὄντα·
οὐ μόνον ὅτι αὐτὸς ἐκ τοῦ μὴ ὄντος πρὸς τὸ

ἀμαγ αὐτὰ παρήγαγεν, ἀλλ᾽ ὅτι καὶ αὐτοῦ ἐνορ-
-γεῖται τὰ ὑπ᾽ αὐτοῦ γινόμενα συντηρεῖ καὶ
συνέχει. ἐκ προνοίας τοῦ δὲ τὰ ζῶα· κατὰ
μὲν τὸ εἶναι, ἕκαστα τὰ ζῶα μετέχει κοινω-
-νοῦσι τοῦ ἀγαθοῦ· τὰ δὲ λογικά, ἕκαστα
τὰ προειρημένα, οὐ μὴν ἀλλὰ ἕκαστα τὸ
λογικόν· ἐν ταύτῃ μᾶλλον, οἰκειότερα τὸ πρὸ-
ς ἐστὶ πρὸς αὐτόν· ὅτι καὶ πάντων ὑπερέχει τὰ ἀ-
συγκρίτως. ὁ μὲν τοιαῦτος λογικὸς καὶ
αὐτεξούσιος γενόμενος, ἐξουσίαν εἰληφὼς ἀσφα-
-λεῖ πως διὰ τῆς οἰκείας προαιρέσεως
ἑνοῦσθαι τῷ θεῷ, εἴτε καὶ διαμένειν ἐν τῷ ἀγαθῷ·
τουτέστιν ἐν τῇ τοῦ κτίσαντος ὑπακοῇ· ἐπεὶ
τοίνυν ὢν ἐν παραβάσει τῆς τοῦ πεποιηκότος
αὐτὸν ἐντολῆς γεγόναμεν, καὶ θανάτῳ καὶ φθορᾷ ὑπο-
-πεπτώκαμεν, ὁ ποιητὴς καὶ δημιουργὸς τοῦ
γένους ἡμῶν. διὰ σπλάγχνα ἐλέους αὐτοῦ,
ὡμοιώθη ἡμῖν κατὰ πάντα γενόμενος
ἄνθρωπος χωρὶς ἁμαρτίας. καὶ ἡνώθη τῇ ἡμετέρᾳ
φύσει· ἐπειδὴ γὰρ μετέδωκεν ἡμῖν τῆς ἰδ

ἀκόμη δὲ τοῦ ἰδίου πτώματος καὶ οὐκ ἐφύλαξαν,
μηδ᾽ ἀλλαγὴ μαίνει τῆς πτωχείας καὶ ἀσθενείας
ἡμῶν φύσεως, ἵνα ἡμᾶς καθαρὴ καὶ ἀ-
φθαρτίσῃ καὶ μηδ᾽ ἔχοις πάλιν τῆς αὐτοῦ κατα-
στάσεως θεότητος. ἔδει δὲ καὶ μόνον τὴν ἀπαρχὴν
τῆς ἡμετέρας φύσεως, ἣν μηδ᾽ ἔσχε, γενέσθαι
τῆς χρείας του. ἀλλὰ καὶ πάντα τὰ τὸν κουλόμενον
ἅμα. καὶ δεύτερον γέννησιν γεννηθῆναι, καὶ τρα-
φῆναι τροφὴν ζωὴν καὶ τῇ γεννήσει παρὰ φέρον,
καὶ οὕτως φθάσαι τὸ μέτρον τῆς τελειότητος
διὰ ἀναγνώσεως τῆς αὐτοῦ γεννήσεως ἡ ποιοῦσα
κῶς δὲ καὶ τοῦ βαπτίσματος καὶ τοῦ πάθους
καὶ τῆς ἀναστάσεως, ἠλευθέρωσε τὴν φύσιν
τῆς ἁμαρτίας τοῦ προπάτορος, τοῦ θανάτου
τῆς φθορᾶς, καὶ τῆς ἀναστάσεως ἀπαρχὴ
γέγονε. καὶ ὁδὸν καὶ τύπον ἑαυτὸν καὶ ὑπογραμμὸν
τέθεικεν. ἵνα καὶ ἡμεῖς τοῖς αὐτοῦ ἀκολου-
θήσαντες ἴχνεσι· γενώμεθα θέσει ὅπερ
αὐτός ἐστι φύσει· υἱοὶ καὶ κληρονόμοι θεοῦ καὶ αὐτοῦ
συγκληρονόμοι. ἔδωκεν οὖν ἡμῖν ὡς ἔφην

γέννησιν δευτέραν ἵνα ὥσπερ γεννηθέντες
ἐκ τοῦ ἀδὰμ ὡμοιώθημεν αὐτῷ· κληρονο-
μήσαντες τὴν κατάραν καὶ τὴν φθοράν,
οὕτω καὶ ἐξ αὐτοῦ γεννηθέντες, ὁμοιωθῶμεν
αὐτῷ· καὶ κληρονομήσωμεν τὴν ἀφθαρσίαν
καὶ τὴν εὐλογίαν καὶ τὴν δόξαν αὐτοῦ. ἐπειδὴ
δὲ πνευματικὸς ὁ ἀδὰμ, ἔδει καὶ τὴν γέννησιν πνευματικὴν
εἶναι· ὁμοίως καὶ τὴν βρῶσιν· ἀλλ' ἐπειδὴ δι-
πλοῖ τινές ἐσμεν καὶ σύνθετοι, δεῖ καὶ τὴν
γέννησιν διπλῆν εἶναι· ὁμοίως καὶ τὴν βρῶσιν
σύνθετον. ἡ μὲν οὖν γέννησις δι' ὕδατος
ἡμῖν καὶ πνεύματος δέδοται· φημὶ δὴ τοῦ ἁγίου βα-
πτίσματος· ἡ δὲ βρῶσις, αὐτὸς ὁ ἄρτος τῆς ζωῆς
ἡμῶν ὁ κύριος Ἰησοῦς Χριστὸς ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. μέλλων
γὰρ τὸν ἑκούσιον ὑπὲρ ἡμῶν καταδέχεσθαι
θάνατον, ἐν τῇ νυκτὶ ᾗ αὐτὸν παρεδίδου,
διαθήκην καινὴν διέθετο τοῖς ἁγίοις αὐτοῦ μα-
θηταῖς καὶ ἀποστόλοις καὶ δι' αὐτῶν, πᾶσι τοῖς
εἰς αὐτὸν πιστεύουσιν. ἐν τῷ ὑπερῴῳ τοίνυν
τῆς ἁγίας καὶ ἐνδόξου σιὼν, τὸ παλαιὸν πάσχα

x · m

μετὰ τῶν μαθητῶν αὐτοῦ φαγὼν καὶ πληρώσας
τὴν παλαιὰν διαθήκην, νίπτει τῶν μα-
θητῶν τοὺς πόδας· σύμβολον τοῦ βαπτίσματος
παρεχόμενος. εἶτα κλάσας τὸν ἄρτον, ἐπε-
δίδου αὐτοῖς λέγων· λάβετε φάγετε. τοῦτό
μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον
εἰς ἄφεσιν ἁμαρτιῶν. ὁμοίως δὲ λαβὼν τὸ πο-
τήριον ἐξ οἴνου καὶ ὕδατος, μετέδωκεν αὐτοῖς
λέγων· πίετε ἐξ αὐτοῦ πάντες τοῦτό ἐστι
τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης· τὸ
ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν·
τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν·
ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ
τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ
υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε· καὶ τὴν ἀνάστασιν
αὐτοῦ ὁμολογεῖτε ἕως ἂν ἔλθῃ. καὶ τοίνυν ὁ
λόγος τοῦ θεοῦ ζῶν ἐστὶ καὶ ἐνεργής· καὶ πάντα ὅσα
ἠθέλησεν ὁ κύριος ἐποίησεν· ὁ εἰπὼν γενηθήτω φῶς·
καὶ ἐγένετο φῶς· γενηθήτω στερέωμα, καὶ ἐγένετο·
καὶ τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνι

τοῦ σώματος αὐτοῦ πᾶσαν ἡ δύναμις αὐτῶν·
ἡ δὲ ὠμῶσα δέ ἐστιν· ὕδωρ τε καὶ πῦρ καὶ ἀὴρ καὶ πᾶς ὁ
κόσμος αὐτῶν τῷ λόγῳ χριστοῦ συνεπελάσθησαν·
καὶ τοῦτο δὴ τὸ πολυθρύλλητον ζῶον ὁ ἀμνός· ὁ
θεληθεὶς αὐτοῦ ὁ θεὸς λόγος ἐγένετο ἀμνός. καὶ τῶν
τῆς ἁγίας παρθένου καθαρῶν καὶ ἀμιάντων
αἱμάτων ἑαυτῷ ἀπορρήτως σάρκα ὑπεστήσατο·
οὐ δυνατὸν τοῦ ἄρτου ἑαυτοῦ σῶμα ποιῆσαι·
καὶ τοῦ οἴνου καὶ τὸ ὕδωρ αἷμα, ὁ πάντων ὢν ἀρχή·
ἐξαγαγὼν τῶν ἐκ γῆς ὡς τὰ ἀμήχανα χόρτου· καὶ μέχρι τοῦ
νῦν τοῦ ὑετοῦ γινομένου, ἐξάγει ταῖς ἰδίαις αὐ-
-ξήμασι· τῷ θείῳ συνελαυνομένη καὶ ἐνδυ-
-ναμουμένη προστάγματι· ὁ πάντων ὁ θεός· τοῦτό
μου ἐστὶ τὸ σῶμα· καὶ τοῦτό μου τὸ αἷμα· καὶ
τοῦτο ποιεῖτε· καὶ τῷ παντοδυνάμῳ αὐτοῦ
προστάγματι ἕως ἂν ἔλθῃ· καὶ γίνεται ὑετὸς
τῇ καινῇ ταύτῃ γεωργίᾳ διὰ τῆς ἐπικλήσεως
ἡ τοῦ ἁγίου πνεύματος ἐπισκιάζουσα δύναμις.
ὥσπερ γὰρ πάντα ὅσα ἐποίησεν ὁ θεὸς τῇ
τοῦ ἁγίου πνεύματος ἐνεργείᾳ ἐποίησεν, οὕτω καὶ νῦν

ἡ τοῦ πνεύματος ὠφέλεια τὰ ὑπὲρ φύσιν ἐργάζεται·
ἃ οὐ δύναται χωρῆσαι, εἰ μὴ μόνη πίστις· πῶς
ἔσται μοι τοῦτο φησὶν ἡ ἁγία παρθένος ἐπεὶ ἄνδρα
οὐ γινώσκω· ἀποκρίνεται γαβριὴλ ὁ ἀρχάγ-
γελος· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις
ὑψίστου ἐπισκιάσει σοι. καὶ νῦν ἐρωτᾷς, πῶς
ὁ ἄρτος γίνεται σῶμα χριστοῦ; καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ
αἷμα χριστοῦ; λέγω σοι κἀγώ· πνεῦμα ἅγιον ἐπιφοι-
τᾷ καὶ ταῦτα ποιεῖ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν·
ἄρτος δὲ καὶ οἶνος παραλαμβάνεται· οἶδε γὰρ
ὁ θεὸς τὴν ἀνθρωπίνην ἀσθένειαν· ὡς γὰρ τὰ πολλὰ
τὰ μὴ κατὰ τὴν συνήθειαν τετριμμένα,
ἀποστρέφεται δυσχεραίνουσα· τῇ οὖν συνή-
θει συγκαταβάσει κεχρημένος, διὰ τῶν συνήθων
τῆς φύσεως, ποιεῖ τὰ ὑπὲρ φύσιν· καὶ ὥσπερ
ἐπὶ τοῦ βαπτίσματος· ἐπειδὴ ἔθος τοῖς
ἀνθρώποις ὕδατι λούεσθαι καὶ ἐλαίῳ χρίεσθαι· συνέ-
ζευξε τῷ ἐλαίῳ καὶ τῷ ὕδατι τὴν χάριν τοῦ
πνεύματος· καὶ ἐποίησεν αὐτὸ λουτρὸν ἀναγεννήσεως·
οὕτως ἐπειδὴ ἔθος τοῖς ἀνθρώποις ἄρτον

ἐσθίειν· ὕδωρ δὲ καὶ οἶνον πίνειν συνέζευξεν
αὐτοῖς τὴν αὐτοῦ θεότητα· καὶ πεποίηκεν
αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ· ἵνα διὰ τῶν
συνήθων καὶ κατὰ φύσιν, ἐν τοῖς ὑπὲρ φύσιν
γενώμεθα· σῶμά ἐστιν ἀληθῶς ἡνωμένον θεότητι
τὸ ἐκ τῆς ἁγίας παρθένου σῶμα· οὐχ ὅτι αὐτὸ
τὸ σῶμα τὸ ἀναληφθὲν ἐξ οὐρανῶν κατέρχεται·
ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος καὶ ὁ οἶνος, μεταποιεῖται εἰς
σῶμα, καὶ αἷμα θεοῦ· εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς πῶς
γίνεται, ἀρκεῖ σοι ἀκοῦσαι ὅτι διὰ πνεύματος ἁγίου·
ὥσπερ ἐκ τῆς ἁγίας θεοτόκου διὰ πνεύματος ἁγίου ἑαυτῷ
καὶ ἐν ἑαυτῷ ὁ κύριος, σάρκα ὑπεστήσατο· καὶ πλέον
οὐδὲν γινώσκομεν· ἀλλ' ὅτι ὁ λόγος τοῦ θεοῦ, ἀληθὴς
καὶ ἐνεργής ἐστι καὶ παντοδύναμος· ὁ δὲ τρόπος ἀνε-
ξερεύνητος· οὐ χεῖρον δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι ὥσπερ
φυσικῶς διὰ τῆς βρώσεως, ὁ ἄρτος καὶ ὁ οἶνος καὶ τὸ
ὕδωρ διὰ τῆς πόσεως· εἰς σῶμα καὶ αἷμα τοῦ
ἐσθίοντος καὶ πίνοντος μεταβάλλεται· καὶ οὐ γίνεται
ἕτερον σῶμα παρὰ τὸ πρότερον αὐτοῦ

σῶμα, οὕτω καὶ ὁ τῆς προθέσεως ἄρτος οἶνός τε καὶ ὕδωρ· διὰ τῆς ἐπικλήσεως καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος ὑπερφυῶς μεταποιεῖται εἰς σῶμα τοῦ Χριστοῦ καὶ αἷμα· καὶ οὐκ εἰσὶ δύο, ἀλλ᾿ ἓν καὶ τὸ αὐτό· γίνεται τοῖς μὲν τοῖς πίστει ἀξίως μεταλαμβάνουσιν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον· καὶ εἰς φυλακτήριον ψυχῆς τε καὶ σώματος· τοῖς δὲ ἐν ἀπιστίᾳ ἀναξίως μετέχουσιν, εἰς κόλασιν καὶ τιμωρίαν· καθάπερ καὶ ὁ τοῦ Χριστοῦ θάνατος, τοῖς μὲν πιστεύουσι γέγονε ζωὴ καὶ ἀφθαρσία εἰς ἀπόλαυσιν τῆς αἰωνίου μακαριότητος, τοῖς δὲ ἀπειθοῦσι καὶ τοῖς χριστοκτόνοις, εἰς κόλασιν καὶ τιμωρίαν αἰώνιον· οὐκ ἔστι τύπος ὁ ἄρτος καὶ ὁ οἶνος τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, μὴ γένοιτο· ἀλλ᾿ αὐτὸ τὸ σῶμα τοῦ Χριστοῦ τεθεωμένον· αὐτοῦ τοῦ Χριστοῦ εἰπόντος, τοῦτό μου ἐστί, οὐ τύπος τοῦ σώματος, ἀλλὰ τὸ σῶμα· καὶ οὐ τύπος τοῦ αἵματος, ἀλλὰ τὸ αἷμα· καὶ πρὸ τούτου

τοῖς ἰουδαίοις. ὅτι εἰ μὴ φάγητε τὴν σάρκα
τοῦ υἱοῦ τοῦ ἀνθρώπου, οὐκ ἔχετε ζωὴν αἰώνιον.
ἡ γὰρ σάρξ μου, ἀληθῶς ἐστι βρῶσις. καὶ τὸ αἷμά
μου, ἀληθῶς ἐστὶ πόσις. καὶ πάλιν ὁ τρώγων με,
ζήσεται δι' ἐμέ. διὸ μετὰ παντὸς φόβου καὶ συνειδήσεως
καθαρᾶς καὶ ἀδιστάκτου πίστεως προσέλθωμεν.
καὶ πάντως ἔσται ἡμῖν καθὼς πιστεύομεν μὴ δι-
στάζοντες. τιμήσωμεν δὲ αὐτὸ πάσῃ καθα-
ρότητι ψυχικῇ τε καὶ σωματικῇ. διπλοῦν
γάρ ἐστι. προσέλθωμεν αὐτῷ πόθῳ διαπύρῳ. καὶ
σταυροειδῶς τὰς παλάμας τυπώσαντες, τοῦ
ἐσταυρωμένου τὸ σῶμα ὑποδεξώμεθα. καὶ
ἐπιθέντες τοὺς ὀφθαλμοὺς καὶ χείλη καὶ μέτωπον,
τοῦ θείου ἄνθρακος μεταλάβωμεν. ἵνα τὸ πῦρ
τοῦ ἐν ἡμῖν πόθου. προσλαβὸν τὴν ἐκ τοῦ ἄν-
θρακος πύρωσιν, καταφλέξῃ ἡμῶν τὰς ἁμαρ-
τίας. καὶ φωτίσῃ ἡμῶν τὰς καρδίας. καὶ τῇ
μετουσίᾳ τοῦ θείου πυρός, πυρωθῶμεν καὶ θεωθῶμεν.
ἄνθρακα εἶδεν ἠσαΐας. ἄνθραξ δὲ, ξύλον
λιτὸν οὐκ ἔστιν. ἀλλ' ἡνωμένον πυρί. οὕτω καὶ

ὁ ἄρτος τῆς κοινωνίας, οὐκ ἄρτος λιτός ἐστιν·
ἀλλ᾽ ἡνωμένος θεότητι. σῶμα δὲ ἡνωμένον
θεότητι, οὐ μία φύσις ἐστίν· ἀλλὰ μία μὲν
τοῦ σώματος. τῆς δὲ ἡνωμένης αὐτῷ θεό-
τητος ἑτέρα. ὥστε τὸ συναμφότερον, οὐ
μία φύσις ἀλλὰ δύο. ἄρτῳ καὶ οἴνῳ ἐδεξιοῦτο
ὁ μελχισεδὲκ, τὸν ἀβραὰμ ἐκ τῆς τῶν ἀλλο-
φύλων κοπῆς ὑποστρέφοντα. ὁ ἱερεὺς τοῦ
θεοῦ τοῦ ὑψίστου. ἐκείνη ἡ τράπεζα, ταύτην
τὴν μυστικὴν προεικόνιζε τράπεζαν. ὥσπερ
ἐκεῖνος ὁ ἱερεὺς, τοῦ ἀληθινοῦ ἀρχιερέως
χριστοῦ τύπος ἦν καὶ εἰκόνισμα. σὺ γὰρ εἶ, φησίν, ἱερεὺς
εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελχισεδέκ.
τοῦτον τὸν ἄρτον οἱ ἄρτοι εἰκόνιζον τῆς προ-
θέσεως. αὕτη ἐστὶν ἡ καθαρὰ θυσία δηλαδὴ
καὶ ἀναίμακτος. ἣν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι
δυσμῶν αὐτῷ προσφέρεσθαι, διὰ τοῦ προφήτου
ὁ κύριος ἔφησε. σῶμα ἐστὶ καὶ αἷμα χριστοῦ, πρὸς σύστασιν
τῆς ἡμετέρας ψυχῆς τε καὶ σώματος χωροῦν.
οὐ δαπανώμενον. οὐ φθειρόμενον. οὐκ εἰς

ἀφεδρῶνα χωρεῖν μὴ γένοιτο· ἀλλ' εἰς τὴν
ἡμῶν οὐσίαν τε καὶ συντήρησιν· καὶ ὥσπερ τὸ ἀρ-
-τοδαπῆς ἀμυντήριον· οὕτω παρὰ τοῦ καθαρ-
-τηρίου· ἂν μὲν χριστιανὸν λάβηται καὶ ἔνδηλον, διὰ
τῆς κρίσεως τῇ κοινῇ πυρώσει καθαίρεσθαι· ἵνα μὴ
ἐν τῷ μέλλοντι σὺν τῷ κόσμῳ κατακριθῶμεν·
καθαίρει τε νόσοις καὶ παντοίαις ἐπιφοραῖς·
καθὼς φησὶν ὁ θεῖος ἀπόστολος· ἀλλ' εἰ ἑαυτοὺς ἐκρί-
-νομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ
ὑπὸ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ
κατακριθῶμεν· καὶ τοῦτο δηλονότι λέγει· ὥσπερ
ὁ μετέχων τοῦ σώματος καὶ τοῦ αἵματος
τοῦ χριστοῦ ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ
πίνει· δι' αὐτοῦ καθαιρόμενοι, ἑνούμεθα
τῷ σώματι τοῦ χριστοῦ καὶ τῷ πνεύματι αὐτοῦ· καὶ γι-
-νόμεθα σῶμα χριστοῦ· οὗτος ὁ ἄρτος ἐστὶν, ἡ ἀ-
παρχὴ τοῦ μέλλοντος ἄρτου· ὅ ἐστιν ὁ ἐπιούσιος·
τὸ γὰρ ἐπιούσιον, δηλοῖ ἢ τὸν μέλλοντα· του-
-τέστι τοῦ μέλλοντος αἰῶνος, ἢ τοῦ πρὸς συν-
τήρησιν τῆς οὐσίας ἡμῶν λαμβανόμενον·

ἔστε οὖν οὕτως· ἔστε οὕτως, τὸ τοῦ κυρίου σῶμα
προσφυῶς ληφθήσεται· πνεῦμα γὰρ ζωοποι-
οῦν ἐστὶν ἡ σὰρξ τοῦ χριστοῦ· διότι ἐκ τοῦ ζωοποιοῦ
πνεύματος συνελήφθη· τὸ γὰρ γεγεννημένον ἐκ τοῦ
πνεύματος, πνεῦμά ἐστι· τοῦτο δὲ λέγω, οὐκ ἀναιρῶν
τὴν τοῦ σώματος φύσιν· ἀλλὰ τὸ ζωοποιὸν
καὶ θεῖον τούτου δηλῶσαι βουλόμενος· εἰ δὲ καί τινες
ἀντίτυπα τοῦ σώματος καὶ τοῦ αἵματος
τοῦ κυρίου· τὸν ἄρτον καὶ τὸν οἶνον ἐκάλεσαν·
ὡς ὁ θεοφόρος ἔφη βασίλειος, οὐ μετὰ τὸ
ἁγιασθῆναι εἶπον. ἀλλὰ πρὶν ἁγιασθῆναι
αὐτὴν τὴν προσφορὰν οὕτω καλέσαντες.
μετάληψις λέγεται· δι᾽ αὐτῆς γὰρ τῆς τοῦ ἰησοῦ
θεότητος μεταλαμβάνομεν· κοινωνία δὲ
λέγεταί τε καὶ ἔστιν ἀληθῶς, διὰ τὸ κοινωνεῖν
ἡμᾶς δι᾽ αὐτῆς τῷ χριστῷ· καὶ μετέχειν αὐτοῦ
τῆς σαρκός τε καὶ τῆς θεότητος· κοινωνεῖν
δὲ καὶ ἑνοῦσθαι καὶ ἀλλήλοις δι᾽ αὐτῆς· ἐπεὶ γὰρ
ἐξ ἑνὸς ἄρτου μεταλαμβάνομεν οἱ πάντες,
ἓν σῶμα χριστοῦ· καὶ ἓν αἷμα, καὶ ἀλλήλων μέλη

γινόμεθα· σύσσωμοι Χριστοῦ χρηματίζοντες·
πάσῃ τοίνυν δυνάμει φυλαξώμεθα, μὴ
μηδ' ἀλλαγμάτων μηδ' ἄλλης τινὸς αἱρετικῶν· μήτε
μηδ' ἀδιδόναι· μὴ δῶτε γὰρ τὰ ἅγια τοῖς κυσὶ
φησὶν ὁ Χριστός· μηδὲ ῥίπτετε τοὺς μαργαρίτας
ὑμῶν ἔμπροσθεν τῶν χοίρων· ἵνα μὴ μέτοχοι
τῆς κακοδοξίας καὶ τῆς αὐτῶν γενώμεθα κατα-
κρίσεως· ἔστι γὰρ πάντως ἕνωσις [illegible] πρὸς Χριστόν,
καὶ πρὸς ἀλλήλους πάντως· καὶ πᾶσι τοῖς με-
ταλαμβάνουσιν ἡμῖν, κατὰ προαίρεσιν ἑνού-
μεθα· ἐκ προαιρέσεως γὰρ ἡ ἕνωσις αὕτη γίνεται·
οὐ χωρὶς τῆς ἡμῶν γνώμης· ἀντίτυπα δὲ
τῶν μελλόντων λέγεται, οὐχ ὡς μὴ ὄντα ἀλη-
θῶς σῶμα καὶ αἷμα Χριστοῦ, ἀλλ' ὅτι νῦν μὲν δι' αὐτῶν
μετέχομεν τῆς Χριστοῦ θεότητος· τότε δὲ νοητῶς,
διὰ μόνης τῆς θέας:— περὶ τῆς γενεαλογίας
τοῦ κυρίου· καὶ περὶ τῆς ἁγίας θεοτόκου:— 4

Περὶ τῆς ἁγίας ὑπερυμνήτου ἀειπαρθένου
καὶ θεοτόκου Μαρίας ἐν τοῖς προλαβοῦσι μετρίως,
διαλαβόντες· καὶ τὸ καιριώτατον παραστη-

σαρκωθέντος· ὡς κυρίως καὶ ἀληθῶς θεοτόκος ἐστί τε
καὶ ὀνομάζεται. νῦν τὰ λείπονται πρὸς ἀ-
ναπληρώσομεν· αὕτη δὲ τῇ προγνωστικῇ βουλῇ
τοῦ θεοῦ προορισθεῖσα καὶ διαφόροις εἰκόσι
καὶ λόγοις προφητῶν διὰ πνεύματος ἁγίου· εἰκονισθεῖ-
σα τε καὶ προκηρυχθεῖσα, ἐν τῷ προωρισμένῳ
καιρῷ· ἐκ δαυῒδ τῆς κοινῆς ῥίζης ἐβλάστησε· διὰ τὰς
πρὸς αὐτὸν γενομένας ἐπαγγελίας· ὤμοσε
γὰρ κς φησὶ τῷ δαδ ἀλήθειαν καὶ οὐ μὴ ἀθε-
τήσει αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσο-
μαι ἐπὶ τοῦ θρόνου σου· καὶ πάλιν· ἅπαξ ὤμοσα
ἐν τῷ ἁγίῳ μου εἰ τῷ δαδ ψεύσομαι· τὸ
σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ· καὶ
ὁ θρόνος αὐτοῦ, ὡς ὁ ἥλιος ἐναντίον μου· καὶ
ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα·
καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. καὶ ἡσαΐας· ἐξα-
νατελεῖ ῥάβδος ἐξ ἰεσσαί· καὶ ἄνθος ἐκ τῆς
ῥίζης ἀναβήσεται. ὅτι μὲν οὖν ἰωσὴφ ἐκ δαυ-
ιτικοῦ φύλου κατάγεται, ματθαῖος καὶ
λουκᾶς οἱ ἱερώτατοι εὐαγγελισταὶ διαρρήδην

ὑπέδειξαν· ἄλλο μὲν ματθαῖος, ἐκ δαυῒδ διὰ
σολομῶντος κατάγει τὸν ἰωσήφ· ὁ δὲ λουκᾶς
διὰ νάθαν· τῆς δὲ ἁγίας παρθένου τὴν
γέννησιν, οἱ ἀμφότεροι παρεσιώπησαν·
χρὴ οὖν εἰδέναι ὡς οὐκ ἦν ἔθος ἑβραίοις οὐ-
δὲ τῇ θείᾳ γραφῇ γενεαλογεῖσθαι γυναῖκας.
νόμος δὲ ἦν, μὴ μνηστεύεσθαι φυλὴν ἐξ ἑτέρας
φυλῆς· ὁ δὲ ἰωσὴφ ἐκ δαυῒδ πατρικοῦ καταγό-
μενος φύλου· καὶ δίκαιος ὑπάρχων· τοῦτο γὰρ
αὐτῷ μαρτυρεῖ τὸ θεῖον εὐαγγέλιον, οὐκ ἂν
παρανόμως τὴν ἁγίαν παρθένον προσμνη-
στείαν ἠγάγετο· εἰ μὴ ἐκ τοῦ αὐτοῦ σκήπτρου
κατήγετο· δείξας τοίνυν τὸ τοῦ ἰωσὴφ
καταγώγιον, ἠρκέσθη. χρὴ δὲ καὶ τοῦτο εἰδέναι
ὡς νόμος ἦν ἀγόνου ἀνδρὸς τελευτῶντος,
τὸν τούτου ἀδελφὸν, τὴν τοῦ τετελευτηκότος
γαμετὴν πρὸς γάμον ἄγεσθαι καὶ ἐξεγείρειν σπέρμα
τῷ ἀδελφῷ· τὸ οὖν τικτόμενον κατὰ φύσιν
μὲν τοῦ δευτέρου ἤτοι τοῦ γεννήσαντος ἦν·
κατὰ δὲ νόμον, τοῦ τελευτήσαντος. ἐκ τῆς

σειρᾶς τοίνυν τοῦ νάθαν τοῦ υἱοῦ δαβίδ,
λευὶ ἐγέννησε τὸν μελχὶ καὶ τὸν πάνθηρα·
ὁ πάνθηρ ἐγέννησε τὸν βαρπάνθηρα οὕτω
ἐπικληθέντα· οὗτος ὁ βαρπάνθηρ, ἐγέν-
-νησε τὸν ἰωακείμ· ἰωακεὶμ ἐγέννησε τὴν
ἁγίαν θεοτόκον· ἐκ δὲ τῆς σειρᾶς τοῦ σολομῶντος
τοῦ υἱοῦ δαβίδ, ματθὰν ἔσχε γυναῖκα· ἐξ
ἧς ἐγέννησε τὸν ἰακώβ· τελευτήσαντος
δὲ τοῦ ματθάν, μελχὶ ὁ ἐκ τῆς φυλῆς τοῦ
νάθαν, ὁ υἱὸς λευί, ἀδελφὸς δὲ τοῦ πάνθηρος,
ἔγημε τὴν γυναῖκα τοῦ ματθάν, μητέρα δὲ
τοῦ ἰακώβ· καὶ ἐξ αὐτῆς ἔσχε τὸν ἠλί· ἐγέ-
-νοντο οὖν ἀδελφοὶ ὁμομήτριοι, ἰακὼβ
καὶ ἠλί· ὁ μὲν ἰακὼβ, ἐκ τῆς φυλῆς σολο-
-μῶντος· ὁ δὲ ἠλί, ἐκ φυλῆς νάθαν· ἐτε-
-λεύτησε δὲ ὁ ἠλί, ὁ ἐκ τῆς φυλῆς τοῦ νά-
-θαν, ἄπαις· καὶ ἔλαβεν ἰακὼβ ὁ ἀδελφὸς
αὐτοῦ ὁ ἐκ τῆς φυλῆς σολομῶντος, τὴν γυ-
-ναῖκα αὐτοῦ καὶ ἐγέννησε τὸν ἰωσήφ· ὁ οὖν
ἰωσὴφ φύσει μὲν υἱὸς ἰακὼβ ἐκ τοῦ

καταγωγίου τοῦ σολομῶντος· κατὰ δὲ νόμον,
ἡλὶ τοῦ ἐχνάθαν· ἰωακεὶμ τοίνυν τὴν
σεμνὴν ταύτην καὶ ἀξιεπαινον ἄνναν, ὡς γάμου
ἠγάγετο· ἀλλ᾽ ὥσπερ ἡ πάλαι ἄννα στειρεύ-
σασα· δι᾽ εὐχῆς καὶ ἐπαγγελίας τοῦ σαμουὴλ
ἐγέννησεν, οὕτω δ᾽ αὖ λιτῆς καὶ ἐπαγγελίας,
παρὰ θεοῦ τὴν θεοτόκον κομίζεται· ἵνα κἀν τούτῳ
μηδενὸς τῶν περιφανῶν καθυστερίζοιτο·
τίκτει τοιγαροῦν ἡ χάρις· τοῦτο γὰρ ἡ ἄννα
ἑρμηνεύεται, τὴν κυρίαν· τοῦτο γὰρ τῆς
μαρίας σημαίνει τὸ ὄνομα· κυρία γὰρ ὄντως
γέγονε πάντων τῶν ποιημάτων· τοῦ δημι-
ουργοῦ χρηματίσασα μήτηρ· τίκτεται δὲ
ἐν τῷ τῆς προβατικῆς τοῦ ἰωακεὶμ οἴκῳ·
καὶ τῷ ἱερῷ προσάγεται· εἶτα ἐν τῷ οἴκῳ
τοῦ θεοῦ φυτευθεῖσά τε καὶ πιανθεῖσα τῷ
πνεύματι ὥσπερ ἐλαία κατάκαρπος, πάσης ἀρετῆς
καταγώγιον γέγονε· πάσης βιωτικῆς καὶ
σαρκικῆς ἐπιθυμίας, τὸν νοῦν ἀποστήσασα·
καὶ οὕτω σὺν τῷ σώματι παρθένον τὴν ψυχὴν τηρήσασα

Υ. m.

σὺν τῷ σώματι, ὡς ἔπρεπε τὸν θεὸν ἐγ-
κόλπιον ὑποδέχεσθαι μέλλουσαν· ἄξιος
γὰρ ὢν, ἐν ἀξίοις ἀναπαύεται. οὕτω τοίνυν
ἀξίως συνῳκισμένη μετέρχεται· καὶ ναὸς ἄξιος καὶ
θαυμαστὸς τοῦ ὑψίστου θεοῦ ἀναδείκνυται ἀξί(ως).
ἐπειδὴ δὲ ἐπετήρει τὰς παρθένους ὁ
τῆς ἡμῶν σωτηρίας ἐχθρὸς, διὰ τὴν ἡσαΐου
προρρῆσιν· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει
φήσαντος· καὶ τέξεται υἱὸν καὶ καλέσουσι
τὸ ὄνομα αὐτοῦ ἐμμανουήλ· ὅ ἐστι μεθερμη-
νευόμενον μεθ᾽ ἡμῶν ὁ θεός· ὡς ἂν δέξαιτο
τὸν ἐν σοφίᾳ ἀμαυρούμενον. ὁ δράσσο-
μενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν,
παρθένῳ μνηστεύεται ἡ νεᾶνις τῷ ἰωσὴφ ὑπὸ τῶν
ἱερέων δίδοται· ὁ καίριος τόμος τῶν γραμ-
μάτων ἐκδέδοται· ἡ δὲ μνηστεία, φύλακί τε τῆς
παρθένου ὑπῆρχε, καὶ τοῦ τὰς παρθένους
ἐπιτηροῦντος, ἀπονουχόλημα· ὅτε δὲ
ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἀπεστάλη
ἄγγελος πρὸς αὐτὴν, τὴν τοῦ χριστοῦ εὐαγγε-

-λιζόμενος συλλήψιν· οὕτω τεσῶν εἴληφε
τὸν υἱὸν τοῦ θεοῦ τὴν τοῦ πατρὸς ἐνυπόστατον
δύναμιν· οὐκ ἐκ θελήματος σαρκὸς· οὐδὲ ἐκ
θελήματος ἀνδρός· ἤτοι συνουσίας καὶ σπορᾶς·
ἀλλ' ἐκ τῆς τοῦ πατρὸς εὐδοκίας καὶ συνεργίας
τοῦ ἁγίου πνεύματος ἐχορήγησε τε τῷ κτίστῃ τὸ
κτισθῆναι· καὶ τῷ πλάστῃ τὸ πλασθῆναι.
καὶ τῷ υἱῷ τοῦ θεοῦ καὶ θεῷ, τὸ σαρκωθῆναι καὶ
ἀνθρωπισθῆναι ἐκ τῶν ἁγνῶν καὶ ἀμολύν-
-των αὐτῆς σαρκῶν καὶ αἱμάτων τὸ τῆς
προμήτορος ἀποπληροῦσα χρέος· ὥσπερ
γὰρ ἐκείνη συνουσίας ἐκτὸς ἐξ ἀδὰμ πε-
-πλασμούργηται· οὕτω καὶ αὐτὴ τὸν νέον ἀδὰμ
ἀπεκύησε· νόμῳ κυήσεως τικτόμενον· καὶ
ὑπὲρ φύσιν γεννήσεως· τίκτεται γὰρ ἀπάτωρ
ἐκ γυναικὸς, ὁ ἐκ πατρὸς ἀμήτωρ· καὶ ὅτι μὲν
ἐκ γυναικὸς, νόμῳ κυήσεως· ὅτι δὲ ἄνευ πατρὸς,
ὑπὲρ φύσιν γεννήσεως· καὶ ὅτι μὲν τῷ ἐθίσμῳ
χρόνῳ· τοῦ γὰρ ἐννεαμηνιαίου τελέσαντος
καὶ τῷ δεκάτῳ ἐπιβὰς, γυναικῶν νόμῳ κυήσεως.

Υ. m.

ὅτι δὲ ἀνωδίνως, ὑπὸ τῆς θεοτόκου γεννήσει·
οὗ τῇ ἡδονὴ οὐ προηγήσατο, οὐδὲ ὠδὶν ἐ-
πηκολούθησε· κατὰ τὸν προφήτην τὸν
λέγοντα· πρὶν ὠδινῆσαι ἔτεκε· καὶ πάλιν·
πρὶν ἐλθεῖν τὸν καιρὸν τῶν ὠδίνων, ἐξέ-
φυγε καὶ ἔτεκεν ἄρσεν· γεγέννηται τοίνυν ἐξ
αὐτῆς ὁ υἱὸς τοῦ θεοῦ καὶ θεὸς, σεσαρκωμένος,
οὐ θεοφόρος ἄνθρωπος· ἀλλὰ θεὸς σεσαρκωμένος,
οὐχ ὡς προφήτης ἐνεργείᾳ χριόμενος,
παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος· ὥστε ἄνθρωπον
μὲν γενέσθαι τὸ χρῖσαν· καὶ θεὸν τὸ χριόμενον·
οὐ μεταβολῇ φύσεως· ἀλλ᾽ ἑνώσει τῇ καθ᾽
ὑπόστασιν· ὁ αὐτὸς γὰρ ἦν ὅ τε χρίων καὶ ὁ χριό-
μενος· χρίων ὡς θεὸς ἑαυτὸν, ὡς ἄνθρωπον· πῶς
οὖν οὐ θεοτόκος, ἡ θεὸν σεσαρκωμένον ἐξ αὐτῆς
γεγεννηκυῖα, οὕτως κυρίως καὶ ἀληθῶς θεοτόκος
καὶ κυρία καὶ πάντων τῶν κτισμάτων δεσπόζουσα·
δούλη καὶ μήτηρ τοῦ δημιουργοῦ χρηματίσασα·
ὥσπερ δὲ συλληφθεὶς παρθένον τὴν
συλλαβοῦσαν ἐτήρησεν, οὕτω καὶ τεχθείς,

τὴν αὐτῆς παρθενίαν ἀπαράτρεπτον. μόνος
διελθὼν δι' αὐτῆς καὶ κεκλεισμένην τηρήσας
αὐτήν. δι' ἀκοῆς μὲν ἡ σύλληψις. ἡ δὲ γέννησις
δι' αὐτῆς συνήθους τῶν τικτομένων ἐξό-
δου. εἰ καὶ τινὲς μυθολογοῦσι διὰ τῆς πλευρᾶς
αὐτὸν τεχθῆναι τῆς θεομήτορος. οὐ γὰρ ἀ-
δύνατον ἦν, καὶ διὰ τῆς πύλης διελθεῖν καὶ
ταύτης μὴ παραβλάψαι τὰς σφραγῖδας.
μένει τοίνυν ἡ παρθένος καὶ μετὰ τόκον,
ἀειπάρθενος. οὐδαμῶς ἀνδρὶ μέχρι θανάτου
προσομιλήσασα. εἰ γὰρ καὶ γέγραπται. καὶ οὐκ
ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς
τὸν πρωτότοκον. ἰστέον ὅτι πρωτότοκός
ἐστιν ὁ πρῶτος γεννηθεὶς κἂν μονογενὴς ᾖ.
τὸ μὲν γὰρ πρωτότοκον γεννηθῆναι δηλοῖ. οὐ πάντως
δὲ καὶ ἑτέρων συνεμφαίνει γέννησιν. τὸ δὲ
ἕως, τὴν μὲν τοῦ ὡρισμένου χρόνου προθε-
σμίαν σημαίνει. οὐκ ἀποφάσκει δὲ τὸ μετὰ
ταῦτα. φησὶ γὰρ ὁ κύριος. καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν
εἰμὶ πάσας τὰς ἡμέρας ἕως τῆς

συντελείας τοῦ αἰῶνος· οὐχ ὡς ὁ μὴ δὲ
τῆς αἰῶνος συντελείας χωρισθεῖσα μετ(ὰ)·
φησὶ γὰρ ὁ θεῖος ἀπόστολος· καὶ οὕτως πάν-
τοτε σὺν κ(υρί)ῳ ἐσόμεθα· μὴ δὲ τὴν κοινὴν
ἀνάστασιν λέγων· πῶς γὰρ ἂν θ(εὸ)ν γεννήσασα
καὶ ἐκ τῆς τῶν παρηκολουθηκότων περιέρ-
γων θαῦμα γνωρίσασα, ἀνδρὸς συνάφειαν
κατεδέξατο, ἄπαγε· οὐ σωφρονούντων τοὺς
λογισμοὺς τὰ τοιαῦτα νοεῖν· μὴ ὅτι γε πατ-
τέρων· ἀλλ᾽ αὕτη ἡ μακαρία καὶ τῶν ὑπὲρ φύσιν
δωρεῶν ἀξιωθεῖσα τὰς ὠδῖνας ἃς διέφυ-
γε τίκτουσα, ταύτας ἐν τῷ τοῦ πάθους
καιρῷ ὑπέμεινεν· ὑπὸ τῆς μητρικῆς συμ-
παθείας τῶν σπλάγχνων τὸν σπαραγμὸν
ἀνατλᾶσα· καὶ ὃν θ(εὸ)ν ἔγνω διὰ γεννήσεως,
τοῦτον ὡς κακοῦργον ἀναιρούμενον λέγε-
ποιοῦσα, ὡς ῥομφαίᾳ τοῖς λογισμοῖς ἐσπα-
ράττετο· καὶ τοῦτό ἐστι· καὶ σοῦ δὲ αὐτῆς τὴν
ψυχὴν διελεύσεται ῥομφαία· ἀλλὰ μὴ δὲ ἀντάλλαξ
τὴν λύπην ἡ χαρὰ τῆς ἀναστάσεως· θ(εὸ)ν τὸν

σαρκὶ θαμοῦνται χηρεύουσαι :- περὶ τῶν ἁγίων
καὶ τῆς τῶν λειψάνων αὐτῶν τιμῆς :- ϟα

Τιμητέον τοὺς ἁγίους ὡς φίλους Χριστοῦ· ὡς
τέκνα καὶ κληρονόμους Θεοῦ· ὥς φησιν ὁ
θεολόγος εὐαγγελιστής· ὅσοι δὲ ἔλαβον αὐτόν,
ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι·
ὥστε οὐκέτι εἰσὶ δοῦλοι, ἀλλ᾽ υἱοί· εἰ δὲ υἱοί
καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ· συγκλη-
ρονόμοι δὲ Χριστοῦ· καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγ-
γελίοις τοῖς ἀποστόλοις φησίν· ὑμεῖς
φίλοι μου ἐστέ. οὐκέτι ὑμᾶς καλῶ δούλους·
ὁ γὰρ δοῦλος, οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ.
εἰ δὲ καὶ βασιλεὺς βασιλέων καὶ κύριος κυριε-
υόντων καὶ Θεὸς θεῶν ὁ δημιουργὸς τῶν
ἁπάντων καὶ Κύριος λέγεται, πάντως οἱ ἅγιοι,
θεοί τε καὶ κύριοι καὶ βασιλεῖς· τούτων δὲ
Θεός, ὁ Θεὸς καὶ Κύριος καὶ βασιλεύς, ἐστί καὶ λέγεται.
ἐγὼ γάρ εἰμι φησὶ τῷ Μωσεῖ, ὁ Θεὸς Ἀβραάμ.
καὶ Θεὸς Ἰσαάκ· καὶ Θεὸς Ἰακώβ· καὶ θεὸν Φαραώ,
τὸν Μωσῆν ὁ Θεὸς ἐποίησε· θεοὺς δὲ λέγω

καὶ βασιλεῖς καὶ κυρίους, οὐ φύσει, ἀλλ' ὡς
τῶν παθῶν βασιλεύσαντας. καὶ κυριεύ-
σαντας. καὶ τὴν τῆς θείας ~~θείας~~ εἰκόνος
ὁμοίωσιν. καθ' ἣν καὶ γεγένηνται, τὴν ἀπαρα-
χάρακτον φυλάξαντας. βασιλεὺς δὲ λέγεται,
καὶ ἡ τοῦ βασιλέως εἰκών. καὶ ἑνωθέντας θεῷ,
κατὰ προαίρεσιν καὶ τοῦτον δεξαμένους ἔνοι-
κον. καὶ τῇ τούτου μεθέξει γεγονότας χάριτι,
ὅπερ αὐτὸς ἐστὶ φύσει. πῶς οὖν οὐ τιμητέ-
ον τοὺς θεράποντας καὶ φίλους καὶ υἱοὺς, τοῦ θεοῦ
χρηματίσαντας. ἡ γὰρ περὶ τοὺς εὐγνώ-
μονας τῶν ὁμοδούλων τιμὴ, ἀπόδειξιν
ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐνοίας.
οὗτοι ταμεῖα θεοῦ καὶ καθαρὰ γεγόνασι κα-
ταγώγια. ἐνοικήσω γὰρ αὐτοῖς εἶπεν ὁ θεὸς καὶ
ἐμπεριπατήσω. καὶ ἔσομαι αὐτῶν θεός. ὅτι
μὲν οὖν ψυχαὶ δικαίων ἐν χειρὶ θεοῦ. καὶ οὐ μὴ
ἅψηται αὐτῶν βάσανος, φησὶν ἡ θεία γραφή.
ὁ θάνατος γὰρ τῶν ἁγίων, ὕπνος μᾶλλον ἐστὶν
ἢ θάνατος. ἐκοπίασαν γὰρ εἰς τὸν αἰῶνα

καὶ ζήσουσι μετ' αὐτοῦ εἰς τέλος· καὶ τίμιος ἐναντίον
κ(υρίο)υ ὁ θάνατος τῶν ὁσίων αὐτοῦ· τί γὰρ τι-
μιώτερον τοῦ ἐν χειρὶ εἶναι θ(εο)ῦ· ζωὴ γὰρ
ὁ θ(εὸ)ς καὶ φῶς· καὶ οἱ ἐν χειρὶ θ(εο)ῦ ὄντες, ἐν ζωῇ,
καὶ φωτὶ ὑπάρχουσιν· ὅτι δὲ καὶ διὰ τοῦ νοῦ
τοῖς σώμασιν αὐτῶν ἐνῴκησεν ὁ θ(εὸ)ς, φησὶν
ὁ ἀπόστολος· οὐκ οἴδατε ὅτι τὰ σώματα
ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν πν(εύματο)ς ἁγίου ὑπάρχει;
ὁ δὲ κ(ύριο)ς τὸ πν(εῦμ)α ἐστί· καὶ εἴ τις τὸν ναὸν τοῦ
θ(εο)ῦ φθείρει, φθερεῖ τοῦτον ὁ θ(εό)ς· πῶς
οὖν οὐ τιμητέον τοὺς ἐμψύχους ναοὺς
τοῦ θ(εο)ῦ· τὰ ἔμψυχα τοῦ θ(εο)ῦ σκηνώματα·
οὗτοι ζῶντες μετὰ παρρησίας τῷ θ(ε)ῷ παρεστή-
κασι· πηγὰς ἡμῖν σωτηρίους ὁ δεσπότης χ(ριστὸ)ς
τὰ τῶν ἁγίων παρέσχετο λείψανα· πολυ-
τρόπως τὰς εὐεργεσίας πηγάζοντα·
μύρον εὐωδίας βρύοντα· καὶ μηδεὶς ἀπι-
στείτω· εἰ γὰρ ἐξ ἀκροτόμου πέτρας ὕδωρ
ἐν ἐρήμῳ ἐπήγασε, βουλομένου θ(εο)ῦ·
καὶ ἐκ σιαγόνος ὄνου τῷ σαμψὼν διψῶντι·

ἐκ μαρτυρικῶν λειψάνων μυρευόντων δὲ ἀνα-
βλύζειν ἄπιστον, οὐδαμῶς τοῖς γε εἰδόσι τὴν
τοῦ θεοῦ δύναμιν· καὶ τὴν τῶν ἁγίων παρ' αὐτοῦ
τιμήν· ἐν τῷ μνήματι πάντως ὂν νεκροῦ αὐτὸ μὲν
ἀκάθαρτον ἐν ῥήματι ζῇν· ἀλλ' οὐχ οὗτοι νεκροί·
ἀφ' οὗ γὰρ ἡ αὐτοζωὴ ὁ τῆς ζωῆς αἴτιος ἐν
νεκροῖς ἐλογίσθη, τοὺς ἐπ' ἐλπίδι ἀναστάσεως
καὶ τῇ εἰς αὐτὸν πίστει κοιμηθέντας, οὐ νεκροὺς
προσαγορεύομεν· νεκρὸν γὰρ σῶμα πῶς
θαυματουργεῖν δύναται· πῶς οὖν δι' αὐτῶν
δαίμονες ἀπελαύνονται· ἀσθενεῖς θεραπεύ-
– ονται· τυφλοὶ ἀναβλέπουσι· λεπροὶ κα-
– θαίρονται· πειρασμοὶ καὶ ἀνίαι λύονται· πᾶσα
δὲ δόσις ἀγαθὴ ἐκ τοῦ πατρὸς τῶν φώτων δι'
αὐτῶν τοῖς ἀδιστάκτῳ πίστει αἰτοῦσι κατέρ-
χεται· πόσα ἂν ἔχομεν, ἵνα προστάτην εὕρηκὼς
θνητῷ σε ὡς βασιλεῖ προσάγονται· καὶ ὑπὲρ σοῦ
παρ' αὐτοῦ τοὺς λόγους ποιούμενον· τοὺς οὖν
προστάτας τοὺς ἁγίους πάντως· τοὺς τῷ θεῷ
ὑπὲρ ἡμῶν τὰς ἐντεύξεις ποιουμένους

οὐ τιμιωτέρου, καὶ μὴν τιμιωτέρου· καὶ ὡς ἐ-
-γείροντας τῶν θεῶν ἐπὶ τῷ τούτων ὀνόματι·
καρποφορίας προσάζοντας· τὰς τούτων
μνήμας ἑορτάζοντας· καὶ ἡμεῖς αὐτοὶ εὐφρο-
-νοῦμεν ἐπὶ νίκαις· ἵνα οἱ χείρων συγχαιρόντων
ἢ εὐφροσύνης γίνηται· ἵνα μὴ θεραπεύειν πει-
-ρώμενοι, τοὐναντίον αὐτοὺς παροξύνωμεν·
οἷς μὲν γὰρ θεὸς θεραπεύεται, καὶ οἱ τούτου θερά-
-ποντες εὐφρανθήσονται· οἷς δὲ προσοχ-
-θίζει θεὸς, καὶ οἱ τούτου προσοχθιοῦσιν ἅπασι-
-ν· ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς·
καὶ καταμύξει καὶ τῶν δεομένων ἐλέῳ, τοὺς ἁγίους
πιστοὶ θεραπεύσωμεν· οἷς μάλιστα καὶ θεὸς θε-
-ραπεύεται· στήλας αὐτοῖς ἐγείρωμεν· ὁρω-
-μένας τε καὶ χρονίας· καὶ αὐτοὶ ἔμψυχοι στῆλαι
αὐτῶν καὶ ἀρχέτυπα τῇ τῶν ἀρετῶν μιμήσει
γενώμεθα· τὴν θεοτόκον ὡς κυρίως καὶ ἀληθῶς
θεοῦ μητέρα τιμήσωμεν· τὸν προφήτην ἰωάννην ὡς
πρόδρομον καὶ βαπτιστὴν ἀπόστολόν τε καὶ
μάρτυρα· οὗ μείζων οὐδεὶς ἐν γεννητοῖς γυναικῶν

μείζων ἦν Ἰω(άννου), ὡς αὐτὸς ὁ Χ(ριστὸ)ς ἔφησε· καὶ τῆς
βασιλείας αὐτοῦ πρόδρομος κήρυξ ἐ-
γένετο· τοὺς ἀποστόλους ὡς ἀδελφοὺς
τοῦ Χ(ριστο)ῦ καὶ αὐτόπτας καὶ ὑπηρέτας τῶν αὐτοῦ
παθημάτων· οὓς προέγνω καὶ προώρισε
συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ
ὁ Θ(εὸ)ς καὶ π(ατ)ήρ· πρῶτον ἀποστόλους· δεύτερον
προφήτας· τρίτον ποιμένας καὶ διδασκά-
λους· τούς τε τοῦ Χ(ριστο)ῦ μάρτυρας ἐκ παντὸς
τάγματος ἐκλελεγμένους ὡς στρατιώτας
Χ(ριστο)ῦ· καὶ τὸ αὐτοῦ πιόντας ποτήριον· τό, τε
τοῦ ζωοποιοῦ αὐτοῦ θανάτου καταξιωθέντα
βάπτισμα· ὡς κοινωνοὺς τῶν παθημά-
των αὐτοῦ καὶ τῆς δόξης· ὧν ταξίαρχος,
ὁ πρῶτος διάκονος Χ(ριστο)ῦ καὶ ἀπόστολος καὶ πρωτο-
μάρτυς Στέφανος· καὶ τοὺς ὁσίους πατέρας
ἡμῶν τοὺς θεοφόρους ἀσκητάς· τοὺς τὸν
χρόνιον τοῦτον καὶ ἐπίπονον τοῦτον μαρτύριον
τῆς συνειδήσεως διαθλήσαντας· οἳ
περιῆλθον ἐν μηλωταῖς ἐν αἰγείοις δέρμασι.

ὑβριζόμενοι· θλιβόμενοι· κακουχούμενοι·
ἐν ἐρημίαις πλανώμενοι. ἐν ὄρεσι καὶ σπη-
λαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς· ὧν οὐκ ἦν ἄ-
ξιος ὁ κόσμος. τοὺς πρὸ τῆς χάριτος προ-
φήτας· πατριάρχας· δικαίους· τοὺς προκα-
ταγγείλαντας τὴν τοῦ Χριστοῦ παρουσίαν· τούτων
πάντων ἀναθεωροῦντες τὴν πολιτείαν,
ζηλώσωμεν τὴν πίστιν· τὴν ἀγάπην· τὴν
ἐλπίδα· τὸν ζῆλον· τὸν βίον· τὴν καρτερίαν
τῶν παθημάτων τὴν ὑπομονὴν μέχρις
αἵματος· ἵνα καὶ τῶν τῆς δόξης στεφάνων,
αὐτοῖς κοινωνήσωμεν: — περὶ ἀρχόντων:— μβ
Ἐπειδὴ δέ τινες ἡμῖν καταμέμφονται προ-
κυνοῦσί τε καὶ τιμῶσι τήν τε τοῦ σταυροῦ καὶ τῆς
δεσποίνης ἡμῶν εἰκόνα, ἔτι δὲ καὶ τῶν λοιπῶν
ἁγίων καὶ θεραπόντων Χριστοῦ, ἀκουέτωσαν· ὅτι ἐξ
ἀρχῆς ὁ θεὸς τὸν ἄνθρωπον κατ' οἰκείαν εἰκόνα
ἐποίησε. τίνος οὖν ἕνεκα ἀλλήλους προσ-
κυνοῦμεν, ἀλλ' ἢ ὡς κατ' εἰκόνα θεοῦ πεποιη-
μένους. ὡς φησιν ὁ θεοφόρος καὶ πολὺς τὰ θεῖα

βασιλεῖ· ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρω-
τότυπον διαβαίνει· πρωτότυπον δέ ἐστι,
τὸ εἰκονιζόμενον· ἐξ οὗ τὸ παράγωγον γίνεται·
τίνος οὖν ἕνεκεν ὁ μωσαϊκὸς λαὸς τὴν σκηνὴν,
κυκλόθεν προσεκύνει· ἔχουσαν καὶ τύπον φέ-
ρουσαν τῶν ἐπουρανίων· φησὶ γοῦν ὁ θεὸς τῷ μωσῇ
ὅρα ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν
δειχθέντα σοι ἐν τῷ ὄρει· καὶ τὰ χερουβὶμ
δὲ τὰ σκιάζοντα τὸ ἱλαστήριον· οὐχὶ ἔργα
χειρῶν ἀνθρώπων; τί δαὶ ὁ ἐν ἱεροσολύμοις πε-
ριώνυμος ναὸς, οὐχὶ χειροποίητος; καὶ ἀνθρώπων
τέχνῃ κατεσκευασμένος; ἡ δὲ θεία γραφὴ
κατηγορεῖ τῶν προσκυνούντων τοῖς γλυ-
πτοῖς· ἀλλὰ καὶ τῶν θυόντων τοῖς δαίμοσι·
ἔθυον μὲν καὶ ἕλληνες· ἔθυον δὲ καὶ ἰουδαῖοι·
ἀλλ' ἕλληνες μὲν, δαιμονίοις. ἰουδαῖοι δὲ τῷ
θεῷ. καὶ ἀπόβλητος μὲν ἡ τῶν ἑλλήνων θυσία
ἦν καὶ εὐκατάκριτος· ἡ δὲ τῶν δικαίων, τῷ
θεῷ εὐαπόδεκτος· ἔθυσε γὰρ νῶε καὶ ὠσφράνθη
ὁ θεὸς ὀσμὴν εὐωδίας· τῆς ἀγαθῆς προαι-

-ρέσεως. καὶ τῆς πρὸς αὐτοὺς εὐνοίας τοὺς εὐω-
-δίας ἀποδεχόμενον. οὕτω καὶ μὲν τῶν ἑλλή-
-νων πλεῖστα ἐπειδὴ δαιμόνων ἦσαν ἐξεικονί-
-σματα, ἀπόλλυνται ἔτι καὶ ἀπηγορευμένα
τυγχάνουσι. περὶ δὲ τούτοις, τοῦ ἀοράτου
καὶ ἀσωμάτου καὶ ἀπεριγράπτου καὶ ἀσχηματί-
-στου θεοῦ, τίς δύναται ποιήσασθαι μίμημα.
παραφροσύνης τοίνυν ἄκρας καὶ ἀσεβείας,
τὸ σχηματίζειν τὸ θεῖον. ἐντεῦθεν ἐν τῇ
παλαιᾷ οὐκ ἦν τε περὶ μίμησιν ἡ τῶν εἰκόνων
χρῆσις. ἐπειδὴ δὲ ὁ θεὸς διὰ σπλάγχνα ἐλέους
αὐτοῦ κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος διὰ τὴν
ἡμετέραν σωτηρίαν. οὐχ ὡς τοῦ ἀβραὰμ
ὤφθη ἐν εἴδει ἀνθρώπου. οὐχ ὡς τοῖς προφήταις.
ἀλλὰ κατ' οὐσίαν ἀληθῶς γέγονεν ἄνθρωπος.
διέτριψε τε ἐπὶ γῆς καὶ τοῖς ἀνθρώποις συνανε-
-στράφη. ἐθαυματούργησε. ἔπαθεν. ἐσταυρώθη.
ἀνέστη. ἀνελήφθη. καὶ πάντα ταῦτα κατὰ
ἀλήθειαν γέγονε. καὶ ὡράθη ὑπὸ τῶν ἀνθρώπων.
ἐγράφη μὲν εἰς ὑπόμνησιν ἡμῶν καὶ διδαχὴν

τῶν τηνικαῦτα καὶ παρόντων· ἵνα μὲν
ἑωρακότες ἀκούσαντες δὲ καὶ πιστεύσαντες,
τύχωσι τοῦ μακαρισμοῦ τοῦ κυρίου· ἐπεὶ
δὲ οὐ πάντες ἴσασι γράμματα· οὐδὲ τῇ
ἀναγνώσει σχολάζουσιν, οἱ πατέρες συνεῖδον
ὥσπερ τινὰς ἀριστείας ἐν εἰκόσι ταῦτα
γράφεσθαι πρὸς ὑπόμνησιν σύντομον· ἀμέ
λει πολλάκις μὴ κατὰ νοῦν ἔχοντες τὸ τοῦ
κυρίου πάθος· τὴν εἰκόνα τῆς Χριστοῦ σταυρώσεως
ἰδόντες, τοῦ σωτηρίου πάθους εἰς ἀνάμνησιν
ἐλθόντες, πεσόντες προσκυνοῦμεν· οὐ
τῇ ὕλῃ ἀλλὰ τῷ εἰκονιζομένῳ· ὥσπερ οὐ
τῇ ὕλῃ τοῦ εὐαγγελίου· οὐδὲ τῇ τοῦ σταυροῦ
ὕλῃ προσκυνοῦμεν· ἀλλὰ τῷ ἐκτυπώ
ματι· τί γὰρ διαφέρει σταυρὸς μὴ ἔχων τὸ
τοῦ κυρίου ἐκτύπωμα, τοῦ ἔχοντος· ὡσαύτως
δὲ καὶ ἐπὶ τῆς θεομήτορος· ἡ γὰρ εἰς αὐτὴν τιμὴ, εἰς
τὸν ἐξ αὐτῆς σαρκωθέντα ἀνάγεται·
ὁμοίως δὲ καὶ τῶν ἁγίων ἀνδραγα
θήματα· ἐπαλείφουσι καὶ ἡμᾶς

πρὸς ἀνδρείαν καὶ ζῆλον καὶ μίμησιν τῆς
αὐτῶν ἀρετῆς. καὶ δόξαν θεοῦ. ὡς γὰρ ἔφημεν,
ἡ τῶν ὁμοδούλων τιμή, ἀπόδειξιν
ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐ-
νοίας. καὶ ἡ τῆς εἰκόνος τιμή, περὶ τὸ πρω-
τότυπον διαβαίνει. ἔστι δὲ ἄγραφος ἡ παρά-
δοσις. ὥσπερ τὸ κατ' ἀνατολὰς προσκυνεῖν·
τὸ προσκυνεῖν τὸν σταυρόν, καὶ ἕτερα πλεῖστα
τούτοις ὅμοια. φέρεται δὲ καί τις ἱστορία.
ὡς ὁ κύριος τῷ αὐγάρῳ τῆς ἐδεσσηνῶν πόλεως
βασιλεύοντι ζωγράφον ἀποστείλαντι
τὴν τοῦ κυρίου ὁμοιογραφῆσαι εἰκόνα. μὴ
δυνηθέντος τοῦ ζωγράφου διὰ τὴν ἀποστίλ-
βουσαν τοῦ προσώπου λαμπρότητα,
αὐτὸς ἱμάτιον τῷ οἰκείῳ προσώπῳ τῷ
θείῳ καὶ ζωοποιῷ ἐπιθείς, ἐναπεμάξατο
τῷ ἱματίῳ τὸ ἑαυτοῦ ἀπεικόνισμα. καὶ
οὕτως ἀπέστειλε ποθοῦντι τῷ αὐγάρῳ.
ὅτι δὲ καὶ πλεῖστα οἱ ἀπόστολοι ἀγράφως

παραδεδώκασι· γράφει παῦλος ὁ τῶν
ἐθνῶν ἀπόστολος· ἄρα οὖν ἀδελφοὶ στή-
κετε καὶ κρατεῖτε τὰς παραδόσεις ἡμῶν
ἃς ἐδιδάχθητε· εἴτε διὰ λόγου· εἴτε δι' ἐ-
πιστολῆς ἡμῶν· καὶ πρὸς κορινθίους· ἐπαι-
νῶ δὲ ὑμᾶς ἀδελφοί· ὅτι πάντα μου
μέμνησθε· καὶ καθὼς παρέδωκα ὑμῖν
τὰς παραδόσεις κατέχετε· – περὶ γραφῆς –
ϟι΄ Εἷς ἐστὶν ὁ θεὸς ὑπό τε τῆς παλαιᾶς καὶ καινῆς
διαθήκης κηρυττόμενος· ὁ ἐν τριάδι ὑμνού-
μενός τε καὶ δοξαζόμενος· τοῦ κυρίου φήσαντος·
οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πλη-
ρῶσαι· αὐτὸς γὰρ τὴν ἡμῶν σωτηρίαν εἰργάσατο·
ὑπὲρ ἧς πᾶσα γραφὴ καὶ ἅπαν μυστήριον· καὶ
πάλιν· ἐρευνᾶτε τὰς γραφάς· αὐταί εἰσιν αἱ μαρ-
τυροῦσαι περὶ ἐμοῦ· καὶ τοῦ ἀποστόλου λέγοντος·
πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς
λαλήσας τοῖς πατράσιν ἡμῶν ἐν τοῖς
προφήταις ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων

ἐλάλησεν ἡμῖν ἐν υἱῷ· διὰ πνεύματος τοίνυν ἁγίου
ὅ τε νόμος καὶ οἱ προφῆται· εὐαγγελισταὶ καὶ
ἀπόστολοι καὶ ποιμένες ἐλάλησαν καὶ διδάσ-
καλοι. πᾶσα τοίνυν γραφὴ θεόπνευστος,
πάντως ὠφέλιμος· ὥστε κάλλιστον καὶ ψυ-
χωφελέστατον ἐρευνᾶν τὰς θείας γραφάς.
ὥσπερ γὰρ δένδρον παρὰ τὰς διεξόδους
τῶν ὑδάτων πεφυτευμένον, οὕτω καὶ ψυχὴ
τῇ θείᾳ ἀρδευομένη γραφῇ, πιαίνεται καὶ
καρπὸν ὥριμον δίδωσι, πίστιν ὀρθόδοξον
καὶ ἀειθαλέσι τοῖς φύλλοις τοῖς θεαρέστοις
φημὶ ὡραΐζεται πράξεσι· πρός τε γὰρ πρᾶξιν
ἐνάρετον καὶ θεωρίαν ἀθόλωτον, ἐκ τῶν
ἁγίων γραφῶν ῥυθμιζόμεθα· πάσης γὰρ
ἀρετῆς παράκλησιν καὶ κακίας ἁπάσης ἀ-
ποτροπὴν ἐν ταύταις εὑρίσκομεν. ἐὰν οὖν
ὦμεν φιλομαθεῖς, ἐσόμεθα καὶ πολυμα-
θεῖς· ἐπιμελείᾳ δὲ καὶ πόνῳ καὶ τῇ τοῦ δι-
δόντος θεοῦ χάριτι, κατορθοῦνται ἅπαντα.

Z. m.

ὅτι ὁ αἰτῶν λαμβάνει· καὶ ὁ ζητῶν εὑρίσκει·
καὶ τῷ κρούοντι ἀνοιγήσεται· κρούσωμεν
τοίνυν ἀδελφοὶ τὸν καλλίστου παραδείσου τῶν
γραφῶν· τὸν εὐώδη· τὸν γλυκύτατον·
τὸν ὡραιότατον· τὸν παντοίοις [illegible]
θεοφόρων ὀρνέων κελαδήμασι περιηχούμενον
ἡμῶν τὰ ὦτα· τὸν ἀπομέγον ἡμῶν τῆς
καρδίας καὶ λυπουμένην τε παρακαλοῦντα·
θυμουμένην δέ, κατευνάζοντα· καὶ χαρᾶς
ἀϊδίου ἐμπιπλῶντα· τὸν ἐπιγυμνάζοντα
ἡμῶν τὴν διάνοιαν· ἐπὶ τὰ χρυσαυγῆ
μετάφρενα τῆς θείας περιστερᾶς καὶ
ὑπέρλαμπρα· καὶ τὰς φαεινοτάτας αὐτῆς
πτέρυγας· πρὸς τὸν μονογενῆ υἱὸν καὶ κλη-
-ρονόμον τοῦ φυτουργοῦ τοῦ νοητοῦ ἀμπε-
-λῶνος ἀνάγοντα· καὶ δι᾽ αὐτοῦ τῷ πατρὶ τῶν
φώτων προσάγοντα· ἀλλὰ μὴ παρέργως
κρούσωμεν· προθύμως δὲ μᾶλλον καὶ ἐπι-
-μόνως μὴ ἐκκακήσωμεν, κρούοντες·

οὕτω δὴ καὶ ἡμῖν ἀποβήσεται· ἐὰν ἀναγνῶμεν
ἅπαξ ἢ δίς. καὶ μὴ διαγνῶμεν ἀλλ' ἀναγι-
γνώσκωμεν μὴ ἐκκακήσωμεν· ἀλλ' ἐπιμένωμεν·
ἀδολεσχήσωμεν· ἐρωτήσωμεν· ἐπερωτήσωμεν
τοὺς εἰδότας τὸ πρᾶγμα καὶ ἀναγγελεῖ αὐτοῖς περὶ
φῦ τὸ ῥοῦς σου καὶ ῥοαὶ ἐστί· οὐ τὸ πάντων
ἡ γνῶσις· ἀρυσώμεθα ἐκ τῆς τούτου τοῦ
παραδείσου πηγῆς ἀενάου καὶ καθαρώτατα
νάματα ἀλλόμενα εἰς ζωὴν αἰώνιον· ἐν-
τρυφήσωμεν ἀπλήστως· κατατρυφή-
σωμεν· τὴν δὲ χάριν ἀδάπανον κέκτηνται.
εἰ δέ τι καὶ περὶ τῶν ἔξωθεν χρήσιμον καρ-
πώσασθαι δέοι ἡμῖν, οὐ τῶν ἀπηγο-
ρευμένων ἐστί· γνώμεθα δὲ δόκιμοι τραπεζῖται·
τὸ μὲν γνήσιον καὶ καθαρὸν χρυσίον σωρεύοντες·
τὸ δὲ κίβδηλον παραιτούμενοι· λάβωμεν
λόγους καλλίστους· θεοὺς δὲ γελοίους καὶ μύθους
ἀλλοτρίους, τοῖς κυσὶν ἀπορρίψωμεν· πλεί-
στην γὰρ ἐξ αὐτῶν ἰσχὺν κτήσασθαι δυνησόμεθα
κατ' αὐτῶν· ἰστέον δὲ ὡς ἀκοαὶ δύο εἰσὶν

ἐστὶ τῆς παλαιᾶς διαθήκης· κατὰ τὰ
στοιχεῖα τῆς ἑβραΐδος φωνῆς· εἴκοσι-
δύο γὰρ στοιχεῖα ἔχουσιν. ἐξ ὧν πέντε
διπλοῦνται· ὥστε γίνεσθαι αὐτὰ εἰκοσι-
επτά· διπλοῦνται γὰρ τὸ χὰφ καὶ τὸ μέμ·
καὶ τὸ νοῦν· καὶ τὸ φί· καὶ τὸ σαδδί· διὸ καὶ αἱ βί-
βλοι κατὰ τοῦτον τὸν τρόπον, εἰκοσιδύο
μὲν ἀριθμοῦνται· εἰκοσιεπτὰ δὲ εὑρίσκονται
διὰ τὸ πέντε ἐξ αὐτῶν διπλοῦσθαι· συνά-
πτεται γὰρ ἡ ῥοὺθ τοῖς κριταῖς· καὶ ἀριθμεῖται
παρ' ἑβραίοις, μία βίβλος· ἡ πρώτη καὶ
δευτέρα τῶν βασιλειῶν, μία βίβλος· ἡ τρίτη
καὶ ἡ τετάρτη τῶν βασιλειῶν, μία βίβλος·
ἡ πρώτη καὶ ἡ δευτέρα τῶν παραλειπομένων,
μία βίβλος· ἡ πρώτη καὶ ἡ δευτέρα τοῦ ἔσδρα,
μία βίβλος· οὕτως οὖν σύγκεινται αἱ βί-
βλοι ἐν πεντατεύχοις τέτρασι· καὶ μένουσιν ἄλλαι
δύο· ὡς εἶναι τὰς ἐνδιαθέτους βίβλους
οὕτως· πέντε νομικάς· γένεσιν· ἔξοδον·
λευϊτικόν· ἀριθμοί· καὶ δευτερονόμιον·

αὕτη πρώτη πεντάτευχος ἡ καὶ νομοθεσία.
ἑξῆς ταῦ ἄλλη πεντάτευχος τὰ καλούμενα
γραφεῖα. παρά τισι δὲ ἁγιόγραφα. ἅπερ εἰσὶ
βιβλία οὗτοι. Ἰησοῦς τοῦ Ναυῆ. κριταὶ μετὰ
τῆς Ῥούθ. βασιλειῶν πρώτη μετὰ τῆς
δευτέρας μία βίβλος. καὶ ἡ τρίτη μετὰ τῆς τε-
τάρτης βίβλος μία. καὶ δύο τῶν παραλειπο-
μένων, βίβλος μία. αὕτη δευτέρα πεντά-
τευχος. τρίτη πεντάτευχος, αἱ στιχήρεις
βίβλοι, τοῦ Ἰὼβ. τὸ ψαλτήριον. παροι-
μίαι Σολομῶντος. ἐκκλησιαστὴς τοῦ αὐτοῦ.
ᾆσμα τῶν ᾀσμάτων τοῦ αὐτοῦ. τετάρτη
πεντάτευχος, ἡ προφητική. τὸ δωδεκα-
πρόφητον βίβλος μία. Ἠσαΐας. Ἱερεμίας.
Ἰεζεκιήλ. Δανιήλ. ἑξῆς ταῦ τοῦ Ἔσδρα αἱ δύο,
ἃς εἰς μίαν συνάπτομεν βίβλοι. καὶ ἡ Ἐσθήρ.
ἡ δὲ πανάρετος. τουτέστιν ἡ σοφία τοῦ
Σολομῶντος. καὶ ἡ σοφία τοῦ Ἰησοῦ. ἣν
ὁ πατὴρ μὲν τοῦ Σιρὰχ, ἐξέθετο ἑβραϊστί.
ἑλληνιστὶ δὲ ἡρμήνευσεν ὁ τούτου μὲν

ἔγγονος ἰησοῦς, τοῦ σιρὰχ δὲ υἱός. ἐνάρετοι μὲν καὶ καλαί· ἀλλ' οὐκ ἀριθμοῦνται· οὐδὲ ἔκειντο ἐν τῇ κιβωτῷ· τῆς δὲ νέας διαθήκης, εὐαγγέλια τέσσαρα· τὸ κατὰ ματθαῖον· τὸ κατὰ μάρκον· τὸ κατὰ λουκᾶν· τὸ κατὰ ἰω(άννην)· πράξεις τῶν ἁγίων ἀποστόλων διὰ λουκᾶ τοῦ εὐαγγελιστοῦ· καθολικαὶ ἐπιστολαὶ ἑπτά· ἰακώβου μία· πέτρου δύο· ἰω(άννου) τρεῖς· ἰούδα μία· παύλου ἀποστόλου ἐπιστολαὶ δεκατέσσαρες· ἀποκάλυψις ἰω(άννου) εὐαγγελιστοῦ· κανόνες τῶν ἁγίων ἀποστόλων

πε διὰ κλήμεντος: —

ϟα περὶ τῶν ἐπὶ χριστοῦ λεγομένων: —

Τῶν ἐπὶ χριστοῦ λεγομένων τρόποι γενικοὶ εἰσὶ τέσσαρες· τὰ μὲν γὰρ πρὸ τῆς ἐνανθρωπήσεως ἁρμόσει αὐτῷ· τὰ δὲ ἐν τῇ ἑνώσει· τὰ δὲ μετὰ τὴν ἕνωσιν· τὰ δὲ μετὰ τὴν ἀνάστασιν· καὶ τῶν πρὸ τῆς ἐνανθρωπήσεως, τρόποι εἰσὶν ἕξ· τὰ μὲν γὰρ αὐτῶν, τὸ συναφὲς τῆς φύσεως. καὶ τὸ πρὸς τὸν πατέρα ὁμοούσιον δηλοῖ·

ὡς τὸ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· καὶ τὸ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων καὶ τὰ τοιαῦτα· τὰ δὲ τὸ τέλειον τῆς ὑποστάσεως· ὡς τὸ, υἱὸς καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· καὶ τὸ μεγάλης βουλῆς ἄγγελος· θαυμαστὸς σύμβουλος καὶ τὰ ὅμοια· τὰ δὲ τὴν ἐν ἀλλήλαις τῶν ὑποστάσεων περιχώρησιν· ὡς τὸ, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ τὴν ἀνεκφοίτητον ἵδρυσιν· ὡς σοφία, λόγος καὶ δύναμις· καὶ ἀπαύγασμα· ὁ μὲν γὰρ λόγος ἐν τῷ νῷ, λόγον δέ φημι τὸν οὐσιώδη, καὶ ἡ σοφία ὁμοίως· καὶ ἐν τῷ δυναμένῳ ἡ δύναμις· καὶ ἐν τῷ φωτὶ τὸ ἀπαύγασμα ἀνεκφοιτήτως ἱδρυμένα ἐξ αὐτῶν πηγαζόμενα· τὰ δὲ ὡς ἐξ αἰτίου τοῦ πατρὸς ὡς τὸ ὁ πατήρ μου μείζων μού ἐστιν· ἐξ αὐτοῦ γὰρ ἔχει τό τε εἶναι, καὶ πάντα ὅσα ἔχει· τὸ μὲν εἶναι γεννητῶς, καὶ οὐ δημιουργικῶς· ὡς τὸ, ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον· καὶ ἐγὼ ζῶ διὰ τὸν πατέρα·

πάντα δὲ ὅσα ἔχει, οὐ μεταδοτικῶς·
οὔτε διδακτῶς, ἀλλ' ὡς ἐξ αἰτίου· ὡς
τὸ οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ
οὐδέν· ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα·
εἰ μὴ γὰρ ὁ πατὴρ ἦν, οὐδὲ ὁ υἱός· ἐκ τοῦ πατρὸς
γὰρ ὁ υἱὸς, καὶ ἐν τῷ πατρί· καὶ ἅμα τῷ πατρὶ, καὶ οὐ
μετὰ τὸν πατέρα· ὁμοίως καὶ ἃ ποιεῖ, ἐξ αὐτοῦ
καὶ σὺν αὐτῷ· μία γὰρ καὶ ἡ αὐτὴ, καὶ οὐχ ὁμοία·
ἀλλ' ἡ αὐτὴ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος
θέλησις ἐνέργειά τε καὶ δύναμις· τὰ δὲ
ὡς τῆς πατρικῆς εὐδοκίας διὰ τῆς αὐτοῦ
ἐνεργείας πληρουμένης· οὐχ ὡς δι' ὀργάνου
ἢ δούλου· ἀλλ' ὡς δι' οὐσιώδους καὶ ἐνυπο-
στάτου αὐτοῦ λόγου καὶ σοφίας καὶ δυνάμεως·
διὰ τὸ μίαν ἐν πατρὶ καὶ υἱῷ θεωρεῖσθαι κί-
νησιν· ὡς τὸ, πάντα δι' αὐτοῦ ἐγένετο· καὶ
τὸ ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο
αὐτούς· καὶ τὸ ἵνα γνῶσιν ὅτι σύ με ἀπέ-
στειλας· τὰ δὲ προφητικῶς· καὶ τούτων
τὰ μὲν ὡς μέλλοντα· οἷον ἐμφανῶς

ἥξει. καὶ τὸ Ζαχαρίου· ἰδοὺ ὁ βασιλεύς σου
ἔρχεταί σοι. καὶ τὸ ὑπὸ Μιχαίου εἰρημένον·
ἰδοὺ ὁ κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ·
καὶ καταβήσεται καὶ ἐπιβήσεται ἐπὶ τὰ
ὑψηλὰ τῆς γῆς· τὰ δὲ τὰ μέλλοντα ὡς
παρῳχηκότα· οὗτος ὁ θεὸς ἡμῶν· μετὰ
ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις
συνανεστράφη· καὶ τό, κύριος ἔκτισέ με ἀρχὴν
ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· καὶ διὰ τοῦτο
ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως
παρὰ τοὺς μετόχους σου· καὶ τὰ τοιαῦτα·
τὰ μὲν οὖν πρὸ τῆς ἑνώσεως, καὶ μετὰ
τὴν ἕνωσιν, ἐπ' αὐτῷ λεχθήσεται· τὰ δὲ
μετὰ τὴν ἕνωσιν, πρὸ τῆς ἑνώσεως
οὐδαμῶς· εἰ μή τί γε προφητικῶς ὡς ἔφημεν·
τῶν δὲ ἐν τῇ ἑνώσει, τρόποι εἰσὶ τρεῖς·
ὅτε μὲν γὰρ ἐκ τοῦ κρείττονος τὸν λόγον ποι-
ούμεθα, θέωσιν τῆς σαρκὸς καὶ λόγωσιν
καὶ ὑπερύψωσιν λέγομεν· καὶ τὰ τοιαῦτα
τὸν προσγινόμενον τῇ σαρκὶ πλοῦτον

ἐκ τῆς περὶ τὸν ὑφιστοῦν θεὸν λόγον ἑνώσεως ὥσπερ
καὶ συμφυΐας ἐμφαίνοντα· ὅπερ δὲ ἀπὸ τῶν
ἐλαττόνων, σάρκωσιν τοῦ θεοῦ λόγου ἐνανθρώπησιν·
κένωσιν· πτωχείαν· ταπείνωσιν φαμέν.
ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἐκ τῆς πρὸς τὸ ἀνθρώπινον
κράσεως ἐπιλέγεται τῷ λόγῳ τε καὶ θεῷ· ὅσα
δὲ ἐξ ἀμφοῖν ἅμα, ἕνωσιν· κοινωνίαν· χρίσιν·
συμφυΐαν· συμμόρφωσιν καὶ τὰ τοιαῦτα φά-
σκομεν· διὰ τούτου τοῦ τρίτου τρόπου
οἱ προλεγόμενοι δύο τρόποι λέγονται· διὰ τὸ
τῆς ἑνώσεως δηλοῦν τὸ ἔχειν ἑκάτερον
ἐκ τῆς τοῦ συνυφεστῶτος αὐτῷ ἁρμογῆς καὶ
περιχωρήσεως· διὰ τὸ τὴν καθ᾽ ὑπόστασιν
ἕνωσιν, ἢ σάρκα τεθεῶσθαι λέγεται καὶ θεὸς
γενέσθαι καὶ ὁμόθεον τῷ λόγῳ· καὶ ὁ θεὸς λόγος
σαρκωθῆναι καὶ ἄνθρωπος γενέσθαι καὶ κτίσμα
λέγεσθαι· καὶ ἔσχατος καλεῖσθαι· οὐχ ὡς τῶν
δύο φύσεων μεταβληθεισῶν εἰς μίαν φύσιν
σύνθετον· ἀδύνατον γὰρ ἐν μιᾷ φύσει
ἅμα τὰ ἐναντία φυσικὰ γενέσθαι· ἀλλ᾽ ὡς

τῶν δύο φύσεων καθ' ὑπόστασιν ἑνωθεισῶν·
καὶ τὴν εἰς ἀλλήλας περιχώρησιν ἀσύγχυτον
καὶ ἀμιγῆ δ' ἀλλήλων τὸν ἐχουσῶν· ἡ δὲ περιχώρησις,
οὐκ ἐκ τῆς σαρκός, ἀλλ' ἐκ τῆς θεότητος γέγονεν·
ἀμήχανον γὰρ τὴν σάρκα περιχωρῆσαι διὰ τῆς
θεότητος· ἀλλ' ἡ θεία φύσις ἅπαξ περιχω-
ρήσασα διὰ τῆς σαρκός, ἔδωκε καὶ τῇ σαρκὶ τὴν πρὸς
αὐτὴν ἄρρητον περιχώρησιν· ἣν δὴ ἕνωσιν λέ-
γομεν· ἰστέον δὲ ὡς ἐπὶ τοῦ πρώτου καὶ δευτέρου
τρόπου τῆς ἑνώσεως, τὸ ἀνάπαλιν
θεωρεῖται· ὅτε γὰρ περὶ τῆς σαρκὸς τὸν λόγον
ποιούμεθα, θέωσιν καὶ λόγωσιν καὶ ὑπερύψωσιν
καὶ χρῖσιν φαμέν· ἀπὸ μὲν γὰρ τῆς θεότητος, ταῦτα·
περὶ δὲ τὴν σάρκα θεωρεῖται· ὅτε δὲ περὶ τοῦ
λόγου, κένωσιν· σάρκωσιν· ἐνανθρώπησιν· τα-
πείνωσιν, καὶ τὰ ὅμοια· ἅτινα ὡς ἔφημεν
ἐκ τῆς σαρκὸς ἐπιλέγεται, τῷ λόγῳ τε καὶ θεῷ·
αὐτὸς γὰρ ταῦτα ὑπέμεινεν ἑκών· τῶν δὲ ἐμφαι-
νόντων ἕνωσιν, τρόποι εἰσὶ τρεῖς· πρῶτος ὁ τῆς
θείας φύσεως δηλωτικός· ὡς τὸ ἐγὼ ἐν

τῶν περί· καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ ἐγὼ καὶ ὁ πατὴρ ἕν
ἐσμεν· καὶ πάντα ὅσα πρὸ τῆς ἐνανθρωπήσεως
αὐτῷ ἐπιλέγεται, ταῦτα καὶ μετὰ τὴν
ἐνανθρώπησιν αὐτῷ ἐπιλεχθήσεται· πλὴν τοῦ
μὴ ἀνειληφέναι σάρκα, καὶ τὰ ταύτης φυσικά·
δεύτερος, ὁ τῆς ἀνθρωπίνης· ὥσπερ τὸ τί με ζητεῖ-
τε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λε-
λάληκα· καὶ τὸ, οὕτω δεῖ ὑψωθῆναι τὸν υἱὸν
τοῦ ἀνθρώπου, καὶ τὰ τοιαῦτα· τούτων δὲ τῶν
ἀνθρωποπρεπῶν ἐπὶ τοῦ σωτῆρος Χριστοῦ γεγραμμένων
ἅτε ἐν ῥήμασιν ἅτε ἐν πράγμασι, τρόποι
εἰσὶν ὀκτώ· α´ τὰ μὲν ἐν αὐτῶν κατὰ φύσιν
οἰκονομικῶς πέπρακταί τε καὶ λέλεκται·
οἷον, ὁ ἐκ παρθένου τόκος· ἡ καθ' ἡλικίαν
αὔξησίς τε καὶ προκοπή· ἡ πεῖνα· ἡ δίψα·
ὁ κόπος· τὸ δάκρυον· ὁ ὕπνος· ἡ τῶν ἥλων
τρῆσις· ὁ θάνατος· καὶ τὰ τοιαῦτα· ὅσα
φυσικὰ καὶ ἀδιάβλητα πάθη ὑπάρχουσιν·
ἐν τούτοις δ' ἅπασι· μίξις μετὰ τοῦ
θείου πρὸς τὸ ἀνθρώπινον· πλὴν τοῦ σώματος

ἀληθῶς εἶναι πιστεύεται· οὐδὲ τούτων τι
θείου πάσχοντος· δι' αὐτῶν δὲ τὴν ἡμῶν
οἰκονομοῦντος σωτηρίαν· β· τὰ δὲ κατὰ
προσποίησιν· τὸ ἐρωτᾶν ποῦ τεθείκατε
λάζαρον· ὁ ἐπὶ τὴν συκῆν δρόμος· τὸ ὑποδύ-
εσθαι· ἤγουν ὑπαναχωρεῖν· ἡ προσευχή·
τὸ, προσεποιήσατο πορρωτέρω πο-
ρεύεσθαι· τούτων γὰρ καὶ τῶν παραπλησίων,
οὔτε ὡς θεὸς· οὔτε ὡς ἄνθρωπος ἐχρῄζε· πλὴν
ἀνθρωποπρεπῶς ἐσχηματίζετο, πρὸς τὸ ὅπερ ἡ
χρεία καὶ τὸ λυσιτελὲς ἀπῄτει· οἷον τὴν μὲν
προσευχήν, διὰ τὸ δεῖξαι ὡς οὐκ ἔστιν ἀντί-
θεος· καὶ ὡς αἰτίαν ἑαυτοῦ τιμῶν τὸν πατέρα·
τὸ ἐρωτᾶν, οὐκ ἀγνοῶν· ἀλλ' ἵνα δείξῃ ὡς
κατὰ ἀλήθειαν ἐστὶν ἄνθρωπος μετὰ τοῦ εἶναι
θεός· τὸ ὑπαναχωρεῖν, ἵνα διδάξῃ μὴ προ-
πετεύεσθαι· μηδὲ ἑαυτοὺς προδιδόναι· γ·
τὰ δὲ κατ' οἰκείωσιν καὶ ἀναφοράν· ὡς τό,
θεέ μου θεέ μου ἵνα τί με ἐγκατέλιπες·
καὶ τὸ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτ(ίαν)

ἐποίησε· καὶ τὸ, γενόμενος ὑπὲρ ἡμῶν κα-
τάρα· καὶ τὸ, αὐτὸς ὁ υἱὸς ὑποταγήσεται
τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα· οὔτε
γὰρ ὡς θεός, οὔτε ὡς ἄνθρωπος κατελήφθη
ποτὲ ὑπὸ τοῦ πατρός· οὔτε ἁμαρτία· οὔτε
κατάρα γέγονεν· οὔτε ὑποταγῆς χρῄζει τῶν
πατρί· καθὸ μὲν γὰρ θεός, ἴσος ἐστὶ τῷ πατρί· καὶ
οὐδὲν ἐναντίος· οὐδὲ ὑποτεταγμένος· καθὸ
δὲ ἄνθρωπος, οὐδέποτε ἀνήκοος γέγονε, τοῦ
γεννήτορος· ἵνα ὑποταγῆς δεηθῇ· τὸ μὲν γὰρ
τοίνυν οἰκειούμενος πρόσωπον· καὶ μεθ᾽ ἡμῶν
τάσσων ἑαυτὸν ἔλεγε ταῦτα· ἡμεῖς γὰρ
ἦμεν οἱ ἁμαρτίας καὶ κατάρας ἔνοχοι· ὡς ἀ-
πειθεῖς καὶ παρήκοοι· καὶ διὰ τοῦτο ἐγκαταλε-
λειμμένοι. δι. Πᾶν δὲ διὰ τὴν κατ᾽ ἐπί-
νοιαν διαίρεσιν· ἐὰν γὰρ τῇ ἐπινοίᾳ διέλῃς
τὰ τῇ ἀληθείᾳ ἀχώριστα· ἤτοι τὴν σάρκα
ἐκ τοῦ λόγου λέγεται καὶ δοῦλος καὶ ἀγνοῶν· καὶ
διὰ τῆς δουλικῆς καὶ ἀγνοούσης φύσεως χριστοῦ.
καὶ εἰ μὴ ἥνωτο τῷ θεῷ λόγῳ ἡ σάρξ, δούλη

ἦν καὶ ἀγνοοῦσα· ἀλλὰ διὰ τὴν πρὸς τὸν θεὸν λόγον
καθ' ὑπόστασιν ἕνωσιν, οὔτε δούλη ἦν, οὔτε
ἀγνοοῦσα· οὕτω καὶ θεὸν ἑαυτοῦ τὸν πατέρα ἐκάλε-
-σεν· ε΄. τὰ δὲ διὰ τὴν πρὸς ἡμᾶς
φανέρωσίν τε καὶ πίστωσιν· ὡς τό, πάτερ·
δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν
κόσμον εἶναι παρὰ σοί. αὐτὸς μὲν γὰρ δεδο-
-ξασμένος ἦν τε καὶ ἐστίν· ἀλλ' ἡμῖν οὐκ ἦν
φανερωθεῖσα καὶ πιστωθεῖσα ἡ δόξα αὐτοῦ·
καὶ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον· τοῦ ὁρισ-
-θέντος υἱοῦ θεοῦ ἐν δυνάμει, κατὰ πνεῦμα ἁ-
-γιωσύνης ἐξ ἀναστάσεως καὶ τῆς ἐπιφοι-
-τήσεως τοῦ ἁγίου πνεύματος, ἐφανερώθη καὶ
ἐπιστώθη τῷ κόσμῳ, ὅτι υἱός ἐστι τοῦ θεοῦ·
καὶ τὸ προέκοπτε σοφίᾳ καὶ χάριτι. ϛ΄. τὰ
δὲ κατὰ τὴν τῶν ἰουδαίων προσοι-
-κείωσιν· ὡς ἓν τῶν ἰουδαίων ἀριθμῶν
ἑαυτόν, πρὸς τὴν σαμαρεῖτιν φησίν· ὑμεῖς
προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσ-
κυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν

ἰουδαίων ἐστί· τρίτος τρόπος, ὁ τῆς μὲν
ὑποστάσεως δηλωτικὸς· καὶ τοῦ συναμφο-
-τέρου παραστατικός· οἷον, τὸ ἐγὼ ζῶ διὰ
τὸν πατέρα· καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται
δι᾽ ἐμέ, καὶ τὸ ὑπάγω πρὸς τὸν πατέρα καὶ οὐκέτι
θεωρεῖτέ με· καὶ τὸ, οὐκ ἂν τὸν κύριον τῆς δόξης
ἐσταύρωσαν· καὶ τὸ, οὐδεὶς ἀναβέβηκεν εἰς τὸν
οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς
τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ· καὶ τὰ τοιαῦτα·
καὶ τῶν μετὰ τὴν ἀνάστασιν δὲ, τὰ μέν ἐστι
θεοπρεπῆ· ὡς τὸ βαπτίζοντες αὐτοὺς
εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ὡς θεοῦ δη-
-λονότι· καὶ τοῦ ἁγίου πνεύματος· καὶ τὸ ἰδοὺ ἐγὼ
μεθ᾽ ὑμῶν εἰμί, πάσας τὰς ἡμέρας ἕως
τῆς συντελείας τοῦ αἰῶνος· καὶ τὰ τοιαῦτα·
ὡς γὰρ θεός ἐστι μεθ᾽ ἡμῶν· τὰ δὲ ἀνθρωποπρεπῆ·
ὡς τὸ ἐκράτησαν αὐτοῦ τοὺς πόδας· καὶ τὸ,
κἀκεῖ με ὄψονται· καὶ τὰ τοιαῦτα· τῶν δὲ μετὰ
τὴν ἀνάστασιν ἀνθρωποπρεπῶν, τρόποι εἰσὶ διά-
-φοροι· τὰ μὲν γὰρ ἀληθῶς, ἀλλ᾽ οὐ κατὰ

φύσιν· ἀλλὰ κατ' οἰκονομίαν· περὶ τὸ πι-
στεύσασθαι ὅτι αὐτὸ τὸ παθὸν σῶμα
ἀνέστη· ὡς οἱ μώλωπες· ἡ βρῶσις καὶ ἡ
πόσις ἡ μετὰ τὴν ἀνάστασιν· τὰ δὲ ἀληθῶς
καὶ κατὰ φύσιν· ὡς τὸ μεταβαίνειν τόπον
ἐκ τόπων ἀμογήτως· καὶ τὸ διὰ τῶν θυρῶν
κεκλεισμένων εἰσελθεῖν· τὰ δὲ κατὰ προσ-
ποίησιν ὡς τὸ προσεποιήσατο πορρω-
τέρω πορεύεσθαι· τὰ δὲ τοῦ συναμφοτέρου·
ὡς τὸ ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν·
καὶ θεόν μου καὶ θεὸν ὑμῶν· καὶ τὸ εἰσελεύσεται ὁ βα-
σιλεὺς τῆς δόξης· καὶ τὸ, ἐκάθισεν ἐν δεξιᾷ
τῆς μεγαλωσύνης ἐν τοῖς ὑψηλοῖς· τὰ
δὲ ὡς μεθ' ἡμῶν ἑαυτὸν τάττοντος· [illegible]
τῆς κατὰ ψιλὴν ἐπίνοιαν διαιρέσεως·
ὡς τὸ θεόν μου καὶ θεὸν ὑμῶν· δεῖ οὖν τὰ μὲν
ὑψηλὰ προσνέμειν τῇ θείᾳ καὶ κρείττονι φύσει
παθῶν καὶ σώματος· τὰ δὲ ταπεινὰ τῇ
ἀνθρωπίνῃ· τὰ δὲ κοινὰ τῷ συνθέτῳ· ἤγουν
τῷ ἑνὶ Χριστῷ, ὅς ἐστι θεὸς καὶ ἄνθρωπος· καὶ εἰδέναι

ἀμφότερα, ἐξ ἴσου ἐστὶ τοῦ αὐτοῦ χριστοῦ κυρίου
ἰησοῦ χριστοῦ· ἑκάστου τὸ ἴδιον μὲν γινώσκοντες·
καὶ ἀμφότερα ἐξ ἑνὸς προαπτόμενα μὲν ἀλέ-
-προντες, ὀρθῶς πιστεύομεν· καὶ οὐ πλα-
-νηθησόμεθα· ἐξ ὧν ἁπάντων, τῶν μὲν
ἑνωθεισῶν φύσεων, ἡ διαφορὰ γινώσκεται·
καὶ ὅτι μὲν ταυτὸν ὥς φησιν ὁ θειότατος
κύριλλος, ἡ ποιότης τῆς φυσικῆς θεότητος
τε καὶ ἀνθρωπότητος· εἷς δὲ μὲν υἱὸς καὶ χριστὸς καὶ κύριος·
καὶ ὡς ἑνὸς ὄντος, ἓν αὐτοῦ καὶ τὸ πρόσω-
-πον· κατ' οὐδένα τρόπον διαιρεῖν τὴν ἐπι-
-γνωσιν τῆς φυσικῆς διαφορᾶς μερίζο-
-μένης τῆς καθ' ὑπόστασιν ἑνώσεως·

+ ὅτι οὐκ ἔστι τῶν κακῶν αἴτιος ὁ θεός:-

ϙε Χρὴ εἰδέναι· ὅτι ἔθος τῇ θείᾳ γραφῇ τὴν
παραχώρησιν τοῦ θεοῦ, ἐνέργειαν αὐτοῦ
καλεῖν· ὡς ὅταν λέγῃ ὁ ἀπόστολος, ἐν τῇ
πρὸς ῥωμαίους ἐπιστολῇ· ἢ οὐκ ἔχει ἐξουσίαν
ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυ-
-ράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος·

ὁ δὲ εἰς ἀτιμίαν· ὅτι μὲν γὰρ αὐτὸς ποιεῖ
καὶ ταῦτα κἀκεῖνα δῆλον· μόνος γὰρ αὐτὸς
ἐστὶ τῶν ἁπάντων δημιουργός· τὸ δὲ ἄλλο οὐχ αὐτὸς
τιμὴν κατασκευάζει ἢ ἀτιμίαν· ἀλλ' αἱ
οἰκεῖαι ἑκάστου προαιρέσεις· καὶ τοῦτο δῆλον·
ἐξ ὧν ὁ αὐτὸς ἀπόστολος ἐν τῇ πρὸς τιμόθεον
δευτέρᾳ ἐπιστολῇ ἔφη· ἐν μεγάλῃ οἰκίᾳ,
οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ· ἀλλὰ
καὶ ξύλινα· καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμήν·
ἃ δὲ εἰς ἀτιμίαν· ἐὰν οὖν τις ἐκκαθάρῃ
ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμήν,
ἡγιασμένον· καὶ εὔχρηστον τῷ δεσπότῃ εἰς
πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον· δῆλον
δὲ ὡς ἑκουσίως ἡ καθαρσις γίνεται· ἐὰν
γάρ τις φησὶν ἐκκαθάρῃ ἑαυτὸν, ἔσται σκεῦος
ἡγιασμένον· ἡ δὲ ἀκόλουθος ἀντιστροφὴ ἂν
– τὸ φωνεῖ· ἐὰν δὲ μὴ ἐκκαθάρῃ, ἔσται σκεῦος
εἰς ἀτιμίαν ἄχρηστον τῷ δεσπότῃ σιωπηθὲν
ἄξιον· τὸ οὖν προκείμενον ῥητὸν καὶ τὸ, συ-
– νέκλεισεν ὁ θεὸς πάντας εἰς ἀπείθειαν·

καὶ τὸ ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύξεως·
ὀφθαλμοὺς τοῦ μὴ βλέπειν. καὶ ὦτα τοῦ
μὴ ἀκούειν· ταῦτα πάντα, οὐχ ὡς τοῦ θεοῦ
ἐνεργήσαντος ἐκληπτέον· ἀλλ' ὡς τοῦ θεοῦ
παραχωρήσαντος, διὰ τὸ αὐτεξούσιον·
καὶ τὸ ἀδιάστροφον ἄγαν τὸ καλόν· τὴν οὖν παρα-
χώρησιν αὐτοῦ, ὡς ἐνέργειαν καὶ ποίησιν
αὐτοῦ λέγειν σύνηθες τῇ θείᾳ γραφῇ· ἀλλὰ
μὴν καὶ ὅταν φησὶ τὸν θεὸν κτίζειν κακά· καὶ
μὴ εἶναι ἐν πόλει κακίαν ἣν ὁ κύριος οὐκ ἐποίησε,
οὐ κακῶν αἴτιον τὸν θεὸν δείκνυσιν· ἀλλ' ἐπεὶ
δισέμφατον τὸ τῆς κακίας ὄνομα δύο
σημαῖνον· ποτὲ μὲν γὰρ τὸ τῇ φύσει κακὸν
δηλοῖ· ὅπερ ἐναντίον τῇ ἀρετῇ καὶ τῇ τοῦ
θεοῦ θελήσει· ποτὲ δὲ πρὸς τὴν ἡμετέραν
αἴσθησιν κακὸν καὶ ἐπίπονον· ἤγουν τὰς θλί-
ψεις καὶ ἐπαγωγάς· αὐτὰς δὲ τὰς μὲν δοκοῦν
κακὸν ἐστὶν ἀλγεινὸν τοῖς χαίρουσι· τῇ δὲ
ἀληθείᾳ, ἀγαθόν· ἐπιστροφῆς γὰρ καὶ σωτηρίας
τοῖς συνιοῦσι γίνονται πρόξενοι· ταύτας

δι' αὐτοῦ γίνεσθαι φησὶν ἡ γραφή· ἰστέον δὲ ὡς
καὶ τούτων ἡμεῖς ἐσμὲν αἴτιοι· τῶν γὰρ
ἑκουσίων κακῶν, καὶ ἀκούσια συνέχονται·
καὶ τοῦτο δὲ ἰστέον· ὅτι ἔθος τῇ γραφῇ τὴν
ἐκβατικῶς ὀφεῖλον τὸ λέγεσθαι αἰτιολο-
-γικῶς λέγειν· ὥσπερ τὸ, σοὶ μόνῳ ἥμαρτον
καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν
δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς
ἐν τῷ κρίνεσθαί σε· οὐ γὰρ ὁ ἁμαρτήσας, ἵνα
νικήσῃ ὁ θεὸς ἥμαρτεν· οὔτε δὲ ὁ θεὸς ἐδεῖτο
τῆς ἡμῶν ἁμαρτίας ἵνα ἐκ ταύτης νικητὴς
ἀναφανῇ· φαίνεται δὲ ἀσυγκρίτως κατὰ πάν-
-των καὶ μὴ ἁμαρτανόντων καὶ νικητήριος·
δημιουργὸς ὢν καὶ ἀκατάληπτος καὶ ἄκτιστος·
καὶ φυσικὴν ἔχων τὴν δόξαν καὶ οὐκ ἐπίκτητον·
ἀλλ' ὅτι ἡμῶν ἁμαρτανόντων, οὐκ ἀδίκως
γὰρ ἐπιφέρων τὴν ὀργήν· καὶ μηδαμῶς ὁσίους συγ-
-χωρῶν, νικητὴς τῆς ἡμῶν ὕβρας κακίας
ἀναδείκνυται· οὐκ ἐπὶ τούτου δὲ ἡμεῖς
ἁμαρτάνομεν· ἀλλ' ὅτι οὕτως ἀποβαίνει

τὸ πρᾶγμα. ὥσπερ ἐὰν καθῆταί τις ἐργαζόμενος. φίλος δέ τις ἐπιστῇ, φησὶν ὅτι ἵνα μηδὲ σήμερον ἐργάσωμαι, παρεγένετο ὁ φίλος. ὁ μὲν οὖν φίλος, οὐχ ἵνα μὴ ἐργάσηται παρεγένετο. οὗτος δὲ ἀπὸ ἀσχολούμενος τῇ περὶ τὴν τοῦ φίλου ὑποδοχήν, οὐκ ἐργάζεται. λέγεται δὲ ταῦτα ἐκβατικῶς. ὅτι οὕτως ἀποβαίνουσι τὰ πράγματα. οὐ θέλει δὲ ὁ θεὸς μόνον αὐτὸν δίκαιον, ἀλλὰ πάντας ὁμοιοῦσθαι αὐτῷ κατὰ δύναμιν:—

## ὅτι οὐ δύο ἀρχαί:—

ϟε΄ Ὅτι οὐ δύο ἀρχαί. μία ἀγαθὴ καὶ μία πονηρά, ἐντεῦθεν γνωσόμεθα. ἐναντία γὰρ ἀλλήλοις τὸ ἀγαθὸν καὶ τὸ πονηρόν. καὶ ἀλλήλων φθαρτικά, καὶ ἐν ἀλλήλοις καὶ σὺν ἀλλήλοις οὐχ ὑφιστάμενα. ἐν μέρει τοίνυν τούτων ἕκαστον ἔσται τοῦ παντός. καὶ πρῶτον μὲν περιγραφήσονται οὐχ ὑπὸ τοῦ παντὸς μόνον, ἀλλὰ καὶ ὑπὸ μέρους τοῦ παντός, τοῦτ᾽ ἕκαστον. ἔπειτα τίς ὁ τὴν χώραν ἑκάστῳ

ἀπονεμομένων· οὐ γὰρ ἀλλήλοις συνενεχθῆναι
καὶ συμπεριφυρασθῆναι φήσαιεν ἄν· ἐπεὶ οὐ
κακὸν τὸ κακὸν ἐρήμην ἄγον περὶ τὸ ἀγαθὸν
καὶ συμπεριφυραζόμενον· οὐδ᾽ ἀγαθὸν τὸ
ἀγαθὸν, πρὸς τὸ κακὸν φιλικῶς διακεί-
μενον· ἃ δὲ ἑτέρου τούτων ἑκάστῳ τὴν οἰ-
κείαν ἀφορίζει διατριβὴν, ἐκείνου μᾶλλον
ἐξῆφθαι. ἀμήχανον δὲ καὶ δύο εἶναι θάτερον. καὶ
ἅπτεσθαι καὶ φθείρειν ἄλληλα, ἢ ἀγαγεῖν τι
μέσον, ἐν ᾧ οὐδὲ τὸ ἀγαθὸν· οὐδὲ τὸ κακὸν,
ἔσται· ὥσπερ τι διάφραγμα διεῖργον ἐξ
ἀλλήλων ἀμφότερα. καὶ οὐκέτι δύο, ἀλλὰ
τρεῖς, ἀρχαὶ ἔσονται. ἀμήχανον δὲ καὶ τούτων
τὸ ἕτερον. ἢ ἐρημεύειν ὃ περὶ τὸ κακὸν
οὐ δύναται· τὸ γὰρ ἐρημεῦον, οὐ κακὸν ἢ μά-
χεσθαι· ὃ περὶ τὸ ἀγαθὸν οὐ δύναται· τὸ γὰρ
μαχόμενον, οὐ τελέως ἀγαθόν. ἢ τὸ μὲν
κακὸν, μάχεσθαι· τὸ δὲ ἀγαθὸν, μηδ᾽ ἄν τι-
μάχεσθαι, ἀλλ᾽ ὑπὸ τοῦ κακοῦ φθείρεσθαι.
ἢ ἄρα λυπεῖσθαι καὶ κακοῦσθαι· ὅπερ οὐ

τοῦ ἀγαθοῦ γνωρίσματα· μία τοίνυν ἀρχὴ ἀγαθὴ πάσης κακίας ἀπηλλαγμένη· ἀλλ' ἐροῦσι τοῦτο φασί· πόθεν τὸ κακόν· ἀμήχανον γὰρ ἐκ τοῦ ἀγαθοῦ τὸ κακὸν ἔχειν τὴν γένεσιν. φαμὲν οὖν ὅτι τὸ κακὸν οὐδὲν ἕτερόν ἐστιν, ἢ καὶ τοῦ ἀγαθοῦ στέρησις· καὶ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν παρατροπή· οὐδὲν γὰρ κακὸν κατὰ φύσιν· πάντα γὰρ ὅσα ἐποίησεν ὁ θεὸς καλὰ λίαν καθὸ γεγόνασιν· οὕτω τοίνυν μένοντα καθὼς ἐκτίσθησαν, καλὰ λίαν εἰσίν· ἑκουσίως δὲ ἀποφοιτῶντα ἐκ τοῦ κατὰ φύσιν καὶ εἰς τὸ παρὰ φύσιν ἐρχόμενα, ἐν τῷ κακῷ γίνονται· κατὰ φύσιν μὲν οὖν πάντα δοῦλα καὶ ὑπήκοα τοῦ δημιουργοῦ· ὅταν δὲ ἑκουσίως τι τῶν κτισμάτων ἀφηνιάσῃ καὶ παρήκοον τοῦ ποιήσαντος αὐτὸ γένηται, ἐν ἑαυτῷ συνεστήσατο τὴν κακίαν· κακία γὰρ οὐκ οὐσία τίς ἐστιν· οὐδὲ οὐσίας ἰδίωμα, ἀλλὰ συμβεβηκός· ἤτοι ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἑκουσίως παρατροπή·

ὁ περὶ ἡμῖν ἡ ἁμαρτία· τὸ θεῖον οὖν ἀναμάρτητον·
τῆς αὐτεξουσίου γνώμης τοῦ διαβόλου
εὕρημα. κακοὶ οὖν οἱ διάβολοι· καθὸ μὲν γε-
γόνασιν, οὐ κακοὶ, ἀλλ' ἀγαθοί· ἄγγελοι γὰρ
λαμπρότεροι φωτισμοὶ ὑπὸ τοῦ δημιουργοῦ
ἐκτίσθησαν· αὐτεξούσιοι, ὡς λογικοί· ἑκουσίως
δὲ τῆς κατὰ φύσιν ἀρετῆς ἀπεφοίτησε,
ἐν τῷ ζόφῳ τῆς κακίας γεγόνασι· ἀμαυ-
ρωθεὶς τοῦ μόνου ἀγαθοῦ καὶ φωτοποιοῦ·
ὁ ἐξ αὐτοῦ γὰρ πᾶν ἀγαθὸν ἀγαθύνεται· καὶ
καθόσον ὁ ἐξ αὐτοῦ μακρύνεται γνώμῃ
οὐ γὰρ τόπῳ, ἐν τῷ κακῷ γέγονεν:-
+ πῶς οὖν ἐκεῖνον προγινώσκων ὁ θεὸς τοὺς ἁμαρ-
τάνειν καὶ μὴ ἁμαρτάνειν μέλλοντας, ἔκτισεν:-
θεὸς ἀγαθότητι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ δξ
εἶναι παρήγαγε τὰ γινόμενα· ἐν τῷ ὑφιστα-
μένων προγνώσεις· ζημιοῦν ἐμέλλον
ἔσεσθαι, οὐδὲ κακοὶ ἔμελλον ἔσεσθαι·
οὐδὲ προεγινώσκοντο· τῶν γὰρ οὐκ ὄντων
ἀγνώσεις· ἐν τῷ παρὰ τῶν ὑφισταμένων

αὖ περὶ γνώσεως· περὶ ὧν ταυτὸ τὸ εἶναι, καὶ
τό τε τὸ καλὸν ἢ κακὸν εἶναι· ἃ δὲ μέλλουσιν
ἔσεσθαι διὰ τὴν τοῦ θεοῦ ἀγαθότητα·
τὸ κακοῖς ἐξ οἰκείας προαιρέσεως μέλλειν
ἔσεσθαι· ἐκώλυσεν αὐτοῖς γενέσθαι, τὸ κακὸν
ἐνίκα διὰ τὴν τοῦ θεοῦ ἀγαθότητα· ποιεῖ
τοιγαροῦν ὁ θεὸς ἀγαθὰ ἅπαντα αἴτιος·
ἕκαστος δὲ ἐξ οἰκείας προαιρέσεως, καλός
τε ἢ κακὸς γίνεται. καὶ τοίνυν ὡς ἔφη ὁ κ(ύριο)ς· συμ-
φέρον ἦν τῷ ἀνθρώπῳ ἐκείνῳ εἰ οὐκ ἐγεννήθη· οὐ τὴν
οἰκείαν κτίσιν κακίζων ἐλέγχει· ἀλλὰ τὴν ἐξ
οἰκείας προαιρέσεως καὶ ῥᾳθυμίας ἐπι-
γενομένην τῷ κτίσματι αὐτοῦ κακίαν·
ἢ διὰ τῆς οἰκείας γνώσεως ῥᾳθυμίαν, ἄ-
χρηστον αὐτῷ τὴν τοῦ δημιουργοῦ εὐεργεσίαν
ἐποίησεν· ὥσπερ ἂν εἴ τις πλοῦτον καὶ ἀρχὴν
παρὰ βασιλέως ἐγχειρισθεὶς, τυραν-
νήσει τὸν εὐεργέτην· οὐκ ἀξίως χειρωσάμενος
τιμωρήσεται, καὶ μέχρι τέλους τῇ τυραν-
νίδι κατ' ἰδίου τούτου ἐναπομένοντα·

+ Περὶ νόμου θεοῦ καὶ νόμου ἁμαρτίας :-

Ἀγαθὸν τὸ θεῖον καὶ ὑπεράγαθον· καὶ τὸ τούτου
θέλημα· τοῦτο γὰρ ἀγαθόν, ὅ περ ὁ θεὸς
βούλεται· νόμος δέ ἐστιν ἡ τοῦτο διδάσ-
-κουσα, ἡ βουλή· ἵνα ἐν αὐτῷ μένοντες, ἐν
φωτὶ ὦμεν· ἧς δὲ βουλῆς ἡ παράβασις,
ἁμαρτία ἐστί· αὕτη δὲ διὰ τῆς τοῦ διαβόλου
προσβολῆς καὶ τῆς ἡμετέρας ἀβιάστου
καὶ ἑκουσίου παραδοχῆς, συνίσταται· λέ-
-γεται δὲ καὶ αὕτη νόμος· ἐπιμάγνων οἷον
ὁ τοῦ θεοῦ νόμος τῷ νῷ ἡμῶν, ἐφέλκεται
πρὸς ἑαυτὸν καὶ νύττει τὴν ἡμετέραν συνεί-
-δησιν· λέγεται δὲ καὶ ἡ ἡμετέρα συνείδησις,
νόμος τοῦ νοὸς ἡμῶν καὶ ἡ προσβολὴ δὲ τοῦ
πονηροῦ· τουτέστιν ὁ νόμος τῆς ἁμαρτίας
ἐπιμάγνων τοῖς μέλεσι τῆς σαρκὸς ἡμῶν,
διὰ αὐτῆς ἡμῖν προσβάλλει· ἅπαξ γὰρ παραβάν-
-τες ἑκουσίως τὸν νόμον τοῦ θεοῦ καὶ τὴν προσ-
βολὴν τοῦ πονηροῦ παραδεξάμενοι, ἐ-
δώκαμεν αὐτῇ εἴσοδον· παραθέντες

B.B. 1.

ὑφ' ἑαυτῶν τῇ ἁμαρτίᾳ· ὅθεν ἐποίμωσ-
άζεται τὸ σῶμα ἡμῶν πρὸς αὐτήν·
λέγεται οὖν καὶ ἡ ἐναποκειμένη τῷ σώματι
ἡμῶν ὁρμὴ καὶ ἀγαθησίος τῆς ἁμαρτίας.
ἤτοι ἐπιθυμία καὶ ἡ ὁρμὴ τοῦ σώματος,
νόμος ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἡμῶν.
ὁ μὲν οὖν νόμος τοῦ νοός μου ἤτοι ἡ
συνείδησις, συνήδεται τῷ νόμῳ τοῦ
θεοῦ· ἤτοι τῇ ἐντολῇ· καὶ ταύτην θέλει· ὁ δὲ
νόμος τῆς ἁμαρτίας ἤτοι ἡ προσβολή,
διὰ τοῦ νόμου τοῦ ἐν τοῖς μέλεσιν· ἤτοι
τῆς τοῦ σώματος ἐπιθυμίας καὶ ῥοπῆς
καὶ κινήσεως· καὶ τοῦ ἀλόγου μέρους τῆς
ψυχῆς ἀντιστρατεύεται τῷ νόμῳ τοῦ
νοός μου· τουτέστι τῇ συνειδήσει· καὶ
αἰχμαλωτίζει με· καὶ θέλοντα τὸν τοῦ θεοῦ
νόμον καὶ ἀγαπῶντα· καὶ μὴ θέλοντα τὴν
ἁμαρτίαν, κατὰ ἀνάκρασιν διὰ τοῦ λόγου
τῆς ἡδονῆς· καὶ τῆς τοῦ σώματος ἐπι-
θυμίας καὶ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς

ὡς ἔφην, πλὴν ἀλλ' ἐπειδὴ ἐδούλευσαν τῇ
ἁμαρτίᾳ. ἀλλ' ὁ θεὸς τὸ ἀδύνατον τοῦ
νόμου ἐν ᾧ ἠσθένει χρόνον μὲν διὰ τῆς σαρκός
- θεὸς πέμψας τὸν υἱὸν αὐτοῦ ἐν ὁμοιώματι
σαρκὸς ἁμαρτίας. σάρκα μὲν ἔλαβεν.
ἁμαρτίαν δὲ οὐδαμῶς, κατέκρινε τὴν ἁμαρ-
- τίαν ἐν τῇ σαρκί. ἵνα τὸ δικαίωμα τοῦ νό-
μου πληρωθῇ ἐν τοῖς μὴ κατὰ σάρκα περιπα-
- τοῦσιν. ἀλλὰ κατὰ πνεῦμα. τὸ δὲ πνεῦμα συναντι-
- λαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν. καὶ
παρέχει δικαιώματα τὸν νόμον τοῦ νοὸς ἡμῶν
κατὰ νόμου τοῦ ἐν τοῖς μέλεσιν ἡμῶν. τὸ
γὰρ τί προσευξόμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν.
ἀλλ' αὐτὸ τὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν
στεναγμοῖς ἀλαλήτοις. τουτέστι διδάσκει
ἡμᾶς τί προσευξόμεθα. ὡς τὸ ἀδύνατον
ἡμῖν δι' ὑπομονῆς καὶ προσευχῆς τὰς ἐντολὰς
τοῦ θεοῦ κατορθώσασθαι: — + κατὰ
ἰουδαίων περὶ τοῦ σαββάτου:— μθ
σάββατον ἡ ἑβδόμη ἡμέρα κέκληται.

δηλοῖ δὲ τὴν κατάπαυσιν· ἡ αὐτὴ γὰρ
κατέπαυσεν ὁ θεὸς ἀπὸ πάντων τῶν
ἔργων αὐτοῦ ὡς φησὶν ἡ γραφή. διὸ καὶ μέχρι
ἑπτὰ ὁ τῶν κλήρων ἀριθμὸς προσάγων,
πάλιν ἀνακυκλοῦται καὶ ἀπὸ τῆς πρώτης
ἄρχεται. οὗτος ὁ ἀριθμὸς τίμιος παρὰ
ἰουδαίοις τοῦ θεοῦ προστάξαντος τιμᾶσθαι
αὐτόν, οὐχ ὡς ἔτυχεν· ἀλλὰ καὶ ἀφίσταται
τῶν ἐπὶ τῇ παραβάσει ἐπιτιμίων· τὸ γὰρ
ἁπλῶς δὲ τοῦτο προστάξων· ἀλλὰ διά
τινας μυστικῶς τοῖς πνευματικοῖς τε καὶ
διορατικοῖς καταμηνύσας αἰτίας.
ὥστε ἐμέλλομεν γνῶναι τοῦ ἀμαθὴς ἐκ τῆς
κατωτέρου καὶ παχυτέρων ἀρξώμεθα. ἀρχὴ
ὁ θεὸς τὸ παχύ τε καὶ φιλόσαρκον καὶ πρὸς
τὴν ὕλην ὅλως ἐπιρρεπὲς τοῦ ἰσραηλί-
-τικοῦ λαοῦ ἅμα δὲ καὶ τὸ ἀδιάκριτον· προσῆπτον
ἦν, ἵνα ὁ δοῦλος καὶ τὸ ὑποζύγιον ἀναπαύ-
-σηται. ὡς γέγραπται· ἐπειδὴ ἀνηλεεῖς καὶ
οἰκτρὰ ἐργάτας χρὴ καὶ τῶν αὐτοῦ· ἅμα δὲ καὶ

χελλὴν ἄζοντας ἐκ τοῦ περὶ τὴν ὕλην περι-
σπασμοῦ, περὶ θεὸν συνάγωνται· ἐν ψαλμοῖς
καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς καὶ μελέτῃ τῶν
θείων γραφῶν πᾶσαν τὴν ἑβδόμην ἀνα-
λίσκοντας καὶ ἐν τῷ θεῷ καταπαύοντας.
ὅτε μὲν γὰρ οὐκ ἦν νόμος. οὐ γραφὴ θεόπνευστος,
οὐδὲ τὸ σάββατον τῷ θεῷ ἀφιέρωτο· ὅτε δὲ
ἡ θεόπνευστος γραφὴ διὰ μωσέως ἐδόθη,
ἀφιερώθη τῷ θεῷ τὸ σάββατον· ὥστε
ἂν περὶ τὴν ταύτης μελέτην ἐν αὐτῷ
ἀδολεσχήσωσιν· οἱ μὲν πάντα τοῦ βίου
τῷ θεῷ ἀφιεροῦντες· καὶ οἱ μὲν πόθῳ τῷ
δεσπότῃ ὥσπερ δουλεύοντες· ἀλλ' ὡς δοῦ-
λοι ἀγνώμονες, κἂν μέχρι γοῦν καὶ ἐλάχιστον μέρος
τῆς ἑαυτῶν ζωῆς τῷ θεῷ ἀποτέμνοντες.
καὶ τούτῳ φόβῳ τῶν ἐπὶ τῇ παραβάσει
εὐθυνῶν καὶ ἐπιτιμήσεων· διὸ καὶ τὸν νόμον
οὐ κεῖται· ἀλλ' ἀδίκοις· ἐπεὶ πρῶτον μωσῆς
τεσσαρακονταημέρων· καὶ αὖθις ἕτερον
τεσσαράκοντα νηστείαν προσεδρεύσας

B.B.M.

τῷ θεῷ, παρ᾽ ὅσον καὶ τοῖς σώμασιν αὐτῶν
τῆς νηστείας ἐκάκουν ἑαυτοὺς τοῦ νόμου
μὴ κακοῦν ἑαυτοὺς ἐν τῇ τοῦ σαββάτου
ἡμέρᾳ προστάττοντος· καὶ δὲ φαίνεται ὅτι
πρὸ τοῦ νόμου τοῦτο, τί φησιν περὶ τοῦ
θεσβίτου ἡλίου; τεσσαράκοντα ἡμέρας
ὁδὸν ἀφ᾽ ὕδατος ἐν ἰσχύϊ μιᾷ· οὗτος τοίνυν
οὐ μόνον διὰ τῆς νηστείας· ἀλλὰ καὶ διὰ τῆς
ὁδοιπορίας ἐν τοῖς σώμασι τεσσαράκοντα
ἡμερῶν ἑαυτὸν κακώσας, ἔλυσε
τὸ σάββατον· καὶ οὐκ ἐχωρίσθη αὐτῷ ὅτι
νόμον δεδωκώς· ἀλλὰ καὶ ὡς ἀρετῆς
ἔπαθλον ἐν χώρᾳ περὶ ἑαυτὸν ἐνεφάνισε·
τί δὲ περὶ δανιὴλ φησὶν· οὐχὶ τρεῖς
ἑβδομάδας διετέλεσεν ἄσιτος; τί δὲ
παῖς ἰσραήλ· οὐ περιτέμνει τὸ παιδίον ἐν
σαββάτῳ καὶ τύχοι ὀκταήμερον; οὐχὶ δὲ
καὶ τὴν μεγάλην νηστείαν ἣν νενομοθέτηνται
καὶ ἐν σώματι καταπτήσει νηστεύουσιν;
οὐχὶ δὲ καὶ ἱερεῖς καὶ λευῖται ἐν τοῖς τῆς

σκηνῆς διαφέροις μὲν ἢ λοιποὶ τοῦ σώματος
καὶ ἀφανίζοιεν; ἀλλὰ καὶ ἐκεῖνος ἂν θεὸς
βοηθεῖν ἐμπέσοι τῶν σωμάτων· ὁ μὲν ἀρ-
ρωστήσας, ἀφανίζεται· ὁ δὲ περιιδὼν, καταχρί-
νεται, τί δὲ παρὰ τῶν ἰουδ.· οὐχ ἐπαινῶ μᾶλλον τῶν
τοῦ θεοῦ χειμῶν τοὺς περιφέρουν τοὺς ταῖς ἱερεῖ-
χρῶν τι ἀπείχει περὶ ἣν ἑσπέρ, τῶν αὐτῶν παθ-
ὢν καὶ τὸ σώματος; ὥσπερ οὖν ἔφην, ἀλλ' ἧς
ἕνεκα τῆς παρὰ τοῦ θεοῦ· ἵνα κἂν σμικρὸν τῆς ἀρετῆς
ἀπομοιρᾶν αὐτῷ ἀπονέμουσι· καὶ ἂν ἁπαύ-
σων τῶν ὅτε δοῦλος καὶ τὸ ὑποζύγιον, ἢ τοῦ
σαρκὸς φθάσαντα ἐτήρησε, ἐπεὶ γενόμενον τοῖς
νηπίοις ἔτι καὶ ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου
δεδουλωμένοις· τοῖς σαρκικοῖς καὶ μηδὲν
ὑπὲρ τὸ σῶμα καὶ τὸ γράμμα τι νοῆσαι δυνα-
μένοις. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ
χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ τὸν
μονογενῆ· γενόμενον ἐκ γυναικὸς ἀγνοῦ·
γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον
ἐξαγοράσῃ· ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

B B · m

ὅσοι δὲ ἐλάβομεν αὐτόν, ἔδωκεν ἡμῖν ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς αὐτόν· ὥστε οὐκέτι ἐσμὲν δοῦλοι, ἀλλ' υἱοί· οὐκέτι ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν· οὐκέτι μισθωτικῶς τῷ χριστῷ δουλεύοντες, ἐμφόβως· ἀλλὰ πάντα τὸν τῆς ζωῆς χρόνον αὐτῷ ἀνατιθέναι ὀφείλοντες· καὶ ἀφ' οὗ τὸν δοῦλον τὸν θυμὸν λέγω καὶ τὴν ἐπιθυμίαν, ἀπὸ τῆς ἁμαρτίας καταπαύοντες· καὶ τῷ θεῷ ἀλλάξειν ἐπιτρέποντες· τὴν μὲν ἐπιθυμίαν ἅπασαν πρὸς θεὸν ἀνατείνοντες· τὸν δὲ θυμόν, κατὰ τῶν τοῦ θεοῦ διωκόντων καθοπλίζοντες· καὶ τὸ ὑποζύγιον ἤτοι τὸ σῶμα, ὁμοίως τῆς μὲν δουλείας τῆς ἁμαρτίας ἀναπαύοντες· ταῖς δὲ θείαις ἐντολαῖς ἐξυπηρετεῖσθαι προτρέποντες· ταῦτα ὁ πνευματικὸς ἡμῖν ἐντέλλεται τοῦ χριστοῦ νόμος· καὶ οἱ τοῦτον φυλάσσοντες ὑπέρτεροι τοῦ μωσαϊκοῦ νόμου γεγόνασιν· ἐλθόντος

ἀντὶ τοῦ τελείου, τὸ ἐκ μέρους κατήργηται.
καὶ τοῦ καλύμματος τοῦ νόμου, ἤτοι τοῦ
καταπετάσματος διὰ τῆς τοῦ σταυροῦ δι-
αρραγέντος τοῦ στερεώσεως καὶ τοῦ πνεύματος πυρίναις
γλώσσαις ἐκλάμψαντος, τὸ γράμμα
κατήργηται· τὰ σωματικὰ πέπαυται.
καὶ ὁ τῆς δουλείας νόμος πεπλήρωται· καὶ
νόμος ἐλευθερίας ἡμῖν δεδώρηται· καὶ
ἑορτάζομεν τὴν τελείαν τῆς ἀμίνης
θεοῦ κατάπαυσιν· φημὶ δὴ τὴν τῆς
ἀναστάσεως ἡμέραν· ἐν ᾗ ἡμᾶς ὁ Χριστὸς ὁ τῆς
ζωῆς ἀρχηγὸς καὶ σωτὴρ εἰς τὴν ἐπηγγελμένην
τοῖς πνευματικῶς τῷ θεῷ λατρεύουσι κλη-
ρουχίαν εἰσήγαγεν· εἰς ἣν αὐτὸς πρόδρομος
ἡμῶν εἰσῆλθεν ἀναστὰς ἐκ νεκρῶν· καὶ
ἀνοίξας αὐτῷ τῶν οὐρανίων πυλῶν, ἐν
δεξιᾷ πατρὸς κεκάθικε σωματικῶς· ἔνθα
καὶ οἱ τὸν πνευματικὸν τηροῦντες νόμον, εἰσε-
λεύσονται. ἡμεῖς τοίνυν τοῖς τῷ πνεύματι
στοιχοῦσι καὶ οὐ τῷ γράμματι, πᾶσαν ἡμῶν

τῶν σαρκικῶν ἐστὶν ἀπόθεσις. καὶ ἡ πνευματικὴ
λατρεία καὶ πρὸς θεὸν συνάφεια· περιτομὴ
μὲν γὰρ ἐστὶν, ἡ τῆς σωματικῆς ἡδονῆς καὶ
τῶν περὶ ταῦτα καὶ οὐκ ἀναγκαίων ἀπόθεσις.
ἀκροβυστία δὲ οὐδὲν ἕτερόν ἐστιν, ἢ μὲν δέρ-
μα ἡδονικοῦ μορίου περίττωμα.
πᾶσα δὲ ἡδονὴ, μὴ ἐκ θεοῦ καὶ ἐν θεῷ
γινομένη, περίττωμα ἡδονῆς ἐστὶν·
ἧς τύπος ἡ ἀκροβυστία. σάββατον
δὲ, ἡ ἐκ τῆς ἁμαρτίας κατάπαυσις.
ὥστε τὰ ἀμφότερα, ἐν τύπῳ τυγχάνουσι· καὶ
οὕτως ἀμφότερα ἅμα ὑπὸ τῶν πνευματικῶς
τελουμένων, οὐδὲ τὴν τυχοῦσαν παρα-
νομίαν ὑβρίζονται. ἐπειδὴ δὲ ἱστέον ὅτι ἑπτὰ
ἀριθμὸς, πάντα τὸν παρόντα χρόνον
δηλοῖ· ὥς φησιν ὁ σοφώτατος Σολομῶν·
δὸς μερίδα τοῖς ἑπτὰ, καί γε τοῖς
ὀκτώ. καὶ ὁ θεηγόρος Δαβὶδ περὶ τῆς ὀγ-
δόης ψάλλων, περὶ τῆς μελλούσης
λέγει τὴν ἐκ νεκρῶν ἀνάστασιν κατα-

παύσεως ἔβαλλε· τὴν ἑβδόμην ὡς ὢν
ἡμέραν, ἀργίαν μὲν ἄγειν ἐκ τῶν σωματικῶν·
τοῖς δὲ πνευματικοῖς ἐνασχολεῖσθαι· περὶ τὰς
-συνόδους, καὶ στιχῳδίας πάντα τὸν χρό-
-νον τῷ ἀληθινῷ Ἰσραὴλ καὶ νῦν ὁρῶν ταῦτα
ἔχειν τὸ ὑπερφυῆ ἐν τῷ θεῷ ἑαυτοῦ προσάγειν·
καὶ ὑποβάθμων τῶν σωματικῶν γίνεσθαι:—

Κακίζουσιν οἱ σαρκικοὶ περὶ παρθενίας:-
τὴν παρθενίαν· καὶ εἰς ἁμαρτίαν προσανα-
-λοῦνται οἱ φιλήδονοι· τὸ ἐπικατάρατος
πᾶς ὃς οὐκ ἐγείρει σπέρμα ἐν τῷ Ἰσραήλ·
ἡμεῖς δὲ φαμὲν τῷ ἐκ παρθένου σαρκω-
-θέντι θεῷ λόγῳ θαρρήσαντες, ὡς καὶ
παρθενία ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐφυτεύθη
τῇ φύσει τῶν ἀνθρώπων· ἐκ παρθένου γῆς
ὁ ἄνθρωπος πεπλαστούργηται· ἐκ μόνου Ἀδὰμ
ἡ Εὔα ἔκτισται· ἐν παραδείσῳ παρθενία
ἐπολιτεύετο· φησὶ γοῦν ἡ θεία γραφή· ὅτι
γυμνοὶ ἦσαν ὅ τε Ἀδὰμ καὶ ἡ Εὔα οὐκ ἠσχύνον-
-το· ἡνίκα δὲ παρέβησαν, ἔγνωσαν ὅτι

γυμνοὶ ἦσαν· καὶ αἰσχυνθέντες ἔρραψαν
ἑαυτοῖς περιζώματα· καὶ μετὰ τὴν
παράβασιν ὅπερ ἤκουσεν ὅτι γῆ εἶ καὶ εἰς
γῆν ἀπελεύσῃ· ὅπερ διὰ τῆς παραβάσεως
θάνατος εἰς τὸν κόσμον εἰσῆλθε· τότε ἔγνω
ἀδὰμ εὔαν τὴν γυναῖκα αὐτοῦ· καὶ συλ-
λαβοῦσα καὶ ἐγέννησεν· ὥστε διὰ τὸ μὴ ἐκ-
τριβῆναι καὶ ἀναλωθῆναι τὸ γένος ὑπὸ
τοῦ θανάτου, ὁ γάμος ἐπινενόηται· ὥστε
ἂν διὰ τῆς παιδοποιΐας, τὸ γένος τῶν
ἀνθρώπων διασώζηται· ἀλλ' ἐρεῖ τις τυχόν· τί
οὖν τὸ ἄρρεν καὶ θῆλυ μου λέγεται· καὶ τὸ αὐξά-
νεσθε καὶ πληθύνεσθε, πρὸς ὃ λέγομεν·
ὅτι τὸ μὲν αὐξάνεσθε καὶ πληθύνεσθε· οὐ
πάντως τοῦ διὰ γαμικῆς συναφείας
πληθυσμοῦ δηλοῖ· ἠδύνατο γὰρ ὁ θεὸς καὶ ἑτέρῳ
τρόπῳ τὸ γένος πληθῦναι· εἴπερ τὴν ἐντολὴν
μέχρι τέλους ἐτήρησαν ἀπαραχάρακτον· τότε
ἀλλ' εἰδὼς ὁ θεὸς τῇ προγνώσει αὐτοῦ ὅταν
εἰδὼς περὶ γενέσεως αὐτῶν· ὡς μέλλουσι

ἢ παραινέσει γενέσθαι καὶ θαῦμα τοῦ καταχρί-
νεσθαι, πολλαπλῶν ἐποίησε τὸ ἄρρεν καὶ
θῆλυ· καὶ αὐξάνεσθε καὶ πληθύνεσθε προσέ-
ταξεν· ὅθεν τοίνυν κατελθὼν μὲν καὶ ἰδὼν
τὰ τῆς παρθενίας αὐχήματα· ταυτὸν δὲ
καὶ ἁγνείας εἰπεῖν· νῶε εἰς τὴν κιβωτὸν
εἰσελθεῖν προστασσόμενον· καὶ κόσμου σπέρ-
μα ταῦτα φυλάττειν ἐγχειριζόμενος, οὕτω
προστάσσεται· εἴσελθε σὺ φησὶ, καὶ οἱ υἱοί σου·
καὶ ἡ γυνή σου· καὶ αἱ γυναῖκες τῶν υἱῶν σου·
διεῖλεν αὐτοὺς ἐκ τῶν γυναικῶν· ὡς ἂν
μετὰ τῆς ἁγνείας, τὸ πέλαγος καὶ τὸ παγ-
κόσμιον ἐκεῖνον ἀνάξιον διαδράσαιεν·
μετὰ μέν τοι τὴν τοῦ κατακλυσμοῦ κα-
τάπαυσιν, ἔξελθε σὺ φησὶ, καὶ ἡ γυνή σου
καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου·
ἰδοὺ πάλιν διὰ τὸν πληθυσμὸν ὁ γάμος
συγκεχώρηται· εἶτα ἠλίας ὁ πυρίνοις
ἁρματηλάτης καὶ οὐρανοφοίτης· οὐκ ἀ-
γαμίαν ἠσπάζετο· καὶ τῶν ὑπὲρ ἄμοιρος

ἐμαρτυρήθη μετεωρίσματι· τίς οὐρανοὺς
ἔκλεισε, τίς νεκροὺς ἤγειρε. τίς ἰορδάνην
ἔτεμε, οὐχ ὁ παρθένος ἠλίας; ἐλισσαῖος
δὲ ὁ τούτου φοιτητὴς, οὐ τὴν ἴσην ἀρετὴν
ἐπιδειξάμενος, ἐν διπλασίω τὴν χάριν τοῦ
πνεύματος αὐτῆς ἐκληρονόμησε; τί δὲ οἱ τρεῖς
παῖδες· οὐ παρθενίαν ἀσκήσαντες, πυρὸς
κρείττους γεγόνασι, διὰ τῆς παρθενίας,
τῶν σωμάτων ἀμαλώτων τῷ πυρὶ γεγο-
νότων; οὐ δανιὴλ οὗ τῷ σώματι παρθενίαν
στομωθέντι θηρῶν ὀδόντες ἐνεπάγησαν οὐχ
ἴσχυσαν; οὐ μέλλων τοῖς ἰσραηλίταις ὁ θεὸς
ὀπτάνεσθαι, ἁγνίζειν τὸ σῶμα προσέ-
ταττεν; οὐχὶ οἱ ἱερεῖς ἑαυτοὺς ἁγνίζοντες,
οὕτω τῶν ἀδύτων ἐπέβαινον, καὶ τὰς θυσίας
προσῆγον; οὐχ ὁ νόμος μεγάλην εὐχὴν τὴν ἁ-
γνείαν ἀνηγόρευσε; χρὴ τοιγαροῦν, ἐπὶ τὸ
πνευματικώτερον λαμβάνειν τὸ νομικὸν πρόσ-
ταγμα. ἔστι γὰρ σπέρμα πνευματικὸν δι᾽ ἀγάπης
καὶ φόβου θεοῦ συλλαμβανόμενον ἐν τῇ ψυχῇ

γαστρί. ὡς δὴ μόνος ἦ, καὶ ἐπὶ χριστὸς ἦ τῆς αὐτοῦ σωτηρίας.
οὕτω δὲ ἐκληπτέον καὶ τό, μακάριος ὃς
ἔχει σπέρμα ἐν σιὼν, καὶ οἰκείους ἐν ἱερουσαλήμ.
εἰ γὰρ καὶ πόρνος ἦ· καὶ μέθυσος· καὶ
εἰδωλολάτρης· μακάριός ἐστιν, εἰ μόνον
ἔχει σπέρμα ἐν σιὼν καὶ οἰκείους ἐν ἱερουσαλήμ,
οὐδεὶς εὖ φρονῶν τοῦτο ἐρεῖ. παρθενία
τὸ τῶν ἀγγέλων πολίτευμα· τὸ πάσης
ἀσωμάτου φύσεως ἰδίωμα· ταῦτα
λέγομεν, οὐ τὸν γάμον κακίζοντες. μὴ
γένοιτο· οἴδαμεν γὰρ τὸν χριστὸν ἐν τῇ παρουσίᾳ
αὐτοῦ τὸν γάμον εὐλογήσαντα. καὶ τὸν
εἰπόντα· τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀ-
μίαντος. ἀλλὰ καλοῦ κρείττονα τὴν παρ-
θενίαν γινώσκοντες. ἐν γὰρ ταῖς ἀρεταῖς
εἰσὶν ἐπιτάσεις καὶ ὑφέσεις· ὁμοίως καὶ
ἐν ταῖς κακίαις. γινώσκομεν ὅτι γάμου ἔκ-
γονοι πάντες ἱερώτατοι· μετ' αὐτοὺς τοὺς γένους
ἀρχηγέτας· ἐκεῖνοι γὰρ παρθενίας εἰσὶ καὶ
γάμου πλαστουργήματα. ὅσπερ τοιγαροῦν ἀγγέλου

ἀμοῦ ὑπέρτερον· τοσοῦτω παρθενίαν
γάμου τιμιωτέραν· τί δὲ λέγω ἀγγέλων;
αὐτὸς ὁ Χριστὸς τῆς παρθενίας τὸ κλέος.
οὐ μόνον ἐκ πατρὸς ἀνάρχως καὶ ἀσωμάτως διὰ
γεγεννημένος· ἀλλ' ὅτι καὶ ὕστερον καθ' ἡμᾶς
γενόμενος ὑπὲρ ἡμᾶς ἐκ παρθένου συνα-
φείας, ἀμέσως σεσαρκωμένος, καὶ αὐτὸς παρ-
θενίαν τὴν ἀληθῆ καὶ παντελῆ δεικνὺς
ἐν ἑαυτῷ· ὁ θεὸς καὶ ταύτην ἡμῖν, οὐκ ἐν νό-
μῳ θέμενος· οὐ γὰρ πάντες χωροῦσι τὸν
λόγον, ὡς αὐτὸς ἔφησεν· ἔργῳ δὲ ἡμᾶς
ἐξεπαίδευσε· καὶ πρὸς ταύτην ἡμᾶς ἐνε-
δυνάμωσε· τίνι γὰρ οὐκ ἐστὶ σαφὲς, ὅτι
παρθενία ἐν ἀνθρώποις νῦν πολιτεύεται, καθ' ἣν
μὲν ἡ τεκνογονία· ἣν ὁ γάμος συνέστησε.
καὶ καλὸς ὁ γάμος διὰ τὰς πορνείας· ταύ-
τας περικόπτων· καὶ τὸ λυσσῶδες τῆς ἐπι-
θυμίας διὰ τῆς ἐννόμου μίξεως, οὐκ
ἐῶν πρὸς ἀνόμους ἐκμαίνεσθαι πράξεις·
καλὸς ὁ γάμος οἷς οὐ πάρεστιν ἐγκράτεια.

κρείττων δὲ ἡ παρθενία· ψυχῶν τεκνο-
-γονίαν αὔξουσα τῷ θεῷ, καὶ τὸν ὥριμον
τὴν προσευχὴν προσάγουσα. τίμιος
ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος. πόρνους
δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός: —

\+ περὶ περιτομῆς. — ρα

Ἡ περιτομὴ πρὸ νόμου ἐδόθη τῷ ἀβραὰμ
μετὰ τὰς εὐλογίας· μετὰ τὴν ἐπαγ-
-γελίαν· σημεῖον ἀποδιαστέλλων αὐτόν,
καὶ τοὺς ἐξ αὐτοῦ· καὶ τοὺς αὐτοῦ οἰκογενεῖς,
ἐκ τῶν ἐθνῶν μεθ' ὧν συνανεστρέφετο.
καὶ δῆλον· ὅτε γὰρ ἐν τῇ ἐρήμῳ τεσσαράκοντα
ἔτη ὁ ἰσλ μόνος καθ' ἑαυτὸν διέτριψε.
οὐ συναναμεμιγμένος ἑτέρῳ ἔθνει, ὅσοι
ἐν τῇ ἐρήμῳ ἐγεννήθησαν οὐ περιετμήθη-
σαν· ἡνίκα δὲ ἰησοῦς διεπέρασεν αὐτοὺς
τὸν ἰορδάνην, περιετμήθησαν. καὶ γέγονε
δεύτερος νόμος περιτομῆς. ἐπὶ ἀβραὰμ
γὰρ ἐδόθη νόμος περιτομῆς. καὶ ἐπαύ-
-σατο ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη·

καὶ πάλιν ἐκ δευτέρου ἔδωκεν ὁ θεὸς τῷ ἰησοῦ
νόμου περιτομῆς μετὰ τὸ διαβῆναι τὸν
ἰορδάνην· καθὼς ἐν τῇ βίβλῳ ἰησοῦ
τοῦ ναυῆ γέγραπται· ὑπὸ δὲ τοῦτον τὸν καιρὸν,
εἶπε κύριος τῷ ἰησοῦ· ποίησον σεαυτῷ,
μαχαίρας πετρίνας, ἐκ πέτρας ἀκρο-
τόμου· καὶ καθίσας περίτεμε τοὺς
υἱοὺς ἰσραὴλ ἐκ δευτέρου· καὶ μετ᾽ ὀλίγα· ἐπὶ
τεσσαράκοντα καὶ δύο ἔτη ἀνέστραπται
ἰσραὴλ ἐν τῇ ἐρήμῳ τῇ μαδβαρίτιδι· καὶ
διὰ τοῦτο ἀπερίτμητοι αὐτῶν ἦσαν οἱ
πλεῖστοι τῶν μαχίμων τῶν ἐξεληλυ-
θότων ἐκ γῆς αἰγύπτου· οἱ ἀπειθήσαντες τῶν προσ-
ταγῶν ἐντολῶν τοῦ θεοῦ· οἷς καὶ διώρισε, μὴ
ἰδεῖν αὐτοὺς τὴν γῆν τὴν ἀγαθήν, ἣν ὤμοσε
κύριος τοῖς πατράσιν ἡμῶν δοῦναι αὐτοῖς
γῆν ῥέουσαν μέλι καὶ γάλα· ἀντὶ δὲ τούτων
ἀντικατέστησε τοὺς υἱοὺς αὐτῶν· οὓς
ἰησοῦς περιέτεμε διὰ τὸ γεγενῆσθαι αὐτοὺς
ἀπεριτμήτους κατὰ τὴν ὁδόν· ὡς

τὲ σημεῖον ἦν ἡ περιτομὴ ἀφορίζουσα τοὺς
ἰουδαίους ἐκ τῶν ἐθνῶν· οἷς σῶμα συνέστρεφε τὸ
τύπος δὲ ἦν τοῦ βαπτίσματος. καὶ
-θάπερ γὰρ ἡ περιτομὴ· οὐ χρειώδους μέρους
ἀποτέμνεται τοῦ σώματος· ἀλλὰ περιττοῦ
-των μᾶλλον ἀχρήστου, οὕτω διὰ τοῦ ἁγίου βα
-πτίσματος, τὴν ἁμαρτίαν περιτε
-μνόμεθα. ἡ δὲ ἁμαρτία, δῆλον ὡς
περίττωμα, ἐπιθυμίας ἐστὶ καὶ οὐ χρει
-ώδους ἐπιθυμίας· ἀδύνατον γὰρ εἶναι μη
-δόλως ἐπιθυμεῖν. ἢ τέλεον ἄπευστον ἡδονῆς
ζῆν. ἀλλὰ τὸ ἄχρηστον τῆς ἡδονῆς. ἤτοι
ἡ ἄχρηστος ἐπιθυμία τε καὶ ἡδονή, τουτέστιν
ἡ ἁμαρτία. ἣν περιτέμνει τὸ ἅγιον βά
-πτισμα παρέχον ἡμῖν σημεῖον τοῦ τιμίου
σταυροῦ ἐπὶ τοῦ μετώπου. οὐκ ἐξ ἐθνῶν ἀ
-φορίζον ἡμᾶς. πάντα γὰρ τὰ ἔθνη τοῦ
βαπτίσματος ἔτυχον, καὶ τῷ σημείῳ τοῦ
σταυροῦ ἐσφραγίσθησαν. ἀλλ' ἢ ἑκάστῳ ἔθνει,
τὸν πιστὸν ἀποδιαστέλλον τοῦ ἀπίστου.

C.C.η.

τῆς τοίνυν ἀληθείας ἐμφανισθείσης,
ἀργόνητος ὁ τύπος καὶ ἡ σκιά· ὥστε
περιττὸν νῦν τὸ περιτέμνεσθαι· καὶ
ἐναντίον τοῦ ἁγίου βαπτίσματος· ὁ δὲ
περιτεμνόμενος, χρεώστει ὅλον τὸν νόμον
τηρῆσαι· ὁ δὲ Χριστὸς ἵνα πληρώσῃ τὸν νόμον,
περιετμήθη· καὶ παντὸς δὲ τοῦ νόμου καὶ
τὸ σάββατον ἐτήρησεν, ἵνα πληρώσῃ
καὶ στήσῃ τὸν νόμον· ἀφ' οὗ δὲ ἐβαπτίσθη
καὶ ἅγιον πνεῦμα τοῖς ἀνθρώποις ἐνεφανίσθη,
ἐν ᾧ δεῖ περιστερᾶς καταμανθάνομεν ἐπαύσατο
ἐκ τότε ἡ πνευματικὴ λατρεία καὶ πολιτεία
καὶ ἡ τῶν οὐρανῶν βασιλεία, κεκήρυκται:—

## + περὶ τοῦ ἀντιχρίστου:—

ξβ Χρήσιμον ὡς ἔχειν ὅτι δεῖ τὸν ἀντίχριστον ἐλθεῖν.
πάντως μὲν οὖν ὁ μὴ ὁμολογῶν τὸν υἱὸν τοῦ
θεοῦ καὶ θεὸν ἐν σαρκὶ ἐληλυθέναι καὶ θεὸν εἶναι τέ-
λειον καὶ γενέσθαι ἄνθρωπον τέλειον μετὰ τὸ
εἶναι θεόν, ἀντίχριστός ἐστιν· ὅμως ἰδίως καὶ προ-
καὶ ἐξαιρέτως ἀντίχριστος λέγεται, ὁ

ἐπὶ τῇ συντελείᾳ τοῦ αἰῶνος ἀρχόμενος.
χρὴ τοιγαροῦν πρότερον κηρυχθῆναι τὸ εὐ-
αγγέλιον ἐν πᾶσι τοῖς ἔθνεσι καθὼς
ἔφη ὁ κύριος· καὶ τότε ἐλεύσεται εἰς ἔλεγχον τῶν
ἀπιθέων Ἰουδαίων. ἔφη γὰρ αὐτοῖς ὁ κύριος·
ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου καὶ
οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ
ἰδίῳ ὀνόματι, κἀκεῖνον λήψεσθε. καὶ
ὁ ἀπόστολος· ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀλη-
θείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς,
καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν
πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύ-
δει· ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαν-
τες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ
ἀδικίᾳ. οἱ οὖν Ἰουδαῖοι υἱὸν θεοῦ ὄντα τὸν κύριον
Ἰησοῦν Χριστὸν καὶ θεὸν οὐκ ἐδέξαντο· τὸν δὲ πλάνον θεὸν
ἑαυτὸν λέγοντα δέξονται. ὅτι γὰρ θεὸν ἑαυτὸν
ἀποκαλέσει, ὁ ἄγγελος τῷ Δανιὴλ διδάσκων
οὕτως φησίν· ἐπὶ θεοῖς τῶν πατέρων αὐτοῦ οὐ
συνήσει. καὶ ὁ ἀπόστολος· μή τις ὑμᾶς

ἐξαπατήσει κατὰ μηδένα τρόπον· ὅτι
ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ
ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἀνομίας ὁ
υἱὸς τῆς ἀπωλείας ὁ ἀντικείμενος
καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον
θεὸν ἢ σέβασμα· ὥστε αὐτὸν εἰς τὸν ναὸν
τοῦ θεοῦ ὡς θεὸν καθίσαι· ἀποδεικνύοντα
ἑαυτὸν ὅτι ἔστι θεός· εἰς τὸν ναὸν τοῦ θεοῦ· οὐ
τὸν ἡμέτερον· ἀλλὰ τὸν παλαιὸν τὸν
ἰουδαϊκόν· οὐ γὰρ ἡμῖν ἀλλὰ τοῖς
ἰουδαίοις ἐλεύσεται· οὐχ ὑπὲρ Χριστοῦ· ἀλλὰ
κατὰ Χριστοῦ· καὶ τῶν Χριστοῦ· διὸ καὶ ἀντίχριστος
λέγεται· δεῖ τοίνυν κηρυχθῆναι τὸ εὐαγ-
γέλιον ἐν πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἀπο-
καλυφθήσεται ὁ ἄνομος· οὗ ἐστιν ἡ παρουσία
κατ' ἐνέργειαν τοῦ σατανᾶ ἐν πάσῃ δυ-
νάμει καὶ σημείοις καὶ τέρασι ψεύδους· καὶ
ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς
ἀπολλυμένοις· ὃν ὁ Χριστὸς ἀνελεῖ τῷ πνεύματι
τοῦ στόματος αὐτοῦ· καὶ καταργήσει τῇ

παρουσίας τῆς ἐπιφανείας αὐτοῦ· οὐχ
αὐτὸς τοίνυν ὁ διάβολος γίνεται ἄνθρωπος
κατὰ τὴν τοῦ κυρίου ἐνανθρώπησιν. μὴ γένοιτο·
ἀλλ' ἄνθρωπος ἐκ πορνείας τίκτεται καὶ ὑποδέ-
χεται πᾶσαν τὴν ἐνέργειαν τοῦ σατανᾶ.
προειδὼς γὰρ ὁ θεὸς τὸ ἄτοπον τῆς μελ-
λούσης αὐτοῦ προαιρέσεως, παραχωρεῖ
ἐνοικῆσαι ἐν αὐτῷ τὸν διάβολον· τίκτεται
τοίνυν ἐκ πορνείας ὡς ἔφημεν· καὶ ἀνατρέ-
φεται λεληθότως· καὶ ἀφνίδιον ἐπανίσταται
καὶ ἀνταίρει καὶ βασιλεύει· καὶ ἐν τοῖς προοιμίοις
μὲν τῆς βασιλείας αὐτοῦ, μᾶλλον δὲ τυραν-
νίδος, ὑποκρίνεται δικαιοσύνην· ἡνίκα δὲ
ἐπικρατὴς γένηται, διώκει τὴν ἐκκλησίαν
τοῦ θεοῦ· καὶ ἐμφαίνει πᾶσαν τὴν πονηρίαν
αὐτοῦ· ἐλεύσεται δὲ ἐν σημείοις καὶ τέρασι
ψευδέσι πεπλασμένοις καὶ οὐκ ἀληθέσι·
καὶ τοὺς σαθρὰν καὶ ἀστήρικτον τὴν βάσιν
τῆς διανοίας ἔχοντας, ἀπατήσει καὶ ἀπο-
στήσει ἀπὸ θεοῦ· ὥστε σκανδαλισθῆναι

CC. mj

ἀφθῶν αὐτοῦ καὶ τοὺς ἐκλεκτούς· ἀποσταλή-
σεται δὲ ἐνὼχ καὶ ἠλίας καὶ ἐπιστρέψουσι
καρδίας πατέρων ἐπὶ τέκνα· τουτέστι τὴν
συναγωγὴν, ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τὸ
τῶν ἀποστόλων κήρυγμα· καὶ ὑπ' αὐτοῦ ἀναι-
ρεθήσονται· καὶ ἐλεύσεται ὁ κύριος ἐξ οὐρανοῦ.
ὃν τρόπον οἱ ἅγιοι ἀπόστολοι ἐθεάσαντο
αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν· θεὸς τέ-
λειος καὶ ἄνθρωπος τέλειος· μετὰ δόξης καὶ
δυνάμεως· καὶ ἀνελεῖ τὸν ἄνθρωπον τῆς ἀνομίας·
τὸν υἱὸν τῆς ἀπωλείας, τῷ πνεύματι τοῦ
στόματος αὐτοῦ· μηδεὶς τοίνυν ἀπὸ
γῆς ἐκδεχέσθω τὸν κύριον, ἀλλ' ἐξ οὐρανοῦ·
ὡς αὐτὸς ἡμᾶς ἠσφαλίσατο:—

## + περὶ ἀναστάσεως :· —

ργ Πιστεύομεν δὲ καὶ εἰς ἀνάστασιν νεκρῶν·
ἔσται γὰρ ἔσται ὄντως νεκρῶν ἀνάστασις·
ἀνάστασιν δὲ λέγοντες, σωμάτων
φαμὲν ἀνάστασιν· ἀνάστασις γάρ ἐστι,
δευτέρα τοῦ πεπτωκότος στάσις·

ἀλλ' αἱ ψυχαὶ ἀθάνατοι εἰσιν· πῶς ἀνα-
στήσονται; εἰ γὰρ θάνατον ὁρίζονται χω-
ρισμὸν ψυχῆς ἀπὸ σώματος, ἀνάστασις
ἐστὶ πάντως συνάφεια πάλιν ψυχῆς
καὶ σώματος· καὶ δευτέρα αὖ τοῦ διαλυθέν-
τος καὶ πεσόντος ζώου στάσις· αὐτὸ
οὖν τὸ σῶμα τὸ φθειρόμενον καὶ διαλυό-
μενον, αὐτὸ ἀναστήσεται ἄφθαρτον.
οὐκ ἀδυνατεῖ γὰρ ὁ ἐν ἀρχῇ ἐκ τοῦ χοὸς
τῆς γῆς αὐτὸ συστησάμενος, πάλιν ἀνα-
λυθὲν καὶ ἀποστραφὲν πρὸς τὴν γῆν ἐξ ἧς
ἐλήφθη, κατὰ τὴν τοῦ δημιουργοῦ
ἀπόφασιν, πάλιν ἀναστῆσαι αὐτό. εἰ γὰρ
μὴ ἔστιν ἀνάστασις, φάγωμεν καὶ πίωμεν.
τὸν ἡδονικὸν καὶ ἀπολαυστικὸν βίον με-
τέλθωμεν. εἰ οὐκ ἔστιν ἀνάστασις, ἐν τίνι
τῶν ἀλόγων διαφέρομεν. εἰ οὐκ ἔστιν ἀνά-
στασις, μακαρίσωμεν τὰ θηρία τοῦ
ἀγροῦ· τὸν ἄλυπον ἔχοντα βίον. εἰ οὐκ
ἔστιν ἀνάστασις, οὐδὲ θεός ἐστιν· οὐδὲ πρόνοια·

αὐτομάτως δὲ πάντα ἄγονταί τε
καὶ φέρονται· ἰδοὺ γὰρ ὁρῶμεν πλείστους
δικαίους μὲν, πενομένους καὶ ἀδικουμένους
καὶ μηδεμιᾶς ἐν τῷ παρόντι βίῳ τυγ-
χάνοντας ἀντιλήψεως· ἁμαρτωλοὺς δὲ
καὶ ἀδίκους, ἐν πλούτῳ καὶ πάσῃ τρυφῇ,
εὐθηνουμένους· καὶ πῶς ἂν τοῦτο δικαιο-
κρισίας ἢ σοφῆς προνοίας ἔργον, εὐ-
φρονῶν ὑπολάβοι· ἔσται οὖν ἔσται ἀνάστασις·
δίκαιος γὰρ ὁ θεὸς· καὶ τοῖς ὑπομένουσιν
αὐτὸν, μισθαποδότης γίνεται· εἰ μὲν
οὖν ἡ ψυχὴ μόνη τοῖς τῆς ἀρετῆς ἀγῶσιν
ἐνήθλησε, μόνη καὶ στεφανωθήσεται· καὶ
εἰ μόνη ταῖς ἡδοναῖς ἐνεκυλίσθη, μόνη δι-
καίως ἂν ἐκολάζετο· ἀλλ᾽ ἐπεὶ μήτε τὴν
ὕπαρξιν κεχωρισμένην ἔσχεν· μήτε τὴν
ἀρετὴν μήτε τὴν κακίαν ἡ ψυχὴ μετῆλθε
δίχα τοῦ σώματος, δικαίως ἄμφω ἅμα
καὶ τῶν ἀμοιβῶν τεύξονται· μαρτυρεῖ
δὲ καὶ ἡ θεία γραφὴ, ὅτι ἔσται σωμάτων

ἀναστάσεως. φησὶ γοῦν ὁ θεὸς πρὸς νῶε
μετὰ τὸν κατακλυσμόν· ὡς λάχανα
χόρτου δέδωκα ὑμῖν τὰ πάντα·
πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε·
καὶ γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν
ἐκζητήσω ἐκ χειρὸς πάντων τῶν θηρίων
ἐκζητήσω αὐτό· καὶ ἐκ χειρὸς παντὸς ἀνθρώπου
ἀδελφοῦ αὐτοῦ, ἐκζητήσω τὴν ψυχὴν
αὐτοῦ· ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ
αἵματος αὐτοῦ ἐκχυθήσεται· ὅτι ἐν εἰκόνι
θεοῦ ἐποίησα τὸν ἄνθρωπον. πῶς ἐκζητήσει
τὸ αἷμα τοῦ ἀνθρώπου ἐκ χειρὸς πάντων
τῶν θηρίων· ἢ ὅτι ἀναστήσει τὰ σώματα
τῶν ἀνθρώπων, τῶν ἀποθνησκόντων· οὐ γὰρ
ἀντὶ τοῦ ἀνθρώπου ἀποθανεῖται τὰ θηρία·
καὶ πάλιν τῷ μωσεῖ· ἐγώ εἰμι ὁ θεὸς ἀβραὰμ
καὶ ὁ θεὸς ἰσαὰκ, καὶ ὁ θεὸς ἰακώβ. οὐκ ἔστιν
ὁ θεὸς νεκρῶν θεός· τῶν ἀποθανόντων καὶ
οὐκέτι ἐσομένων, ἀλλὰ ζώντων· ὧν αἱ
ψυχαὶ ἐν χειρὶ αὐτοῦ ζῶσι· τὰ δὲ σώματα

πάλιν δὲ διὰ τῆς ἀναστάσεως ζωὴ ἔσται. καὶ ὁ θεσπέσιος Δαβὶδ φησὶ πρὸς τὸν θεόν· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν· ἰδοὺ περὶ τῶν σωμάτων ὁ λόγος. εἶτα ἐπάγει· ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. καὶ ὁ Ἠσαΐας· ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις. δῆλον δὲ ὡς οὐχ αἱ ψυχαὶ ἐν τοῖς μνημείοις τίθενται ἀλλὰ τὰ σώματα. καὶ ὁ μακάριος δὲ Ἰεζεκιήλ· καὶ ἐγένετο φησὶν ἐν τῷ με προφητεῦσαι καὶ ἰδοὺ σεισμὸς μέγας. καὶ προσήγαγε τὰ ὀστᾶ ὀστέον πρὸς ὀστέον ἕκαστον πρὸς τὴν ἁρμονίαν αὐτοῦ. καὶ εἶδον· καὶ ἰδοὺ ἐπεγένετο αὐτοῖς νεῦρα. καὶ σάρκες ἀνεφύοντο. καὶ ἀνέβαινον ἐπ' αὐτά. καὶ περιετάθη ἐπ' αὐτοῖς δέρματα ἐπάνωθεν. εἶτα διδάσκει πῶς κελευσθέντα ἐπανῆλθε τὰ πνεύματα. καὶ ὁ θειότατος Δανιήλ· καὶ ἐν τῷ καιρῷ ἐκείνῳ,

ἀναστήσεται μιχαὴλ ὁ ἄρχων ὁ μέγας ὁ
ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου· καὶ ἔσται
καιρὸς θλίψεως· θλῖψις οἵα οὐ γέγονεν
ἀφ' οὗ γεγένηται ἔθνος ἐπὶ τῆς γῆς, ἕως
τοῦ καιροῦ ἐκείνου. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ,
σωθήσεται ὁ λαός σου πᾶς ὁ εὑρεθεὶς
γεγραμμένος ἐν τῇ βίβλῳ· καὶ πολλοὶ τῶν
καθευδόντων ἐν γῆς χώματι, ἐξεγερθήσονται·
οὗτοι εἰς ζωὴν αἰώνιον· καὶ οὗτοι εἰς ὀνειδισμὸν
καὶ αἰσχύνην αἰώνιον· καὶ οἱ συνιέντες ἐκλάμ-
ψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος·
καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν ὡς οἱ ἀ-
στέρες εἰς τοὺς αἰῶνας· καὶ ἔτι ἐκλάμψουσι·
πολλοὶ τῶν καθευδόντων ἐν γῆς, χώματι
λέγων ἐξεγερθήσονται, δῆλον ὡς ἀνάστασιν
ἐμφαίνει σωμάτων· οὐ γὰρ δήπου τὰς φη-
σὶ ψυχὰς ἐν γῆς χώματι, καθεύδειν.
ἀλλὰ μὴν καὶ ὁ χριστὸς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις
τὴν τῶν σωμάτων ἀριδήλως ἀνάστασιν τῇ
παραδέδωκεν· ἀκούσονται γάρ φησιν, οἱ ἐν τοῖς

μνημείοις τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ.
ἐξελεύσονται, οἱ τὰ ἀγαθὰ ποιήσαν-
τες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα
πράξαντες, εἰς ἀνάστασιν κρίσεως.
ἐν τοῖς μνημείοις δὲ τὰς ψυχάς, οὐδέ-
ποτε τῶν εὐφρονούντων ἄν τις ποιτῖς ἄν· οὐ
λόγῳ δὲ μόνον. ἀλλὰ καὶ ἔργῳ τὴν τῶν σωμάτων
ἀνάστασιν ὁ χριστὸς ἐφανέρωσε· πρῶτον μὲν γὰρ τε-
ταρταῖον καὶ ἤδη φθαρέντα καὶ ὀδωδότα ἐ-
γείρας τὸν λάζαρον· οὐ ψυχὴν ἐστερημένην
σώματος· ἀλλὰ καὶ σῶμα σὺν τῇ ψυχῇ
καὶ οὐχ ἕτερον ἀλλ᾽ αὐτὸ τὸ φθαρὲν σῶμα ἤ-
γειρε· πῶς γὰρ ἂν ἐγινώσκετο ἢ ἐπιστεύετο
ἡ τοῦ τεθνεῶτος ἀνάστασις· μὴ τῶν χαρα-
κτηριστικῶν τῆς ὑποστάσεως ἰδιωμάτων
ταύτην συνιστώντων· ἀλλὰ λάζαρον μέν,
πρὸς ἔνδειξιν τῆς οἰκείας θεότητος. καὶ
πίστωσιν τῆς αὐτοῦ τε καὶ ἡμῶν ἀναστάσεως
ἤγειρε· πάλιν ὑποστρέφειν μέλλοντα πρὸς
θάνατον· αὐτὸς δὲ ὁ χριστὸς ἀπαρχὴ τῆς

τελείας δὲ μὴ καὶ ἐπὶ θανάτῳ ὑπὸ τῆς τοῦ
ἀναστάσεως λέγομεν. διὸ δὴ καὶ ὁ θεῖος ἀπό-
στολος παῦλος ἔλεγεν, εἰ νεκροὶ οὐκ ἐγεί-
ρονται, οὐδὲ χριστὸς ἐγήγερται. ἄρα μα-
ταία ἡ πίστις ἡμῶν. ἄρα ἔτι ἐσμὲν ἐν
ταῖς ἁμαρτίαις ἡμῶν. καὶ ὅτι χριστὸς ἐγήγερται
ἀπαρχὴ τῶν κεκοιμημένων. καὶ πρωτό-
τοκος ἐκ νεκρῶν. καὶ πάλιν εἰ γὰρ πιστεύομεν
ὅτι ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτως καὶ ὁ θεὸς
τοὺς κοιμηθέντας διὰ τοῦ ἰησοῦ ἄξει σὺν αὐτῷ.
οὕτως ἔφη, ὡς ὁ χριστὸς ἀνέστη. ὅτι δὲ ἡ τοῦ
κυρίου ἀνάστασις σώματος ἀφθαρτισθέντος
καὶ ψυχῆς ἕνωσις ἦν. ταῦτα γὰρ τὰ διαι-
ρεθέντα, δῆλον. ἔφη γάρ. λύσατε τὸν να-
ὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομήσω
αὐτόν. μάρτυς δὲ ἀξιόπιστος τὸ ἱερὸν
εὐαγγέλιον, ὡς περὶ τοῦ ἰδίου ἔλεγε σώματος.
ψηλαφήσατέ με καὶ ἴδετε τοῖς οἰκείοις
μαθηταῖς ἔφη ὁ χριστός. πνεῦμα δοκοῦσιν ὁρᾶν.
ὅτι ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι. ὅτι

πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει καθὼς
ἐμὲ θεωρεῖτε ἔχοντα· καὶ τοῦτο εἰπὼν
ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευράν.
καὶ τὸν Θωμᾶν προτείνει πρὸς ψηλάφησιν.
ἆρα οὐχὶ ἔχομεν ταύτην τὴν τῶν σωμάτων
πιστώσασθαι ἀνάστασιν; πάλιν φησὶν ὁ
θεῖος ἀπόστολος· δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο
ἐνδύσασθαι ἀφθαρσίαν· καὶ τὸ θνητὸν τοῦτο
ἐνδύσασθαι ἀθανασίαν· καὶ πάλιν σπεί-
ρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπεί-
ρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπεί-
ρεται ἐν ἀτιμίᾳ· ἐγείρεται ἐν δόξῃ· σπείρεται
σῶμα ψυχικόν· ἤτοι παχὺ καὶ θνητόν·
ἐγείρεται σῶμα πνευματικόν· ἄτρεπτον· ἀπαθές·
λεπτόν· τοῦτο γὰρ σημαίνει τὸ πνευματικόν· οἷον
τὸ τοῦ Χριστοῦ σῶμα μετὰ τὴν ἀνάστασιν· συγ-
κεκλεισμένων τῶν θυρῶν διερχόμενον
ἀκοπίατον· τροφῆς· ὕπνου· καὶ πόσεως
ἀνενδεές· ἔσονται γάρ φησιν ὁ Χριστὸς ὡς οἱ ἄγ-
γελοι τοῦ θεοῦ· οὐ γάμος ἔτι· οὐ τεκνογονία·

φησὶ γοῦν ὁ θεῖος ἀπόστολος· ἡμῶν γὰρ τὸ
πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει· ἐξ οὗ καὶ
σωτῆρα ἀπεκδεχόμεθα κύριον Ἰησοῦν· ὃς καὶ μετασχη-
ματίσει τὸ σῶμα τῆς ταπεινώσεως
ἡμῶν· εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον
τῷ σώματι τῆς δόξης αὐτοῦ· οὐ τὴν ἑτέ-
ραν μορφὴν μεταποιήσειν λέγων, ἀ-
παγε· τὴν ἐκ φθορᾶς δὲ μᾶλλον εἰς ἀφθαρ-
σίαν ἐναλλαγήν· ἀλλ' ἐρεῖ τις· πῶς ἐγεί-
ρονται οἱ νεκροί· ὢ τῆς ἀπιστίας· ὢ τῆς
ἀφροσύνης· ὁ χοῦν εἰς τὸ σῶμα βουλήσει
μόνῃ μεταβαλών· ὁ μικρὰν ὕλης ῥανίδα
τὸ σπέρμα ἐν τῇ μήτρᾳ αὔξειν προστάξας
καὶ τὸ πολυειδὲς τοῦτο καὶ πολύμορφον ἀπο-
τελεῖν τοῦ σώματος ὄργανον· οὐχὶ μᾶλλον
τὸ γεγονὸς καὶ διαρρυὲν ἀναστήσει πάλιν
βουληθείς; ποίῳ δὲ σώματι ἔρχονται;
ἄφρον· εἰ τοῖς τοῦ θεοῦ λόγοις πιστεύειν σε
οὐ συγχωρεῖ ἡ πώρωσις, κἂν τοῖς ἔρ-
γοις πίστευε· σὺ γὰρ ὃ σπείρεις οὐ ζωοποιεῖται,

ἐὰν μὴ ἀποθάνῃ· ὃ σπείρεις, οὐ τὸ
σῶμα τὸ γενησόμενον σπείρεις· ἀλλὰ
γυμνὸν κόκκον, εἰ τύχοι σίτου. ἤ τινος
τῶν λοιπῶν σπερμάτων· ὁ δὲ θεὸς αὐτῷ
δίδωσι σῶμα, καθὼς ἠθέλησε· καὶ
ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα·
θέασαι τοίνυν ὡς ἐν τάφοις ταῖς
αὔλαξι τὰ σπέρματα καταχωννύ-
-μενα· τίς τούτοις ῥίζας ἐντίθησι·
καλάμην καὶ φύλλα καὶ ἀστάχυας. Καὶ
τοὺς λεπτοτάτους ἀνθέρικας; οὐχ
ὁ τῶν ὅλων δημιουργός; οὐ τοῦ τὰ πάντα
πάντα τεκτηναμένου τὸ πρόσταγμα;
οὕτω τοίνυν πίστευε, καὶ τῶν νεκρῶν
τὴν ἀνάστασιν ἔσεσθαι θείᾳ βουλήσει
καὶ νεύματι· σύνδρομον δὲ ἔχει τῇ
βουλήσει τὴν δύναμιν· ἀναστήσο-
-μεθα τοιγαροῦν τῶν ψυχῶν πάλιν
ἑνουμένων τοῖς σώμασιν· ἀφθαρ-
-τιζομένοις καὶ ἀποδυομένοις τὴν

ἀφθαρσίαν· καὶ παραστησόμεθα τῷ φοβερῷ
τοῦ Χριστοῦ βήματι· καὶ παραδοθήσεται τῷ
ὁ διάβολος καὶ οἱ δαίμονες αὐτοῦ· καὶ ὁ ἄνθρωπος
αὐτοῦ, ἤγουν ὁ ἀντίχριστος· καὶ οἱ ἀσεβεῖς·
καὶ οἱ ἁμαρτωλοί, εἰς τὸ πῦρ τὸ αἰώνιον·
οὐχ ὑλικὸν οἷον, τὸ παρ' ἡμῖν· ἀλλ' οἷον,
ἂν εἰδείη ὁ θεός· οἱ δὲ τὰ ἀγαθὰ πράξαντες,
ἐκλάμψουσιν ὡς ὁ ἥλιος· σὺν ἀγγέλοις
εἰς ζωὴν αἰώνιον, σὺν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ·
ὁρῶντες αὐτὸν καὶ ὁρώμενοι· καὶ ἄληκτον
τὴν ἀπ' αὐτοῦ εὐφροσύνην καρπούμενοι :– +

\+ \+ \+

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

DD. η.

BIBLIOTECA UNIVERSITARIA
DE
SALAMANCA



